# ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

**ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ**

Περιλαμβάνον γενικῶς ἀνέκδοτον ἁγιορειτικὴν κ.λ.π. ὕλην, οἷον ἀνεκδότους Ἀκολουθίας ἁγίων, Κανόνας παρακλητικοὺς καὶ μή, καὶ ἄλλα σοφὰ ἀποφθέγματα ἁγίων ἀνδρῶν παλαιοτέρων καὶ νεωτέρων, εὑρισκόμενα εἰς τοὺς Κώδικας τῶν ἱερῶν Μονῶν.

ΕΚΔΙΔΟΜΕΝΗ ΥΠΟ

ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

**ΕΤΟΣ Β.΄ 1937-38**

1938
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΤΟΣ Β.΄ ΑΡΙΘ. 13
ΙΔΡΥΤΗΣ: ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ - ΙΑΤΡΟΣ

# ΚΑΝΟΝΕΣ ΠΑΡΑΚΛΗΤΙΚΟΙ
## ΕΙΣ ΤΟΝ
# ΑΓΙΟΝ ΓΕΩΡΓΙΟΝ
## ΠΟΙΗΜΑ ΙΩΣΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ

Νῦν τὸ πρῶτον ἐκδίδονται πρὸς τιμὴν τοῦ Βασιλέως μας Γεωργίου τοῦ Β.΄ διὰ τὴν ἱστορικὴν ἐπίσκεψίν του εἰς τὸ ἅγιον Ὄρος κατὰ Μάϊον τοῦ 1937.

Ἀντιγραφέντες δὲ ἐκ τῶν Λαυριωτικῶν Κωδίκων θ.΄ 122 καὶ κ.΄ 132 καὶ ἀποσταλέντες ἡμῖν πρὸς ἔκδοσιν τύποις ὑπὸ τοῦ μοναχοῦ.

ΣΠΥΡΙΔΩΝΟΣ (ΑΘΑΝΑΣΙΟΥ) ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΣΕΠΤΕΜΒΡΙΟΣ 1937

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΤΩι

ΒΑΣΙΛΕΙ ΤΩΝ ΕΛΛΗΝΩΝ

# ΓΕΩΡΓΙΩι ΤΩι Β.΄

ΑΓΑΠΗΣ ΚΑΙ ΑΦΟΣΙΩΣΕΩΣ ΕΝΕΚΕΝ

ΤΟ ΠΑΡΟΝ ΤΕΥΧΟΣ ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΠΡΟΛΟΓΟΣ

Ἱερὰ Μονὴ Μεγίστης Λαύρας τῇ 18ῃ Μαΐου 1937

**ΜΕΓΑΛΕΙΟΤΑΤΕ,**

Βαθύτατα συγκινεῖται κατὰ τὰς λαμπροφόρους ταύτας ἡμέρας σύμπαν τὸ ἁγιώνυμον Ὄρος ἀλλὰ καὶ σεμνύνεται τοιαύτης ὑψηλῆς τιμῆς ἀξιωθέν.

Χιλιετῆ βίον ἀριθμεῖ ἡ βυζαντινὴ αὕτη κιβωτός, ἥτις θησαυρίζει πᾶν ὅτι ἐδημιούργησεν ἡ ἑλληνικὴ διάνοια κατὰ τοὺς βυζαντινοὺς καὶ μετέπειτα χρόνους καὶ οὐδαμοῦ τῶν ἱστορικῶν Κωδίκων αὐτῆς ἀναφέρεται τοιαύτη ἔνθερμος ὑποδοχὴ μὲ τοιοῦτον ἐνθουσιασμόν, διότι ἀπὸ τῆς ἐποχῆς Ἰωάννου τοῦ Κατακουζηνοῦ, ὅστις ἐπεσκέφθη τὸν ἱερὸν τοῦτον τόπον κατὰ τὸν ΙΔ΄. αἰῶνα, πρώτην ἤδη φορὰν ἀξιοῦται Βασιλικῆς ἐπισκέψεως λατρευτοῦ Βασιλέως. Ἡ δὲ καθ' ἡμᾶς ἱερὰ Μονὴ τῆς Μεγίστης Λαύρας ἀληθῆ πανήγυριν ἄγει σήμερον, διότι κατὰ θείαν ἔμπνευσιν ἡ ἐπίσκεψίς Σας, Μεγαλειότατε, συμπίπτει μὲ τὴν συμπλήρωσιν τῆς χιλιετηρίδος αὐτῆς. Διὰ τοῦτο ὄχι μόνον ἡμεῖς ἀλλὰ καὶ τὰ πνεύματα τῶν ἀειμνήστων Αὐτοκρατόρων ἡμῶν, καὶ κτητόρων τῆς Μονῆς μας Νικηφ. Φωκᾶ, Ἰωάννου Τσιμισκῆ καὶ τὰ πνεύματα τῶν ἀειμνήστων Βασιλέων ἡμῶν καὶ ἐλευθερωτῶν μας Γεωργίου τοῦ Α΄. καὶ Κωνσταντίνου τοῦ ΙΒ΄. τοῦ Μεγάλου ἐκείνου Πατριώτου καὶ ἰδανικοῦ ἀλτρουϊστοῦ, περιϊπτάμενα κατὰ τὴν ἱερὰν ταύτην στιγμὴν ἐν τῷ πανσέπτῳ Καθολικῷ ναῷ τούτῳ, χαίροντα καὶ ἀγαλλόμενα χαιρετίζουσι καὶ ἐπευλογοῦσι τὴν Ὑμετέραν Μεγαλειότητα, τὸν νόμιμον αὐτῶν Διάδοχον καὶ κληρονόμον τῆς Ἱερᾶς αὐτῶν ταύτης παρακαταθήκης, ἧς ἐσμὲν φρουροὶ καὶ θεματοφύλακες ἐπὶ χιλιετίαν, τοῖς ἐκείνων ῥήμασι πειθόμενοι.

Ἡ ἱστορικὴ αὕτη ἡμέρα θὰ ἀποτελέσῃ σταθμόν, ὅστις θὰ δώσῃ νέαν ζωὴν εἰς τὴν ἁγιορειτικὴν ψυχὴν καὶ θὰ ἀνοίξῃ νέους ὁρίζοντας πρὸς ἐξωραϊσμὸν τοῦ ἁγιορειτικοῦ τροπαίου. Καὶ ἐὰν κατὰ τοὺς χρόνους, καθ' οὓς εἴμεθα

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὀρφανοὶ πατρὸς οἱ ξένοι λογάδες τῶν δύο ἡμισφαιρίων ἀρχαιολόγοι καὶ βυζαντινολόγοι ἐπισκεπτόμενοι τὸν Ἄθω ὡμολόγουν ὅτι, ἐὰν ἡ Δύσις καυχᾶται διὰ τὰ πλούτη καὶ μεγαλεῖά της ἡ Ἑλλὰς καυχᾶται διὰ τὰς δύο Ἀκροπόλεις της, τὴν τῶν Ἀθηνῶν καὶ τὴν τοῦ Ἄθω· ὁ Δέτιχερ ἔλεγεν ὅτι τὸ ἅγιον Ὄρος εἶνε ἓν τῶν ἀθανάτων ἀριστουργημάτων τῆς ἑλληνικῆς μεγαλοφυΐας· ὁ Βίερβον Βλέϊκ ὅτι εἶνε λείψανον ζῶν περικαλές τε καὶ τιτάνειον τῶν ἐνδόξων βυζαντινῶν αἰώνων· ὁ δὲ Κρουμβάχερ ὅτι εἶνε τμῆμα τοῦ παραδείσου πεμφθὲν ὑπὸ τοῦ φιλέλληνες Θεοῦ εἰς τὴν ἑλληνικὴν γῆν πρὸς στολισμὸν αὐτῆς.

Ἤδη δὲ ὅτε τίθεται τὸ ἅγιον Ὄρος ὑπὸ τὴν ἄμεσον Βασιλικὴν κηδεμονίαν ὡς πάλαι ποτὲ παρὰ τοῖς βυζαντινοῖς, ὡς τὰ χρυσόβουλλα αὐτῶν διαλαμβάνουσι, πολλῷ κάρρονες ἐσόμεθα, εὐλογητὸς ὁ Θεὸς ὅτι μᾶς ἠξίωσε νὰ ἴδωμεν τὴν εὐλογημένην αὐτὴν ἡμέραν, ἣν οἱ Πατέρες ἡμῶν ἐπὶ 600 ἔτη ὤδινον καὶ ὠνειροπόλουν καὶ νὰ προσφωνήσωμεν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἰς ἱερὰν ἀνάμνησιν τῆς ἱστορικῆς ταύτης ἡμέρας 18 Μαΐου 1937 ἐκδίδομεν τοὺς κατ' ἦχον Κανόνας τοῦ Ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου, ποίημα Ἰωσὴφ τοῦ ὑμνογράφου, ἀντιγραφέντας ἐκ τῶν Λαυριωτικῶν Κωδίκων Θ 122 καὶ Κ 132, οὗ ταῖς πρεσβείαις ἐπιμηκύνῃ ὁ Ὕψιστος τὰ πολύτιμα ἔτη τῆς Α. Μ. τοῦ Βασιλέως μας καὶ ἐπιρρωνύῃ τὰς δυνάμεις του ἐπ' ἀγαθῷ τοῦ ἔθνους καὶ τοῦ ἁγίου Ὄρους.

ΣΠΥΡΙΔΩΝ ΛΑΥΡΙΩΤΗΣ
Ἰατρὸς



# ΤΟ 2ον ΕΤΟΣ ΤΗΣ "ΑΓΙΟΡΕΙΤΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ,,

Ἰδού, σὺν Θεῷ, ἡ «Ἁγιορειτικὴ Βιβλιοθήκη» εἰσέρχεται ἤδη εἰς τὸ δεύτερον ἔτος ἀπὸ τῆς ἐκδόσεώς της.

Τὸ πρῶτον ἔτος ὑπῆρξε δι' ἡμᾶς λίαν κοπιῶδες ἀλλὰ καὶ δαπανηρόν, ἐπομένως ἔληξε τοῦτο μὲ μεγάλην ζημίαν, καθόσον δὲν ἐπετεύχθη ἡ ἀπαιτουμένη διάδοσις αὐτῆς οὔτε ἐγένετο συστηματικὴ ἐργασία διὰ τὴν ἐγγραφὴν συνδρομητῶν ἀφ' ἑνὸς καὶ ἀφ' ἑτέρου δὲν ἐκάμαμεν χρῆσιν ἀτελοῦς δημοσιογραφικοῦ χάρτου, ἀλλὰ χάρτου ἐλευθέρου ἐμπορίου, ὅστις ἤδη ἔχει ὑψωθῆ πολύ. Ἐπὶ πλέον τὸ ἅγιον Ὄρος, τὸ ὁποῖον εἶχε τὴν ὑποχρέωσιν νὰ ὑποστηρίξῃ τὸ ἔργον τοῦτο, καθ' ὅσον ἀνήκει ἀποκλειστικῶς εἰς αὐτὸ καὶ μόνον, δὲν ἔδωκε τὴν ἀπαιτουμένην προσοχὴν διὰ νὰ τιμήσῃ αὐτό, ὅπως καὶ τοῦτο τιμᾷ τὸ ἅγιον Ὄρος διὰ τῆς καλῆς ἐμφανίσεώς του καὶ τοῦ πλούτου τῆς ἁγιορειτικῆς του ὕλης, ἀλλ' ἔδειξε ποιάν τινα ἀδιαφορίαν ἵνα μὴ εἴπω περιφρόνησιν· συνέβη δηλαδὴ ἐκεῖνο ποῦ εἶπεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅτι «οὐδεὶς προφήτης δεκτὸς ἐν τῇ πατρίδι αὐτοῦ».

Τὸ περιοδικὸν ἡμῶν τοῦτο δὲν λαμβάνει οὐδεμίαν χρηματικὴν ἐπιχορήγησιν οὔτε ἀπὸ τὸ ἅγιον Ὄρος οὔτε ἀπὸ ἄλλον τινὰ ὀργανισμὸν θρησκευτικόν, ἀλλὰ συντηρεῖται ἀπὸ τὸ πτωχὸν βαλάντιον τοῦ ἐκδότου. Ἠρχίσαμεν τὴν ἔκδοσιν τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» μὲ τὴν πεποίθησιν ὅτι θὰ γίνωμεν πρόξενοι ὠφελείας εἰς ἑαυτοὺς καὶ εἰς τοὺς ἄλλους, ὠφελείας ψυχικῆς ἀφ' ἑνός, ἐπιστημονικῆς καὶ φιλολογικῆς ἀφ' ἑτέρου, διότι ἡ ὕλη τοῦ περιοδικοῦ εἶναι τοιαύτη, ὥστε νὰ ὠφελῇ τοὺς πάντας.

Ἡ ἰδία πεποίθησις μᾶς κινεῖ διὰ νὰ χωρίσωμεν ἐμπρὸς καὶ εἰς τὸ δεύτερον ἔτος.

Οἱ ἄνθρωποι πολλάκις ἀπατώμεθα, ὅταν πρόκειται νὰ δώσωμεν μίαν ἀξίαν, ἢ ἓν βραβεῖον εἰς ἓν οἱονδήποτε ἔργον, πολλάκις δὲ συμβαίνει ὥστε νὰ δίδωμεν τὴν ἀντίθετον ὄψιν ἢ κατεύθυνσιν· ὁ Θεὸς ὅμως, ὅστις ἐτάζει καρδίας καὶ νεφρούς, οὐδέποτε ἀπατᾶται ἀλλὰ δίδει τὴν κατάλληλον ἀξίαν καὶ ἀμοιβήν. Αὐτὸς λοιπόν, ὁ δίκαιος Θεός, εἰς Ὃν ἔχομεν πληρεστάτην τὴν πεποίθησιν καὶ Ὅστις γνωρίζων τὰς ἀφορμὰς καὶ τὰ ἐλατήρια ἑκάστου ἀνθρώπου, θὰ δώσῃ εἰς τὸ ἔργον ἡμῶν τοῦτο καὶ εἰς τοὺς κόπους μας τὴν πρέπουσαν ἀμοιβήν, ὥστε, ἂν μὲν τοῦτο γίνεται κατὰ Θεόν, ἀνεξαρτήτως τῶν ἀνθρωπίνων ὑποστηρίξεων, θὰ προοδεύσῃ, ἐὰν δὲ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὰ ἐλατήριά μας δὲν εἶναι ἁγνὰ ἀλλὰ ποταπὰ καὶ ἀποβλέποντα μόνον εἰς τὸ ὑλικὸν συμφέρον, τότε δὲν δύναται νὰ σταθῇ.

Ἤδη ἔχομεν τὴν ὑποχρέωσιν νὰ εὐχαριστήσωμεν τοὺς ἀξιοτίμους κ. κ. συνδρομητάς, οἵτινες μὲ ζῆλον καὶ ἐνθουσιασμὸν ὑποστηρίζουν τὸ ἔργον τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης», αἱ μεγαλύτεραι ὅμως εὐχαριστίαι ἀνήκουν εἰς τοὺς ἐνισχύσαντας ἡμᾶς καὶ διὰ τῆς ὑλικῆς αὐτῶν συνδρομῆς, πλὴν τῆς ἠθικῆς, ἤτοι: 1) εἰς τὸν Μακαριώτατον Μητροπολίτην Ἀθηνῶν κ. κ. Χρυσόστομον Παπαδόπουλον, ὅστις ἀπέστειλεν ἡμῖν, πλὴν τῆς τιμητικῆς καὶ ἐνθαρρυντικῆς ἐπιστολῆς, δραχ. 500 πρὸς ἐνίσχυσιν τοῦ περιοδικοῦ, 2) τὸν Σεβ. Μητροπολίτην Δημητριάδος κ. κ. Ἰωακεὶμ διὰ τὴν θερμὴν συστατήριον ἐγκύκλιον, ἣν διεβίβασεν εἰς τοὺς ἱερεῖς, ἱεροψάλτας καὶ λοιποὺς χριστιανοὺς τῆς ἀρχιεπισκοπῆς του καὶ 3) τὸν Πανοσιολογιώτατον ἐν μοναχοῖς ἰατρὸν κ. κ. Ἀθανάσιον Καμπανάον Λαυριώτην, ὅστις πλὴν τοῦ κόπου του διὰ τὴν ἀντιγραφὴν τῆς ὕλης ἐκ τῶν ἁγιορειτικῶν Κωδίκων καὶ ἀποστολὴν αὐτῆς, ἔστειλε καὶ δραχ. 2.000.

Ὡς ἐλάχιστος, ἁμαρτωλὸς καὶ ἔνοχος ἔναντι τοῦ δικαίου Κριτοῦ, ζητῶ τὰς εὐχὰς καὶ εὐλογίας πάντων τῶν σεβαστῶν Πατέρων καὶ ἀδελφῶν συνδρομητῶν.

ΣΩΤ. Ν. ΣΧΟΙΝΑΣ

---

# ΚΑΝΟΝΕΣ ΠΑΡΑΚΛΗΤΙΚΟΙ ΚΑΤ' ΗΧΟΝ

Εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Γεώργιον, Ἰωσὴφ τοῦ Ὑμνογράφου, ἀντιγραφέντες ἐκ τοῦ Λαυριωτικοῦ Κώδικος Κ 132.

## ΗΧΟΣ Α΄.

Κανὼν α΄, οὗ ἡ ἀκροστιχίς

«Δέχου τὸν ὕμνον παμμάκαρ Γεώργιε· Ἰωσήφ.»

**Ὠδὴ α΄. Ἦχος α΄.**

**Ὠδὴν ἐπινίκιον**

Δεσμεύσας τοῖς ἄθλοις σου τὸν ἐν κακίᾳ, ἀφρόνως καυχώμενον, τὰ δεσμὰ διάλυσον, τῶν ἐγκλημάτων μου, ταῖς ἱκεσίαις σου ἀεί, μάρτυς Γεώργιε.

Ἐν πέτρᾳ τῆς πίστεως ἐρηρεισμένος, ἀκλόνητος ἔμεινας, προσβολαῖς κολάσεων, μάρτυς Γεώργιε, δέομε στήριξον πολλοῖς, κακοῖς κλονούμενον.

Χοροῖς συνηρίθμησαι τῶν ἀθλοφόρων μεθ' ὧν ἡμῖν αἴτησαι, ἱλασμὸν καὶ ἔλεος, μάρτυς Γεώργιε, τοῖς ἐν τῇ σκέπῃ σου θερμῇ, πίστει προστρέχουσιν.

**Θεοτοκίον**

Ὁ μόνος ἀθάνατος ἐκ σοῦ ὡράθη, Παρθένε σαρκούμενος, ὃν δυσώπει πάντοτε, τὰ θανατοῦντά με πάθη, νεκρῶσαι χαλεπὰ θεοχαρίτωτε.

**Ὠδὴ γ΄.**

**Στερεωθήτω ἡ καρδία μου**

Ὑπερνηξάμενος τὸ πέλαγος, τῶν βασάνων αὔραις τοῦ Πνεύματος, πρὸς τοὺς λιμένας τῆς ζωῆς, καθορμίσας Γεώργιε, ἐν οἷς πρέσβευε εἰσάγεσθαι ἡμᾶς εὐφημοῦντάς σε.

Μεγίστους πόνους ἐκαρτέρησας, καὶ μεγάλην εὔκλειαν εἴληφας, μεγαλομάρτυς τοῦ Χριστοῦ, διὰ τοῦτο δεόμεθα, ἐκ μεγάλων ἡμᾶς λύτρωσαι, κακῶν μεσιτείαις σου.

Νεκροῖς ξοάνοις σέβας ἄλογον, οὐ προσῆξας μάρτυς Γεώργιε, τὴν νεκρωθεῖσάν μου ψυχὴν διὰ τοῦτο κραυγάζω σοι, ζωηφόροις μεσιτείαις σου, σοφὲ περιποίησαι.

**Θεοτοκίον**

Ὁ ταῖς ἀΰλοις Κόρη τάξεσιν, ὡς ὑπάρχων μόνος ἀπρόσιτος, νῦν προσιτός μοι διὰ σοῦ, ὡς πανάγαθος γέγονεν, ὃν ἱκέτευε ῥυσθῆναί με, φρικτῆς κατακρίσεως.

**Ὠδὴ δ΄.**

**Ἐν Πνεύματι προβλέπων**

Νοῒ κεκαθαρμένῳ, ὁρῶν ἐκ δεξιῶν, ἀθλητὰ τὸν Κύριον ἀγώνων τὸν καιρόν, οὐκ ἐσαλεύθης οὐδ' ὅλως μάρτυς ἡττήθης, ἀλλὰ τὸν δρόμον τὸν καλὸν διατελέσας, νίκης ἀνεπλέξω τὸν στέφανον.

Πολλοὶ οἱ πολεμοῦντες, ἀφ' ὕψους οἱ ἐχθροί, οὓς αὐτοὺς πολέμησον, Γεώργιε σοφέ, μὴ συγχωρῶν με βαπτίζεσθαι ἁμαρτίαις, μηδὲ πρὸς πάθη συνωθεῖσθαι ἀτιμίας, ὅπως ὡς προστάτην γεραίρω σε.

Ἁγίως διανύσας, τοὺς ἄθλους σου σοφέ, σὺν ἁγίοις ἅπασιν, οἰκεῖς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοὺς οὐρανούς, ἀλλὰ δυσώπει, ἁγιασμὸν καὶ εἰρήνην, ἡμῖν δοθῆναι, ἐν ναῷ σου παναγίῳ, σὲ περιφανῶς ἁγιάζοντας.

**Θεοτοκίον**

Μαραίνει τῆς κακίας, τὴν βλάστησιν Χριστός, ἐκ σοῦ ἀειπάρθενε, βλαστήσας ὑπὲρ νοῦν· αὐτὸν δυσώπει προρρίζους ἐξαφανίσαι, τὰς ἐκβλαστήσεις τῶν ἀκάρπων λογισμῶν μου, ὅπως κατὰ χρέος δοξάζω σε.

**ᾨδὴ ε΄.**

**Τὴν σὴν εἰρήνην δὸς**

Μαρτύρων ἐγκαλλώπισμα, Γεώργιε σοφέ, πάσαις τῶν καλῶν ἰδέαις καλλώπισον, ἀμαυρωθεῖσαν τὴν καρδίαν μου, ταῖς προσβολαῖς τοῦ πλάνου, ὅπως ἀνευφημῶ σε.

Ἀγῶνας σὺ διήνυσας, μεγάλους καρτερικῶς, ὅθεν σοι βοῶ παμμάκαρ Γεώργιε, ταῖς σαῖς πρεσβείαις ἐνδυνάμωσον, πρὸς ἐναντίαν πάλην τὴν ταπεινὴν ψυχήν μου.

Κατέστρεψας Γεώργιε, τεμένη πονηρά, οἶκον δὲ σαυτὸν Κυρίῳ ἀνέστησας, διὸ τοὺς πίστει ἐν τῷ οἴκῳ σου, σὲ ἀνυμνολογοῦντας, πάσης κακίας ῥῦσαι.

**Θεοτοκίον**

Ἁγία Μητροπάρθενε, πανάγιον Θεόν, τέτοκας σαρκί, αὐτὸν οὖν δυσώπησον, ὡς ποιητὴν καὶ Θεὸν ἡμῶν, καθαγιάσαι πάντας, τοὺς σὲ δοξολογοῦντας.

**ᾨδὴ στ΄.**

**Τὸν προφήτην Ἰωνᾶν**

Ῥαπισμῷ σου τῆς σεπτῆς, καρτερίας ἀθλητά, ἀπερράπισας στεῤῥῶς, τῶν δαιμόνων τὴν πληθύν, γενόμενος, τῆς Ἐκκλησίας πύργος καὶ ἔρεισμα.

Γεωργεῖν μου τὴν ψυχήν, ἐνδυνάμωσον σοφέ, ἱεραῖς σου προσευχαῖς, πρὸς οὐράνια ἀεί, νοήματα, καὶ πράξεις θείας, ὅπως δοξάζω σε.

Ἐν ὁδῷ ἁμαρτωλῶν πορευόμενος ἀεί, ἀθλοφόρε τοῦ Χριστοῦ. ἱεραῖς σου προσευχαῖς ἐπίστρεψον, καὶ τῆς εἰρήνης, ὁδοὺς κατεύθυνον.

**Θεοτοκίον**

Ὥσπερ ἄμπελος ἁγνή, θεῖον βότρυν γεωργεῖς, ἀποστάζοντα ἡμῖν, σωφροσύνης γλυκασμόν, καὶ παύοντα, κακῶν τὴν μέθην θεοχαρίτωτε.

**ᾨδὴ ζ΄.**

**Τοὺς ἐν Καμίνῳ παῖδας**

Ῥῦσαι πρὸς γεέννης με, ταῖς σαῖς Γεώργιε, μάρτυς εὐπροσδέκτοις προσευχαῖς, ἄναψόν μοι ἐν τῇ ψυχῇ τὸν θεῖον πόθον, πάσαις μου σβεννύοντα ταῖς σαρκικαῖς ἡδοναῖς, ὅπως τιμῶ σε ἀεί.

Γενναιοτάτῳ μάρτυς λογισμῷ, κατέβαλες πᾶσαν τῶν δαιμόνων τὴν ὀφρύν, ὧν καὶ ἡμᾶς, τῆς ὀλεθρίας ῥῦσαι βλάβης δυσωπῶν τὸν Κύριον, καὶ πρὸς ὁδοὺς ἀγαθὰς πάντας κατεύθυνον.

Ἱκετηρίαν ποίησον σοφέ, εὑρεῖν ἡμᾶς δίκης ἐν ἡμέρᾳ φοβερᾷ, τὸν ἱλασμὸν τῶν ἐπταισμένων ἐν τῷ βίῳ καὶ τυχεῖν, ἧς ἔτυχον οἱ ἐρασταὶ τῶν καλῶν, ἀτελευτήτου ζωῆς.

**Θεοτοκίον**

Ἐκφαντικῶς ἐκάλεσέ ποτε Πανάμωμε ὄρος, ὁ Προφήτης Δανιήλ, λίθος νοητὸς ἐκ σοῦ ἀπεκυλίσθη, καὶ τῆς πλάνης ξόανα καταλεπτύνας, ἡμᾶς ἐκαινοποίησεν.

**ᾨδὴ η΄.**

**Ὃν φρίττουσιν Ἄγγελοι**

Τροχῷ συντριβόμενος, τὰ μέλη σου σοφέ, βουνεύροις τυπτόμενος, ὀ-



νύχοις σπαραγμοῖς, ξεόμενος ὅλως οὐκ ἐνέδωκας, ἀλλ᾿ ἐμεγαλύνθης τελέσας τὸν ἀγῶνα.

Ὁ νοῦς σου ταῖς νεύσεσι, ταῖς θείαις λαμπρυνθείς, ἐξένευσεν ἅγιε τελείως τῆς σαρκός· διὸ δυσωπῶ σε νεύοντά με ἀεί, πρὸς τὴν ἁμαρτίαν ἐπίστρεψον εὐχαῖς σου.

Ὑπῆρξας ἀκλόνητος, καιρῷ τῶν αἰκισμῶν, διό με κλονούμενον, ἐχθροῦ ταῖς προσβολαῖς, ἀκλόνητον δεῖξον ἀθλοφόρε Χριστοῦ, ὅπως ὡς προστάτην, θερμὸν ἀνευφημῶ σε.

**Θεοτοκίον**

Ἰλύος πανάμωμε, παθῶν φθοροποιῶν, καὶ ζάλης καὶ θλίψεως, ἀκάρπων λογισμῶν, καὶ πάσης κακίας ἐναντίων ἐχθρῶν λύτρωσαί με, ὅπως ἀεὶ σὲ μακαρίζω.

**ᾨδὴ θ΄.**

**Τὴν φωτοφόρον νεφέλην**

Ὡς ἀκαθαίρετον Πύργον, ὡς ἀπερίτρεπτον στῦλον, ὡς ἀληθῆ ἀγωνιστὴν ὡς ἐχθροῦ καθαιρέτην, ἀνευφημοῦμέν σε πιστῶς, παμμάκαρ Γεώργιε αἰτούμενοι, ἱλασμὸν τῶν πταισμάτων, ἱεραῖς σου ἀπολήψεσθαι εὐχαῖς.

Σὲ βοηθὸν κατὰ πάντα, ἐν πειρασμοῖς καὶ κινδύνοις, καὶ ταῖς τοῦ βίου συμφοραῖς, κεκτημένος παμμάκαρ, οὐ φοβηθήσομαι κακά, ἀεὶ τειχιζόμενος Γεώργιε, τῇ ἁγίᾳ σου σκέπῃ, ὡς προστάτην εὐμοιρήσας σε θερμόν.

Ἡλιοβόλοις ἀκτῖσι, πᾶσαν τὴν κτίσιν φωτίζεις, καθάπερ ἥλιος σοφέ, διὰ τοῦτο βοῶ σοι, ἀμαυρωθέντα με πολλοῖς, Γεώργιε πταίσμασι, σαῖς πρεσβείαις, καταλάμπρυνον, τρίβους μετανοίας ὑπανοίγων μοι ἀεί.

**Θεοτοκίον**

Φέρεις τὸν φέροντα πάντα, χερουβικὸς ὥσπερ θρόνος, θεοχαρίτωτε Ἁγνή, ὃν δυσώπει ἀπαύστως, μὴ κατακρῖναι τὸν πολλά, δεινῶς ἁμαρτάνοντα, καὶ τρέμοντα, τὴν αἰώνιον δίκην ἧς με ῥῦσαι, δυσωπῶ σε ἀγαθή.

## ΗΧΟΣ Β΄.

Κανὼν β΄. οὗ ἡ ἀκροστιχίς «Γεωργίῳ νῦν δεύτερον πλέκω μέλος· Ἰωσήφ».

**ᾨδὴ α΄. Ἦχος β΄.**

**Δεῦτε λαοὶ**

Γεωργηθείς, ὑπὸ Θεοῦ σῖτος ὥριμος, τῷ μαρτυρίῳ γέγονας, καὶ τεθησαύρισαι, νοηταῖς ἀποθήκαις, Γεώργιε πρεσβεύων σωθῆναι πάντας ἡμᾶς.

Ἐπὶ τῆς γῆς, ἀγωνιστὴς ὤφθης μέγιστος, μεγαλομάρτυς ἔνδοξε· διὸ τοὺς πίστει σε λιτανεύοντας ῥῦσαι, παντοίας ἀγωνίας καὶ περιστάσεως.

Ὡς τῷ Θεῷ, καὶ βασιλεῖ τῶν Δυνάμεων, παρεστηκὼς Γεώργιε, αὐτὸν ἱκέτευε, τῆς αὐτοῦ βασιλείας, ἡμᾶς καταξιῶσαι τοὺς εὐφημοῦντάς σε.

**Θεοτοκίον**

Ῥῦσαι ἡμᾶς, πειρατηρίων πανάμωμε, καὶ συνοχῆς, καὶ θλίψεως, καὶ περιστάσεως, καὶ τῆς αἰωνιζούσης, ἐκεῖ σε τιμωρίας τοὺς σὲ δοξάζοντας.

**ᾨδὴ γ΄.**

**Στερέωσον ἡμᾶς**

Γενναῖος κατ᾿ ἐχθρῶν ἀγωνισάμενος, νομίμως κατεστέφθης ἀθλοφόρε, καὶ μαρτύρων συνηρίθμησαι, ταῖς χορείαις μεθ᾿ ὧν ἡμῶν μνημόνευε.

Ἰάσεων πηγὴ ὑπάρχων ἅγιε, τὰ πάθη ἴατρευσον τῆς ψυχῆς μου, καὶ τὸ ἄλγος τῆς καρδίας μου, μεσιτείαις σου θείαις ἀπομείωσον.

Athos Library Αγιορειτική Βιβλιοθήκη

Ὡς ἄστρον φαεινὸν ὡς μέγαν ἥλιον, τοῦ κόσμου τὰ πληρώματα φωτίζων, διὰ τοῦτό σοι κραυγάζομεν, τῶν παθῶν ἡμῶν σκότος, μάρτυς δίωξον.

**Θεοτοκίον**

Ναμάτων ζωτικῶν πηγὴ ὑπάρχουσα, Παρθένε ὡς ζωῆς ὕδωρ τεκοῦσα, τὴν ψυχήν μου νῦν κατάρδευσον, καὶ καρποὺς ἐναρέτους φέρειν ποίησον.

**Ὠδὴ δ΄.**

**Εἰσακήκοα Κύριε τὴν ἀκοὴν**

Ὑψηλότερος γέγονας, τῶν τῆς σαρκὸς παμμάκαρ θελημάτων, καταρράξας πᾶσαν δαιμόνων φάλαγγα.

Νοερῶς εἰκονίζω σε, ὡς ἀγαθὸν Γεώργιε προστάτην, περιστατουμένου νῦν μοι βοήθησον.

Δεσμευθεὶς διὰ Κύριον, μάρτυς Χριστοῦ διάλυσον τοὺς βρόχους, τῶν ἐμῶν πταισμάτων τῇ μεσιτείᾳ σου.

**Θεοτοκίον**

Ἐπὶ σὲ τὰς ἐλπίδας μου, μετὰ Θεὸν Παρθένε ἀνεθέμην, μή με παρίδῃς κλυδωνιζόμενον.

**Ὠδὴ ε΄.**

**Ὁ τοῦ φωτὸς χορηγὸς**

Ὑψηλοτάτῳ νοΐ, ὑπεισελθὼν τῶν ἀθλητῶν στάδιον, πᾶσαν σοφέ, πεῖραν τῶν βασάνων, ὑπήνεγκας στερρῶς, καὶ τῆς αἰωνίου εὐκλείας ἐπέτυχες.

Τίμιον σκεῦος ὀφθείς, τοῦ παναγίου καὶ σεπτοῦ Πνεύματος, πάσης ἡμᾶς Γεώργιε μάρτυς ἀτίμου πράξεως, λύτρωσαι εὐχαῖς σου, τοὺς πόθῳ τιμῶντάς σε.

Ἐν πεποιθήσει πολλῇ, ὑπὸ τὴν σκέπην σου ἀεὶ ἅγιε, ὡς σωστικὴν προστρέχομεν πάντες ἀεὶ βοήθησον ἡμῖν, ἐξηπορημένοις πολλοῖς περιστάσεσι.

**Θεοτοκίον**

Ῥῦσαι ἡμᾶς πειρασμῶν, ἐξ ἀοράτων τε ἐχθρῶν ἄχραντε, καὶ ὁρατῶν καὶ τῆς αἰωνίου φρικτῆς τιμωρίας, τοὺς σὲ Θεοτόκον ἁγνὴ καταγγέλοντας.

**Ὠδὴ στ΄.**

**Ἐν ἀβύσσῳ πταισμάτων**

Οἱ κρουνοὶ τῶν ἰαμάτων σου ἔνδοξε, πέλαγος ἡμῖν ἰαμάτων ἐδείχθησαν, τῶν εὐσεβῶς τιμώντων σε, καὶ προστάτην ἐχόντων σε μέγιστον.

Νεκρωθεὶς διὰ Κύριον πάνσοφε, τοὺς νενεκρωμένους ἡμᾶς πλημμελήμασι, ταῖς ζωηραῖς πρεσβείαις σου, αἰωνίου ζωῆς καταξίωσον.

Πυρπολήσας εἰδώλων σεβάσματα, θείαις μεσιτείαις σου μάρτυς Γεώργιε, πάντων ἡμῶν κατάφλεξον, τὰ ὑλώδη ἐγκλήματα ἅγιε.

**Θεοτοκίον**

Λαμπρυνθεῖσα ἁγία θεόνυμφε, οἷάπερ λυχνία τὸ θεῖον λαμπάδιον, ἐν τῇ νηδύϊ ἔσχηκας, τὰ τοῦ κόσμου φωτίζων πληρώματα.

**Ὠδὴ ζ΄.**

**Εἰκόνος χρυσῆς**

Ἐτύθης σοφέ, ὥσπερ ἄκακος ἀμνὸς ἐθελουσίως, καὶ προσηνέχθης θῦμα ἄμωμον, τῷ ἑκουσίως ὡς πρόβατον, λόγῳ τεθυμένῳ καὶ χαίρων ἐμελῴδεις Γεώργιε, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Κακίας ἐχθρῶν, πονηρίας δυσμενῶν ἀνθρώπων, ῥῦσαί με τῶν ἐν τῷ βίῳ περιστάσεων, τῆς αἰωνίου κολάσεως, μάρτυς ἐν τῇ σῇ παρρησίᾳ, ἵνα μέλπω σῳζόμενος· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.



Ὡραῖος τερπναῖς, εὐμορφίαις γεγονώς, τῶν σῶν ἀγώνων, τῆς εἰδεχθοῦς με ἐλευθέρωσον, μάρτυς κακίας τοῦ ὄφεως, καὶ τῆς μοχθηρᾶς ἁμαρτίας, μεσιτείαις σου ψάλλοντα· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

**Θεοτοκίον**

Μαρία Χριστοῦ, οἰκητήριον Ἁγνὴ τοῦ φιλανθρώπου, τὴν ταπεινήν μου ἐλευθέρωσον, ψυχὴν παθῶν ἀμαυρότητος, ὅπως τῆς ἁγίας Τριάδος, μελῳδὸς οἶκος γένωμαι· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

**Ὠδὴ η΄.**

**Τὸν ἐν Καμίνῳ τοῦ πυρὸς**

Ἐπὶ τὴν πέτραν τῆς ζωῆς, ἐρειδόμενος σοφὲ ψυχῆς τὰς βάσεις πολυπλόκων βασάνων, ἐπιρροαῖς οὐδαμῶς παμμάκαρ ἐσαλεύθης ἔνδοξε, καὶ σαλευομένων, στηριγμὸς ὤφθης μέγας.

Λελαμπρυσμένος παρεστώς, ἀθλοφόρε τῇ σεπτῇ μάρτυς Τριάδι, ἐκ νυκτὸς ἁμαρτίας, ἀπὸ παθῶν βλαβερῶν, ἐκ πάσης βίου περιστάσεως, πρέσβευε ῥυσθῆναι, τοὺς πόθῳ σε τιμῶντας.

Οἶκος Τριάδος φωταυγής, ἐγνωρίσθης ἀθλητὰ στερρῶς ἀθλήσας· διὸ πίστει βοῶμεν, τοὺς σὲ τιμῶντας ἀεί, ἐν οἴκῳ τιμωμένῳ κλήσει σου, λύτρωσαι, παντοίων κακῶν ἐπερχομένων.

**Θεοτοκίον**

Σεσαρκωμένου ὑπὲρ νοῦν, ἐξ αἱμάτων σου ἁγνῶν τέτοκας λόγον, ὃν ἀπαύστως δυσώπει, τοῦ ἐλεῆσαι ἡμᾶς, Παρθένε πολλὰ ἡμαρτηκότας, καὶ τῆς αἰωνίου ζωῆς καταξιῶσαι.

**Ὠδὴ θ΄.**

**Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον**

Ἱερωτάταις χορείαις, ἱερῶν ἀθλοφόρων, συνὼν ὡς τῶν μαρτύρων καλλονή, μάρτυς θεόφρον Γεώργιε, τοὺς νῦν ἀθροιζομένους, ἐν τούτῳ τῷ πανσέπτῳ σου ναῷ, καὶ πιστῶς σε τιμῶντας, εὐχαῖς σου περιφρούρησον.

Ὡς τοῦ Χριστοῦ στρατιώτης, ὡς ἀγγέλων πολίτης, ὡς πάντων κληρονόμος ἀγαθῶν, μεγαλομάρτυς Γεώργιε, τὸν Σωτῆρα δυσώπει, οἰκτεῖραι ἐλεῆσαι καὶ ἡμᾶς, τοὺς τεταπεινωμένους, καὶ γνώμῃ κινδυνεύοντας.

Στῆσον παμμάκαρ τὸν σάλον, τῶν τοῦ βίου σκανδάλων, καὶ πράϋνον ἀτάκτων λογισμῶν, τὸ συνταράσσον κλυδώνιον, ταῖς ἡμῶν διανοίαις, καὶ δίδου ἐν εἰρήνῃ σταθερᾷ, καὶ ψυχῆς ὁμονοίᾳ, πάντας ἡμᾶς πορεύεσθαι.

Ἡ φοβερὰ μένει δίκη, τοὺς ῥαθύμως βιοῦντας, τί μέλλεις παναθλία μου ψυχή; τί τῶν κακῶν οὐκ ἀφίστασαι; ἐπιστρέψασα κράξον τῷ πάντων ποιητῇ καὶ λυτρωτῇ, ταῖς εὐχαῖς Γεωργίου, οἰκτείρησον καὶ σῶσόν με.

**Θεοτοκίον**

Φρενοβλαβῶς ἁμαρτάνω, καὶ τί πρᾶξαι οὐκ οἶδα, πῶς φύγω τιμωρίας τὰς ἐκεῖ, πῶς τὸν Κριτὴν ἐκμιλήξομαι· Παναγία Παρθένε, ἡ μόνη τῶν ἀπόρων βοηθός, τῇ ἐν σοὶ μεσιτείᾳ, βοήθησον καὶ σῶσόν με.

## ΗΧΟΣ Γ΄.

Κανὼν γ΄. οὗ ἡ ἀκροστιχὶς

«Τρίτην φέρω σοι παμμάκαρ μελῳδίαν· Ἰωσήφ».

**Ὠδὴ α΄. Ἦχος γ΄.**

**Ἄσωμεν τῷ Κυρίῳ**

Τὸν νοητὸν λαμπτῆρα, τὸν φωτίζοντα ταῖς τῶν ἄθλων λάμψεσι, Χριστοῦ τὴν ἐκκλησίαν, καὶ σκότος μειώσαντα τῆς εἰδωλομανίας, Γεώργιον τὸν ἔνδοξον, συμφώνως εὐφημή-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σωμεν, καὶ πίστει μακαρίσωμεν.

Ῥύπον παθῶν παντοίων, περικείμενος καὶ δελεαζόμενος, τῶν δυσμενῶν ἀπάταις, πίστει τῇ ἁγίᾳ σου καταφεύγω σκέπῃ, παραστάτης μοι γενήθητι, τῶν δυσχερῶν ῥυόμενος, Γεώργιε πανεύφημε.

Ἱκετηρίων πίστει σοι προσάγωμεν, πειρασμῶν καὶ θλίψεων ἡμῖν ἐπερχομένων, καὶ πυρὸς Γεώργιε, καὶ σκότους ἐξωτέρου, ἁγίαις μεσιτείαις σου, ῥῦσαι ἡμᾶς δεόμεθα, τοὺς πόθῳ σε δοξάζοντας.

Τὴν ἀνωτέραν πάντων ἀγγελικῶν ταγμάτων, τὴν ἁγνὴν καὶ ἄμωμον, ὡς τοῦ Θεοῦ Μητέρα, πίστει ἱκετεύσωμεν, βοήσωμεν ἀπαύστως ἁγία Μητροπάρθενε, βοήθεια γενοῦ ἡμῖν, τοῖς γνώμῃ ἁμαρτάνουσιν.

Ὠδὴ γ'.

**Ἐστερεώθη ἡ καρδία μου**

Ἡλιακῶν πανεύφημε λαμπηδόνων, ὑπερλάμπων, φώτισον τὰς ψυχὰς ἡμῶν, τῶν ἐν αἰνέσει τιμώντων σε, ὡς προστάτην θερμόν.

Νοσημάτων πάντων προσγινομένων, ἁμαρτιῶν καὶ θλίψεων, καὶ κινδύνων μεγαλομάρτυς Γεώργιε, πάντας λύτρωσαι.

Φωτιστικαῖς σου λάμψεσιν ἀθλοφόρε, τὸν σκοτασμὸν διάλυσον τῆς ψυχῆς μου, καὶ μετανοίας πρὸς ἄδυτον φῶς ὁδήγησον.

Θεοτοκίον

Ἐκ σοῦ Θεὸς ἐπέφανε τοῖς ἀνθρώποις, Θεοτόκε κόρη εὐλογημένη, ὃν ὑπὲρ πάντων ἱκέτευε τῶν τιμώντων σε.

Ὠδὴ δ'.

**Εἰσακήκοα τὴν ἀκοὴν**

Ῥηγνυμένης σου τοῖς ἀνυπίστοις μάρτυς βασάνοις, τῆς σαρκὸς ἀκαταγώνιστος, ἀπερίτρεπτος ὤφθης.

Ὤφθης ἄκλυστος λιμήν, παμμάκαρ χειμαζόμενος, ἀλλὰ δέομαι κυβέρνησον πρὸς γαλήνης με ὅρμον.

Συντριβόμενος πᾶσαν συνέτριψας μάρτυς πλάνην, συντριβομένους οὖν καινούργισον πρὸς ζωὴν ἡμᾶς πάντας.

Θεοτοκίον

Ἱκεσίαις σου Παρθενομῆτορ, πυρὸς γεέννης, καὶ παντοίων περιστάσεων, τοὺς σοὺς λύτρωσαι δούλους.

Ὠδὴ ε'.

**Τὴν σὴν εἰρήνην δὸς ἡμῖν**

Πυρὸς μαχαίρας ἔνδοξε, καὶ πάσης ἄλλης ποινῆς, τῇ εἰς Χριστὸν πεποιθήσει κατεφρόνησας, καὶ μάρτυς ἀληθείας, καὶ θαυμάτων αὐτουργὸς θεῖος γενόμενος.

Ἀπὸ παντοίων θλίψεων, ἀπὸ ὀργῆς χαλεπῆς, ἀπὸ ἀνθρώπων ἀδίκων, ῥῦσαι πάντας ἡμᾶς, ἅγιε Γεώργιε.

Μόνος ἐγὼ τοῖς πάθεσι θύραν ἠνέῳξα, μόνον Θεὸν τὸν φιλάνθρωπον παρώργισα, μάρτυς γενναιόφρον, μετανοίας μοι ὁδοὺς θείας ὑπάνοιξον.

Μὴ τῷ θυμῷ σου Κύριε, ὅλως ἐλέγξῃς με, μὴ τῇ ὀργῇ σου παιδεύσῃς με φιλάνθρωπε, ἀλλ' οἴκτιρον σῶσόν με, μεσιτείαις ἱεραῖς τῆς κυησάσης σε.

Ὠδὴ ϛ'.

**Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων**

Ἀγωνισάμενος νομίμως, ἀφθαρσίας στέφος εἴληφας, καὶ σὺν Ἀγγέλοις τῷ Χριστῷ, μετὰ δόξης νῦν παρίστασαι, κραυγάζων ἀθλοφόρε, σῶσον Σωτὴρ ὡς ἔσωσας, τοῦ θηρὸς τὸν Προφήτην.



Κόσμου τοῖς πάθεσιν, ἑκάστοτε περιπίπτω ὁ ταλαίπωρος, καὶ ἁμαρτίας συναντῶ, καὶ παντοίοις πλημμελήμασι, βοήθει μοι παμμάκαρ, ἐκδυσωπῶν Γεώργιε, Ἰησοῦν τὸν Σωτῆρα.

Ἀπὸ περάτων ἕως ἄκρων γῆς, τὸ ὄνομά σου ᾄδεται, καὶ τῶν θαυμάτων ἡ πληθύς, ἀθλητῶν κλέος Γεώργιε, παμμέγιστε, προστάτα, τῶν ἐν κινδύνοις καὶ θλίψεσι, πονηραῖς συναντούντων.

Θεοτοκίον

Ῥῦσαι ἡμᾶς Θεοχαρίτωτε, τῆς ἐν ᾅδῃ κατακρίσεως, τῆς τῶν παθῶν ἐπαγωγῆς, τῶν σκανδάλων τοῦ ἀλάστορος, τοὺς πίστει ἀδιστάκτῳ, σὲ ἀληθῆ Μητέρα, τοῦ πλαστουργοῦ ἀνυμνοῦντας.

Ὠδὴ ζ'.

**Τρεῖς Παῖδες ἐν καμίνῳ**

Μαράνας τῆς ἀπάτης ἀθλοφόρε τοὺς ἄνθρακας, τῇ πλημμύρᾳ τῶν αἱμάτων σου, μάρτυς Γεώργιε, μετὰ παίδων ἐβόας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν ὥρᾳ ὅταν μέλλω τῷ Κυρίῳ παρίστασθαι, τῶν ἐν βίῳ μου κακῶν λόγον ποιούμενος, εὕριμοι τότε σὲ μάκαρ μέγαν, προστάτην τῶν δεινῶν ἀπολυτρούμενον.

Λαμπτὴρ τῆς Ἐκκλησίας, τὴν καρδίαν μου φώτισον, σκοτισθεῖσαν ταῖς τοῦ βίου ἀμαυρότησιν, ἵνα σῳζόμενος πίστει ὑμνολογῶ, καὶ εὐφημῶ τὴν προστασίαν σου.

Θεοτοκίον

Ὡραίαν σε Πάναγνε, ἐν κάλλει ἀρετῶν χρηματίζουσαν, ὁ ὑπέρθεος εὑρών, Λόγος σεσάρκωται, ἐκ σοῦ ἁγνὴ ἀπορρήτως ταῖς ὡραιότησιν αὐτοῦ, καταφαιδρύνων ἡμᾶς.

Ὠδὴ η'.

Τὸν ἐν φλογὶ τοῖς Παισὶ

Διαδραμὼν τοὺς μεγίστους ἀγῶνας καὶ τὰ παλαίσματα, ὥσπερ ἅρματι μάρτυς, ἐπέβης τῷ αἵματι τῷ σῷ, καὶ ἀνέδραμες, πρὸς τὰς αἰωνίους σκηνὰς ἐν εὐφροσύνῃ.

Ἰλιγγιῶ καὶ φοβοῦμαι καὶ τρέμω τὸ δικαστήριον, καὶ τὰς αἰωνιζούσας κολάσεις Γεώργιε, ἐξ ὧν με ἐξάρπασον ταῖς σαῖς μεσιτείαις, ἐν πίστει τιμῶντά σε.

Ἀπὸ παθῶν ἀτιμίας, καὶ πάσης κακοπραγίας, ἀπὸ γλώσσης δολίας, ἀπὸ πάσης θλίψεως, ἀθλητὰ Γεώργιε, λύτρωσαι τοὺς πίστει καὶ πόθῳ σε τιμῶντας.

Θεοτοκίον

Νόμους Θεοῦ συντηρεῖν με ἀτρώτους ἁγνὴ ἐνίσχυσον, ἡ τεκοῦσα νομίμων τῆς φύσεως ἄνευθεν, σαρκωθέντα τὸν Λόγον, καὶ δι' εὐσπλαγχνίαν βροτὸν γεγενημένον.

Ὠδὴ θ'.

**Σὲ τὴν ἀκατάφλεκτον βάτον**

Ἴσχυσας Θεοῦ δυναστείᾳ, δυσμενῶν μυριάδας, ἀθλοφόρε καθελεῖν τοῖς σοῖς ἀγῶσι, διὰ τοῦτό σε πίστει, ἀεὶ μακαρίζομεν.

Ὤφθης βοηθὸς κατὰ πάντα, τοῖς καταπονουμένοις, διὰ τοῦτό σε ἀεὶ ἐκδυσωποῦμεν, ἀπὸ πάσης ἡμᾶς ἀθλητά, περίσωζε θλίψεως.

Σὲ τὸν τοῦ Χριστοῦ στρατιώτην, καὶ ἐχθροῦ καθαιρέτην, δυσωποῦμεν οἱ πιστοί, αἰωνιζούσης κατακρίσεως, πάντας ἡμᾶς ἐλευθέρωσον.

Ἤγγικεν ἐπέστη ψυχή μου, ἡ τῆς Κρίσεως ὥρα, μετανοίας οὖν καρποὺς ποίησαι σπεῦσον, ὅπως τύχῃς ζωῆς τῆς ἐκεῖ καὶ λαμπρότητος·

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Φεῖσαί μου Χριστὲ ὅταν ἔλθῃς κρῖναι πάντα τὸν κόσμον, παρορῶν μου τὴν πληθὺν τῶν ἐγκλημάτων, τῆς ἁγίας Μητρός σου, σεπταῖς παρακλήσεσιν.

## ΗΧΟΣ Δ΄

Κανὼν δ.΄ οὗ ἡ ἀκροστιχὶς «Δέχου τέταρτον ὕμνον ἐξ ἡμῶν μάκαρ· Ἰωσήφ.»

**Ὠδὴ α.΄ Ἦχος δ.΄**

**Θαλάσσης τὸ ἐρυθραῖον**

Δεσμώτης, διὰ Χριστὸν γενόμενος μάρτυς Γεώργιε, τοῦτον δυσώπει πάντας τῶν δεινῶν, τῆς κακίας λυτρώσασθαι, τοὺς εὐσεβῶς τιμῶντάς σε, καὶ καταφεύγοντας τῇ σκέπῃ σου.

Ἐν τάφῳ, τῆς ἁμαρτίας κείμενος καθικετεύω σε, ὡς τῇ ζωῇ τῶν ζώντων παρεστώς, ἐξανάστησον σῶσόν με, μεγαλομάρτυς ἔνδοξε, ταῖς εὐπροσδέκτοις μεσιτείαις σου.

Χορεύων, σὺν Ἀσωμάτοις τάξεσι, σὺν ταύταις πρέσβευε, ἁμαρτημάτων λύτρωσιν εὑρεῖν, τοὺς πιστῶς αἰτουμένους σε, καὶ πειρασμῶν καὶ θλίψεων, τὴν ἀπολύτρωσιν Γεώργιε.

**Θεοτοκίον**

Ὁ πλήρης, δι᾽ εὐσπλαγχνίαν ἄφατον, ἐν σοὶ κεκένωται, ἐπανακλήσει ἄχραντε ἁγνή, τοῦ βροτείου φυράματος, ὃν ἐκτενῶς ἱκέτευε, φωταγωγῆσαι τὰς ψυχὰς ἡμῶν.

**Ὠδὴ γ.΄**

**Εὐφραίνεται ἐπὶ σοὶ**

Ὑπέμεινας καρτερῶς, τοὺς πολυτρόπους αἰκισμοὺς δύναμιν, τὴν τοῦ Θεοῦ ἔνδοξε, περιεζωσμένος Γεώργιε.

Τὰ χρόνια τῆς ἐμῆς, πάθη θεράπευσον ψυχῆς ἅγιε, τὸν λογισμόν μου φώτισον, ταῖς φωτιστικαῖς μεσιτείας σου.

Ἐκ πράξεων πονηρῶν, καὶ ἐξ ἀνθρώπων δυσμενῶν λύτρωσαι, τοὺς βοηθὸν πρέσβυν σε, νῦν πεπλουτηκότας Γεώργιε.

**Θεοτοκίον**

Τὴν Πόλιν σε τοῦ Θεοῦ, ἐκδυσωποῦμεν οἱ πιστοὶ πόλεως, τῆς νοητῆς ἅπαντας, ἄχραντε οἰκήτορας ποίησον.

**Ὠδὴ δ΄.**

**Ἐπαρθέντα σε ἰδοῦσα**

Ἀνεμποδίστως διώδευσας τὰς φερούσας, πρὸς τὴν ἐκεῖ κατάπαυσιν Γεώργιε τρίβους, ἃς ἡμᾶς εὐόδωσον, βαδίζειν πρεσβείαις σου, πράττοντας τὰ αἴσια πάντοτε.

Ῥυσθέντα με τοῖς πάθεσι τοῖς ἀλόγοις, καὶ πρὸς κακίαν νεύσαντα καὶ ἀμαυρωθέντα, μάρτυς φωταγώγησον, καὶ σῶσον κραυγάζοντα· δόξα τῇ δυνάμει σου Κύριε.

Τεταμένος ἐκαρτέρησας τὰς βασάνους, διὸ κατατεινόμενον πάσαις με τοῦ βίου, μάρτυς περιστάσεσι, παθῶν τε συγχύσεσι, σῶσον εὐπροσδέκτοις πρεσβείαις σου.

**Θεοτοκίον**

Ὁ τὸ εἶναι παρεχόμενος τοῖς ἀνθρώποις, ἐκ σοῦ ἀρχὴν ἐδέξατο, ἄναρχος ὑπάρχων, καὶ ἀκατανόητος, πανάμωμε Δέσποινα, ὃν ὑπὲρ τοῦ κόσμου ἱκέτευε.

**Ὠδὴ ε΄.**

**Σὺ Κύριέ μου φῶς**

Νεκρώσεως σοφέ, τὴν δορὰν ἀφαιρούμενος, ἐνδέδυσαι ἀφθαρσίαν, στολισμὸν καὶ χορείαις μαρτύρων συνηρίθμησαι.



Ὑπέρτιμε Χριστοῦ, ἀθλοφόρε Γεώργιε, πρεσβείαις σου λύτρωσαί με, ἐκ παθῶν ἀτιμίας, καὶ πάσης κατακρίσεως.

Μὴ δείξῃς με Χριστέ, ἐν ἡμέρᾳ τῆς κρίσεως, κατάκριτον δυσωπεῖ σε, ὁ κλεινὸς ἀθλοφόρος, καὶ μάρτυς σου Γεώργιος.

**Θεοτοκίον**

Νεκρώσεως Ἀδάμ, τοὺς χιτῶνας ἐνδέδυται, Πανάμωμε τῇ προσλήψει, τῇ ἐκ σοῦ τοῦ Δεσπότου, διό σε μακαρίζομεν.

**Ὠδὴ ς΄.**

**Θύσω σοι μετὰ φωνῆς**

Οὐδόλως, ἡττήθης ταῖς ἀμέτροις κολάσεσι, μέγας προστάτης ἐδείχθης, ἡττωμένων μάρτυς ταῖς μεθοδίαις, τῶν δαιμόνων, καὶ παθῶν πονηραῖς ἐπικλύσεσιν.

Ναμάτων, ζωηρρύτων ὑπάρχων κατάρρυτος, τὰς ἐκτακείσας καρδίας, τῇ τῆς ἁμαρτίας ἡμῶν νῦν δίψῃ, ἀθλοφόρε, καταδρόσισον ὅπως τιμῶμέν σε.

Ἔχοντες, πρὸς Θεὸν σὲ μεσίτην ἀκοίμητον, μὴ ἀφυπνώσωμεν μάρτυς, νῦν οἱ σὲ τιμῶντες εἰς θάνατον, ἀλλ᾽ εὐχαῖς σου, τῆς ἡμέρας υἱοὶ γνωρισθείημεν.

**Θεοτοκίον**

Ξένωσον, τὸν λογισμόν μου πάσης συγχύσεως βιωτικῆς Θεοτόκε, καὶ τὴν σκοτισθεῖσαν τῇ ἁμαρτίᾳ, νῦν ψυχήν μου, φωταγώγησον ὅπως δοξάζω σε.

**Ὠδὴ ζ.΄**

**Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι**

Ἠγαλλιάσω, ἐν τῷ καιρῷ τῶν ἄθλων σου μάρτυς σοφέ, πάσαις προσβολαῖς βασάνων μὴ ἡττηθείς, καὶ προστάτης ὤφθης ἄριστος, τῶν προστρεχόντων σοι, μεγαλομάρτυς πίστει Γεώργιε.

Μή με ἀπώσῃ, μή με βδελύξῃ μάρτυς προστρέχοντα, πίστει τῇ ἁγίᾳ σκέπῃ σου ἐκ ψυχῆς, ἀλλὰ δίδου βοηθείας μοι, χεῖρα καὶ σῶσόν με, ἐκ πειρασμῶν παντοίων καὶ θλίψεων.

Ὡς στρατιώτης, τοῦ Βασιλέως μάρτυς τῶν οὐρανῶν, πάσας κατ᾽ ἐμοῦ τὰς φάλαγγας τοῦ ἐχθροῦ, κινουμένας ἐξαφάνισον, καὶ δίδου νίκην μοι κατ᾽ αὐτῶν, δυσωπῶν τὸν φιλάνθρωπον.

**Θεοτοκίον**

Νομίμων δίχα, τῶν τῆς σαρκὸς Παρθένε τίκτεις ἁγνή, πάντων τὸν Δεσπότην ὄντως καὶ λυτρωτήν, ὅνπερ νόμος προεδήλωσεν· εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις Πανάμωμε Δέσποινα.

**Ὠδὴ η΄**

**Χεῖρας ἐκπετάσας Δανιὴλ**

Μάρτυς ἀπερίτρεπτος ὀφθείς, τῶν παθημάτων Χριστοῦ, τοὺς οὐρανοὺς κατοικεῖς, καὶ τὰ ἀθέατα ἔνδοξε, κάλλη βλέπεις καὶ ἀπόρρητα, καὶ μετὰ πάντων ἐκλεκτῶν, βοᾷς Γεώργιε εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄνω τῷ Δεσπότῃ παρεστώς, τοὺς κάτω πίστει σε νῦν λιτανεύοντας, ἐκ περιστάσεως σώζεσθαι, καὶ στενώσεως Γεώργιε, καὶ μελῳδεῖν τῷ λυτρωτῇ, ἀπαύστως ποίησον· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Κόσμος γεγονὼς τῶν ἀθλητῶν, τῶν κοσμικῶν ἡμᾶς σκανδάλων λύτρωσαι, καὶ χειραγώγησον πράττοντας, τοῦ Δεσπότου τὰ θελήματα, καὶ φωταγώγησον βοᾶν· ἀεὶ Γεώργιε εὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἅπαντες Πατέρα καὶ Υἱόν, καὶ Πνεῦμα ἅγιον μίαν θεότητα, σὺν τοῖς στρατεύμασι χαίροντες, τῶν Ἀγγέλων ἀνυμνήσωμεν, καὶ μελῳδοῦντες εὐσεβῶς, ἀναβοήσωμεν εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

**Θεοτοκίον**

Ῥῦσαι μεσιτείαις σου ἡμᾶς, ἁγνὴ Πανάμωμε πάσης στενώσεως, καὶ πάσης θλίψεως ἄχραντε, καὶ μελλούσης κατακρίσεως, καὶ αἰωνίζοντος πυρός, καὶ σκότους μέλποντας εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

**Ὠδὴ θ'.**

**Λίθος ἀχειρότμητος**

Ἱερολογίαις ἐνθέοις, τὸν τῆς ἀπάτης καθαιρέτην, καὶ πρὸς τὸν Δεσπότην προστάτην, καὶ μέγαν πρέσβυν ἡμῶν ὑπάρχοντα, τὸν εὐκλεῆ Γεώργιον, μεγαλοφώνως εὐφημήσωμεν.

Ὡς τοὺς οὐρανοὺς ἐμβατεύων, τῇ ὥρᾳ ταύτῃ μέσον πάντων, πάρεσο Γεώργιε μάκαρ, τῶν δεομένων τῆς παρουσίας σου, καὶ τῷ Χριστῷ ἑνούμενος, τὰς προσευχὰς ἡμῶν ἐκπλήρωσον.

Στῶμεν ἐν τῷ οἴκῳ Κυρίου, τὸν ἀθλητὴν αὐτοῦ τιμῶντες, καὶ ἀναβοήσωμεν πίστει, Χριστὲ ταῖς τούτου δεήσεσιν, ἁμαρτημάτων ἄφεσιν, τοῖς ἀνυμνοῦσί σε κατάπεμψον.

Ἤγγικεν ἡ κρίσις ψυχή μου, τί ἐπιμένῃς τῇ κακίᾳ; τί τῇ ἁμαρτίᾳ δουλεύῃς; ἐν μετανοίᾳ Κυρίῳ πρόσελθε, ἀναβοῶσα σῶσόν με, ταῖς τοῦ ἁγίου παρακλήσεσι.

**Θεοτοκίον**

Φρίττω σου τὴν ἔλευσιν Λόγε, ἡνίκα μέλλεις μετὰ δόξης, ἔρχεσθαι ποιήσασθαι κρίσιν, δικαίαν ὅθεν κραυγάζω σοι, φεῖσαί μου τότε δέομαι, τῆς σὲ τεκούσης παρακλήσεσι.

## ΗΧΟΣ ΠΛ. Α'.

Κανὼν ε'. οὗ ἡ ἀκροστιχὶς

«Δέχοιο πέμπτην παμμάκαρ μελῳδίαν· Ἰωσήφ».

**Ὠδὴ α'. Ἦχος πλ. α'.**

**Ἵππον καὶ ἀναβάτην**

Δέησιν βραχυτάτην πρὸς σὲ ποιούμεθα, τὸν παμμέγιστον στύλον, τῆς εὐσεβείας ἅγιε, βοῶντες τὸν Κύριον, ἐκδυσώπει πάντοτε, ὅπως λάβωμεν πταισμάτων ἄφεσιν.

Ἔφλεξας τῶν αἱμάτων πυρὶ Γεώργιε, δυσσεβείας τὴν ὕλην, διὸ σε ἱκετεύομεν πυρὸς ἡμᾶς λύτρωσαι, τοῦ ἀσβέστου ἅπαντας, τοὺς τῇ σκέπῃ τῇ σῇ προστρέχοντας.

Χάριν λαβὼν ἐξ ὕψους μαρτύρων καύχημα, τοῦ ἰᾶσθαι ποικίλα, ἀνθρώπων ἀρρωστήματα, ἴασαι δεόμεθα, τὰς ὀδύνας ἅγιε, τῶν ψυχῶν τε καὶ τῶν σωμάτων ἡμῶν.

**Θεοτοκίον**

Ὄμβρισόν μοι Παρθένε πταισμάτων ἄφεσιν, ἡ τὸν ὄμβρον ἐλθόντα, πρὸς σὲ τὸν ἐπουράνιον ἀρρήτως χωρήσασα, καὶ Παρθένος μείνασα, μετὰ τὴν κύησιν ἀκατάληπτος.

**Ὠδὴ γ'.**

**Ὁ πήξας ἐπ' οὐδενὸς**

Ἱστίῳ τοῦ παναγίου Πνεύματος ἔνδοξε, εὐπλοήσας ἦλθες ἐπαγαλλόμενος, νῦν πρὸς τοὺς λιμένας τῆς ζωῆς, πρὸς πλάτος Παραδείσου, πρὸς τὰ οὐράνια σκηνώματα, ἔνθα τῶν τιμώντων σε μέμνησο.

Ὁ κόσμος τὰ σὰ κηρύττει μάρτυς τεράστια, τὰς ἀνδραγαθίας τὰ



ἀριστεύματα, ὅθεν δυσωποῦμέν σε ἀεί, τῶν κοσμικῶν σκανδάλων, καὶ τῶν ἐν βίῳ περιστάσεων, λύτρωσαι ἡμᾶς ταῖς πρεσβείαις σου.

Πλουσίως ταῖς δωρεαῖς ἐλλάμπων τοῦ Πνεύματος, τὴν πτωχείαν πάντων ἡμῶν οἰκτήρισον, τῶν ἐγκαυχωμένων ἐπὶ σοί, Γεώργιε τρισμάκαρ, καὶ βοηθὸς ἡμῖν γενήθητι, ἐν παντὶ καιρῷ δυσωποῦμέν σε.

**Θεοτοκίον**

Ἐτέχθη ἁγνὴ ἐκ σοῦ Θεὸς σωματούμενος, καὶ σαρκὶ ὡράθη ὁ ἀθεώρητος· τοῦτον οὖν δυσώπει ἐκτενῶς, ἐξ ὁρατῶν ἐχθρῶν με, καὶ ἀοράτων κόρη ῥύσασθαι, τῶν εἰλικρινῶς σε δοξάζοντα.

**Ὠδὴ δ'.**

**Τὴν θείαν ἐννοήσας σου**

Μεγάλως ἀριστεύσας Γεώργιε, μεγάλην εὗρες ἐκ Θεοῦ, καὶ αἰωνίζουσαν εὔκλειαν, διό σοι πίστει βοῶμεν, μεγάλης ἡμᾶς ῥῦσαι κολάσεως.

Παράδεισος εὐώδης γνωρίζεται, ὁ θεῖος οἶκός σου σοφέ, ἐν ᾧ πιστῶς δυσωποῦμέν σε, τοῦ Παραδείσου εὐχαῖς σου, οἰκήτορας ἡμᾶς μάρτυς ποίησον.

Τὸν πόνον τῆς ψυχῆς μου μετάβαλε, τὰς ἀσθενείας τῆς σαρκός, θεόφρον μάρτυς θεράπευσον, καὶ παρ' ἐλπίδα με σῶσον, ἀμέτροις συνεχόμενον πταίσμασι.

**Θεοτοκίον**

Ἡ μήτρα σου παλάτιον ἅγιον, τοῦ Βασιλέως καὶ Θεοῦ, ἀνερμηνεύτως Παρθένε ἐγέννησας τῇ μεσιτείᾳ σου σῶσον, ναοὺς αὐτοῦ ἡμᾶς ἀπειργάσατο.

**Ὠδὴ ε'.**

**Ὁ ἀναβαλλόμενος**

Νόμους συνετήρησας, τοῦ Παντοκράτορος, καὶ τοὺς ἀνόμως παρανομοῦντας, προφανῶς διήλεγξας, καὶ νομίμως μάρτυς, ἀθλήσας ἐστεφάνωσαι.

Πόνους ἐκαρτέρησας, καὶ πρὸς τὴν ἄπονον ζωὴν μετέστης, διὸ τοὺς πόνους πάντων ἐπικούφισον, ψυχῶν καὶ σωμάτων, τῶν πίστει δυσωπούντων σε.

Ἅγιον καὶ Κύριον, Θεὸν ἐκήρυξας, καὶ σὺν ἁγίοις κατελογίσθης, διὸ τοὺς τιμῶντάς σε Ἀθλητά, ἁγίαις πρεσβείαις σου διασῴζεσθαι.

**Θεοτοκίον**

Μένεις μετὰ κύησιν, Παρθένος ἄφθορος, καταφθαρέντας πάντας ἀνθρώπους, πρὸς ζωὴν μετάγουσα, καὶ τῇ ἀφθαρσίᾳ, λαμπρύνασα Πανάμωμε.

**Ὠδὴ ς'.**

**Μαινομένην κλύδωνι**

Μαινομένην θάλασσαν, ἀπιστείας μάρτυς ἀνδρικῶς, σῶν αἱμάτων ὄμβροις ἀπεξήρανας, καὶ πρὸς ζωῆς θείους λιμένας κατήντησας.

Ἀγρυπνοῦντας ἅγιε, ἐν τῷ θείῳ τούτῳ σου ναῷ, καὶ Θεὸν δοξάζοντας ἑκάστοτε, τῶν δυσχερῶν πάντων τοῦ βίου διάσωζε.

Καταιγὶς χειμάζει με, ἁμαρτίας μάρτυς καὶ βυθός, ῥαθυμίας πάντοτε συνέχει με, σπεῦσον ταῖς σαῖς κατοικτειρῆσαι δεήσεσι.

**Θεοτοκίον**

Ἀπειράνδρως τέτοκας, Θεὸν Λόγον ἄχραντε ἁγνή, τὴν ἐμὴν ταπείνωσιν οἰκτείραντα· ὅθεν ἀεὶ χρεωστικῶς σε δοξάζομεν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὠδὴ ζ'.

Ὁ ὑπερυψούμενος

Ρώμῃ θείου Πνεύματος, μάρτυς δυναμούμενος, ἐχθροῦ πᾶσαν δύναμιν, ἀνίσχυρον ὤλεσας, Γεώργιε κραυγάζων, ὁ Θεὸς εὐλογητός εἶ.

Μόνος ἐπλημμέλησα, ὑπὲρ πάντα ἄνθρωπον, μόνος τὸν φιλάνθρωπον, ἀφρόνως παρώργισα, βοήθησόν μοι μάρτυς, προσφυγόντα σου τῇ σκέπῃ.

Ἔχοντες προστάτην σε, μέγιστε Γεώργιε, γεέννης ῥυσθήσομαι καὶ πάσης συγχύσεως, καὶ βίου τῶν σκανδάλων, ἱεραῖς σου μεσιτείαις.

Θεοτοκίον

Λύτρωσαί με Δέσποινα, ζωὴν ἡ κυήσασα, παθῶν ἀμαυρώσεως, καὶ τῆς κατακρίσεως, τῆς διαιωνιζούσης, ὅπως πίστει σε δοξάζω.

Ὠδὴ η'.

Σοὶ τῷ παντουργῷ

Ὤφθης ἀληθῶς τῆς Ἐκκλησίας στύλος, μαρτύρων ἀγλάϊσμα, πιστῶν διάσωσμα, πάντων παμμάκαρ, τῶν καταπονουμένων, ὅθεν σε τιμῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Δὸς ἡμῖν σοφὲ χειμαζομένοις χεῖρα, τοῦ βίου τῷ κλύδωνι καὶ κινδυνεύουσιν, ὅπως ὡς μέγαν, προστάτην σε τιμῶμεν, ἀνυμνολογοῦντες, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἴασαι ἡμῶν Γεώργιε τὰ πάθη, ψυχῆς καὶ τοῦ σώματος, ἐκδυσωποῦμέν σε, θραῦσον τοῦ πλάνου, τὰ τόξα καὶ τὰ βέλη, τοῦ ἀορασίᾳ, ἡμᾶς ἐκπολεμοῦντος.

Ἄναρχε Τριὰς Πάτερ Υἱὲ καὶ Πνεῦμα, θεότης ἀμέριστε, καὶ συναΐδιε, σῷζε τοὺς φόβῳ, ἀεὶ σὲ ἀνυμνοῦντας, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Νέον ἐπὶ γῆς Παρθενομῆτορ βρέφος, Πατρὸς τὸν συνάναρχον, Υἱὸν ἐκύησας, οἴκτῳ ἀφάτῳ, ἡμῖν ὁμοιωθέντα, τοῖς καταφθαρεῖσιν, ὑπὸ τῆς ἁμαρτίας.

Ὠδὴ θ'.

Ἠσαΐα χόρευε

Ἱεραῖς χρησάμενοι, μελῳδίαις, δεῦτε οἱ πιστοί, οἱ δοῦλοι Ἰησοῦ τοῦ Ἐμμανουήλ, θερμὸν ἀντιλήπτορα, καὶ ἰατρὸν ὄντα τῶν ψυχῶν, ὑμνολογήσωμεν, ἐν αἰνέσει μακαρίζοντες.

Ὡς Θεοῦ γεώργιον, ἀθλοφόρε, θεῖον γεγονώς, πάντας ἡμᾶς γεωργεῖν, πράξεις ἀγαθάς, εὐχαῖς σου εὐόδοσον, ὅπως σὺν σοί, τῶν ἐν οὐρανοῖς, κατατρυφήσωμεν, αἰωνίων ἀπολαύσεων.

Στεναγμούς μοι δώρησαι, καὶ δακρύων Κύριε κρουνούς, ἐκπλύνοντάς με, παθῶν, ῥύπου χαλεποῦ, καὶ σῶσον ὡς εὔσπλαγχνος, Γεωργίου τοῦ πανευκλεοῦς, θείαις δεήσεσιν, ἵνα φόβῳ μεγαλύνω σε.

Ἡ τοῦ Κτίστου ἔλευσις, ἐπὶ θύραις πρόσεχε ψυχή, ἀνάνυφον τῶν κακῶν, λάβε κατὰ νοῦν, τὸ θεῖον κριτήριον, καὶ τῷ παντὶ βόησον Κριτῇ, σῶσόν με Κύριε, Γεωργίου παρακλήσεσι.

Θεοτοκίον

Φοβερὸς εἶ Κύριε, καὶ τίς ἄρα τότε ὑποστῇ, τὴν ἀπειλήν σου Χριστέ, μόνε Βασιλεῦ, κρίσιν ποιουμένου σου; διὸ φεῖσαι σῶσόν με Σωτήρ, τῆς κυησάσης σε, εὐπροσδέκτοις παρακλήσεσι.

---

## ΗΧΟΣ ΠΛ. Β'.

Κανὼν Ϛ'. οὗ ἡ ἀκροστιχίς

«Ἕκτην δέησιν μαρτύρων δέχου κλέος Ἰωσήφ».



Ὠδὴ α'. Ἦχος πλ. β'.

Ὡς ἐν ἠπείρῳ

Ἐν ταῖς λαμπρότησι πάντων τῶν ἐκλεκτῶν, μάρτυς αὐλιζόμενος, καὶ πληρούμενος φωτός, ἀνεσπέρου αἴτησαι ἡμῖν, φωτισμοῦ τοῖς εὐσεβῶς σὲ μακαρίζουσι.

Καταβαλὼν τῶν δαιμόνων τῶν πονηρῶν, ἀθλοφόρε φρύαγμα, τὴν οἰκοῦσαν ἐν ἐμοί, ἁμαρτίαν πάντοτε Χριστόν, ἱκετεύων ἐκτενῶς μάρτυς κατάβαλε.

Τῆς τῶν παθῶν τυραννίδος τῶν κοσμικῶν, συμφορῶν καὶ θλίψεων, ἐξελοῦ ἡμᾶς ἐχθρῶν, δυσωπῶν Γεώργιε, τὸν σὸν ἀθλοθέτην καὶ Θεὸν καὶ πανοικτίρμονα.

Θεοτοκίον

Ἡ τὸν ἀχώρητον Λόγον ἐν σῇ γαστρί, ὑπὲρ νοῦν χωρίσασα, Μητροπάρθενε ἁγνή, τῆς στενοχωρούσης με ἀεί, ἁμαρτίας ἀγαθὴ ῥῦσαι καὶ σῶσόν με.

Ὠδὴ γ'.

Οὐκ ἔστιν ἅγιος ὡς σὺ

Νεκροῖς ξοάνοις βδελυκτοῖς, οὐκ ἀπένειμας σέβας, ἀλλ' ἐνήθλησας χαίρων, καὶ χοροῖς τῶν ἀθλητῶν, προσετέθης ἐν χαρᾷ, ἀθλοφόρε, πάνσοφε Γεώργιε.

Δοξάσας μάρτυς τὸν Χριστόν, σοῦ τοῖς μέλεσι πίστει, παρ' αὐτοῦ ἐδοξάσθης, ἀλλ' ἀξίωσον ἡμᾶς, τῆς δόξης ἐπιτυχεῖν, τῆς ἐκεῖθεν, θείαις μεσιτείαις σου.

Ἐκ τῶν σκανδάλων τοῦ ἐχθροῦ, ἐκ μυρίων πταισμάτων, καὶ παθῶν ἀτιμίας, ἀπολύτρωσαι ἡμᾶς, ἐκδυσωπῶν τὸν Χριστόν, ἀθλοφόρε, πάνσοφε Γεώργιε.

Θεοτοκίον

Ἡγιασμένην σε εὑρών, ὁ πανάγιος Λόγος, Παναγία Παρθένε, κατεσκήνωσεν ἐν σοί, ἁγιάζων τοὺς αὐτόν, Θεοτόκε, πίστει ἁγιάζοντας.

Ὠδὴ δ'.

Χριστός μου δύναμις

Σταυρὸν καὶ θάνατον, παθεῖν ἑλόμενος, ἑκουσίως παμμάκαρ, ὁμολογῶν, πάθος ἐκαρτέρησας, καὶ πολυτρόπους αἰκισμοὺς καὶ τὸν ὄφιν ἀπενέκρωσας.

Ἰσχὺν καὶ δύναμιν, ἡμᾶς περίζωσον, τοὺς ἐξηπορημένους καὶ συμφοραῖς, μάρτυς κινδυνεύοντας, ὅπως σωζόμενοι ταῖς σαῖς, μεσιτείαις εὐφημοῦμέν σε.

Νομίμως ἤθλησας, νομίμως ἔδραμες, καὶ νομίμως ἐστέφθης μαρτυρικῶς, μάρτυς κλεϊζόμενος, παρανομοῦντας οὖν ἡμᾶς, ἐπανόρθου μεσιτείαις σου.

Θεοτοκίον

Μαρία πάναγνε, Χριστοῦ λοχεύτρια, τὰς ἡμῶν ἁμαρτίας ὡς ἀγαθή, δέομαι ἐξάλειψον, καὶ σωτηρίας μοι ὁδούς, Πανάμωμητε ὑπόδειξον.

Ὠδὴ ε.'

Τῷ θείῳ φέγγει σου ἀγαθὲ

Ἀγωνισάμενος εὐκλεῶς, κατὰ τοῦ ἀλάστορος ἐχθροῦ, νίκης ἀνέστησας τρόπαιον, μάρτυς ἀθλοφόρε, καὶ πάντων πέφυκας, τῶν καταπονουμένων προστάτης ἄμαχος.

Ῥωμαλαιότητι τῶν φρενῶν, τὸν καταυχόμενον ἀεί, γῆν ἐξαλείφειν καὶ θάλασσαν, μάρτυς ἐτροπώσω διὸ σοῦ δέομαι, τῆς τούτου πανουργίας ῥῦσαι καὶ σῶσόν με.

Τῶν ἐνοχλούντων ἐχθρῶν ἡμᾶς, τῶν πειρατηρίων τοῦ ἐχθροῦ, τῶν κο-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σμικῶν ἀπολύτρωσαι, ἅπαντας σκανδάλων, τοὺς καταφεύγοντας, θερμῶς ὑπὸ τὴν σκέπην τὴν σὴν Γεώργιε.

**Θεοτοκίον**

Ὑπὲρ κατάληψιν τοκετόν, ἔσχες Μητροπάρθενε ἁγνή, τὸν γὰρ Θεὸν ἐσωμάτωσας, ὃν ἀεὶ δυσώπει ἐλευθερῶσαι ἡμᾶς, παντοίας ἁμαρτίας καὶ περιστάσεως.

Ὠδὴ ϛ'.

**Τοῦ βίου τὴν θάλασσαν**

Ῥοαῖς τῶν αἱμάτων σου, ἀοράτους δυσμενεῖς μάρτυς σοφὲ ἐβύθισας, καὶ ἀνηνέχθης ἄνω πρὸς οὐρανόν, ὡς θῦμα εὐπρόσδεκτον, τῷ Σωτῆρι τῶν ὅλων καὶ Θεῷ ἡμῶν.

Ὡραῖος γενόμενος, ταῖς τῶν ἄθλων καλλοναῖς, περιφανῶς Γεώργιε, τῆς εἰδεχθοῦς κακίας τοῦ πονηροῦ ἡμᾶς ἐλευθέρωσον, δυσωπῶν τὸν Δεσπότην καὶ φιλάνθρωπον.

Ναμάτων ἀνάπλεως, τῶν τοῦ Πνεύματος δειχθείς, πάντων ἡμῶν κατάρδευσον, τοὺς λογισμοὺς Γεώργιε ἀθλητά, ὅπως ἐκβλαστήσωμεν, ἀρετῶν εὐκαρπίαν εὐφημούντων σε.

**Θεοτοκίον**

Δεσμῶν ἁμαρτίας με, καὶ κινδύνων καὶ φθορᾶς, καὶ φοβερᾶς κολάσεως, θεογεννῆτορ λύτρωσαι τοὺς πιστῶς, ἀεὶ ἀνυμνοῦντάς σε, προστασία τοῦ κόσμου ἀκαταίσχυντε.

Ὠδὴ ζ'.

**Δροσοβόλον μὲν τὴν κάμινον**

Ἐξ αἱμάτων πορφυρίδα στολισάμενος, περιφανῶς Γεώργιε, τὰ βασίλεια τὰ ἄνω κατοικεῖς ἐν χαρᾷ, Θεῷ Βασιλεῖ παρεστηκώς· ὃν ἐξιλέωσαι ἡμῖν, τοῖς σὲ τιμῶσιν ἐν γῇ.

Χειμαζόμενοι τοῦ βίου περιστάσεσι, καὶ πάθεσι τοῦ σώματος συνεχόμενοι, ἀθλοφόρε μάρτυς τοῦ Χριστοῦ, προστρέχομεν πίστει ἀκλινεῖ, ὑπὸ τὴν σκέπην σου, μὴ οὖν καταισχυνθείημεν.

Οἱ ἐν νόσοις χειμαζόμενοι καὶ πάθεσι, τοῦ βίου συμπνιγόμενοι, ἁμαρτάνοντες, καὶ τὸν μόνον φύσει ἀγαθόν, ἀεὶ παροργίζοντες σοφέ, καταλλαγαῖς σου πρὸς Θεόν, εὕροιμεν ἔλεος.

**Θεοτοκίον**

Ὑπερύμνητε Παρθένε Ὑπερύμνητον, Θεὸν ἀποκυήσασα, τοὺς ἀνυμνοῦντας, ἐκ παντοίων ῥῦσαι πειρασμῶν, ὑμνοῦντας καὶ λέγοντας ἀεί, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η'.

**Ἐκ φλογὸς τοῖς ὁσίοις**

Κατὰ πλείστων βασάνων κατευμεγέθησας, καὶ τῆς νίκης ἐστήσω, μέγιστον τρόπαιον, κλέος ἀθλητῶν, καὶ μαρτύρων Γεώργιε, ὅθεν σε μεγάλως, τιμᾷ ἡ ἐκκλησία.

Λαμπρυνθεὶς ταῖς βασάνοις ὑπὲρ τὸν ἥλιον, θαυμασίων ἀκτῖνας μάρτυς ἀπήστραψας, καὶ τοὺς ἐν νυκτὶ ἀγνωσίας ἐφώτισας, ὅθεν σὲ τιμῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ σὲ προβαλλόμεθα, πρὸς τὸν πάντων Δεσπότην πρέσβυν Γεώργιε, αἴτησαι ἡμῖν, τῶν πταισμάτων συγχώρησιν, καὶ ἀρρωστημάτων, τὴν λύσιν ἀθλοφόρε.

Ὀρθοδόξως Τριάδα τοῖς χαρακτῆρσί τε, καὶ μονάδα τῇ φύσει ἀεὶ δοξάζομεν, Πάτερ καὶ Υἱὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἄκτιστε θεότης, καὶ μία βασιλεία.

**Θεοτοκίον**

Συλλαβοῦσα ἀφλέκτως τὸ πῦρ τὸ ἄστεκτον, Χερουβὶμ ὑπερτέρα ἐδείχθης Δέσποινα· ὅθεν σε φωναῖς εὐχαρίστοις δοξάζομεν, τὴν εὐλογημένην καὶ κεχαριτωμένην.



Ὠδὴ θ'.

**Θεὸν ἀνθρώποις ἰδεῖν**

Ἰσχὺν καὶ κράτος τοῦ πολεμήτορος, ὑπὸ Χριστοῦ ῥωννύμενος τελείως διώλεσας, καὶ βραβεῖα τῆς νίκης ἐπέτυχες, μάρτυς στεφανηφόρε ὅθεν τιμῶμέν σε, πρέσβυν καὶ προστάτην σε θερμὸν καταπλουτήσαντες.

Ὡς νῦν τὰ ἄνω οἰκῶν βασίλεια, καὶ ταῖς αὐγαῖς ταῖς θείαις ἱερῶς πυρσευόμενος, καὶ μεθέξεσι θείαις θεούμενος, αἴτησαι ὑπὲρ πάντων τῶν δεομένων σου, μάρτυς προστασίας, τῆς θερμῆς καὶ ἀντιλήψεως.

Σαρκὶ τὸν ἄσαρκον κατεπάλαισας, περιφανῶς Γεώργιε μαρτύρων ἀγλάϊσμα, καὶ προστάτης πιστῶν ἐχρημάτισας, ὅθεν ἐν κατανύξει ἀναβοῶμέν σοι, πάντων τῶν τοῦ βίου δυσχερῶν ἡμᾶς διάσωσον.

Ἡ νῦν κατέχουσα ῥαθυμία σε, καὶ τῶν καλῶν ἀργία ὦ ψυχὴ τὴν ἐκεῖθέν σοι, προξενεῖ τιμωρίαν ἀνάνηψον, κράξον πρὸς τὸν Δεσπότην, Κύριε σῶσόν με, θείαις Γεωργίου, προσευχαῖς τοῦ ἀθλοφόρου σου.

**Θεοτοκίον**

Φωνὴν προσφέρω σοι χαριστήριον, χαῖρε ἁγνὴ Παρθένε τῶν μαρτύρων τὸ καύχημα, καὶ ἀνθρώπων πιστῶν τὸ διάσωσμα, χαῖρε ἁμαρτανόντων θεία βοήθεια, χαῖρε ἱλαστήριον ἡμῶν καὶ καταφύγιον.

---

## ΗΧΟΣ ΒΑΡΥΣ

Κανὼν ζ'. οὗ ἡ ἀκροστιχίς

«Ὠδὴν φέρω σοι παμμάκαρ τὴν ἑβδόμην· Ἰωσήφ».

**Ὠδὴ α'. Ἦχος βαρὺς**

**Νεύσει σου πρὸς γεώδη**

Ὡς ταῖς ὑπερκοσμίαις, συναγελάζων χορείαις, καὶ θέσει θεούμενος, καὶ δόξης ἐμφορούμενος μάρτυς Γεώργιε πάντας, τοὺς ἀνευφημοῦντάς σε σῶζε πρεσβείαις σου.

Δόξης ἀδιαδόχου, ἀξιωθεὶς ἀθλοφόρε, τοὺς πίστει δοξάζοντας, τοὺς ὑπὲρ φύσιν πόνους σου, δεῖξον φωτὸς κληρονόμους, καὶ τῆς ἀϊδίου ζωῆς καὶ λαμπρότητος.

Ἤμβλυνας τῶν τυράννων, ἀντιτυπίαις ἀγώνων, τὰ βέλη Γεώργιε καὶ ξίφη θείᾳ χάριτι· ὅθεν πίστει σοι βοῶμεν, ῥῦσαι τῶν βελῶν ἡμᾶς πάντας τοῦ ὄφεως.

**Θεοτοκίον**

Νέκρωσον ὁ προπάτωρ, τῷ ζωηφόρῳ σου τόκῳ, σαφῶς ἐξεδύσατο στολὴν ἀθανασίας δέ, εὗρεν ἀνυμνολογῶν σε, τὴν εὐλογημένην ἁγνὴν Θεομήτορα.

Ὠδὴ γ'.

**Ὁ κατ' ἀρχὰς τοὺς οὐρανοὺς**

Φρενοβλαβῶς διηνεκῶς, ἐξαμαρτάνοντες μάρτυς, συγγινοῦμεν εἰς παροργισμόν, τὸν πάντων Θεόν, καὶ μόνον εὔσπλαγχνον, ἀλλὰ βοήθησον ἡμῖν, σαῖς εὐπροσδέκτοις πρεσβείαις, μάκαρ μεγαλώνυμε Γεώργιε.

Ἐν ἀμελείᾳ τὴν ζωήν, ἐκδαπανῶν ἀναμένω, τὰς βασάνους τὰς διηνεκεῖς, Χριστοῦ ἀθλητὰ βοήθει ῥῦσαί με, ἐπιστροφὴν πρὸ τελευτῆς, ἐκδυσωπῶν μοι δοθῆναι, ὅπως ἐν αἰνέσει μακαρίζω σε.

Ῥωμαλαιότητι νοός, τοὺς ἀνομοῦντας καθεῖλες, καὶ βραβεῖα ἦρω ἐκ Θεοῦ, καὶ πρέσβυς πιστοῖς ἐδείχθεις ἄριστος, ἐγγυητὴς ἁμαρτωλῶν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ἑτοιμότατος ῥύστης, τῶν προσκαλουμένων σε Γεώργιε.

**Θεοτοκίον**

Ὡς τὸν ἀχώρητον παντί, ὑπερβολῇ εὐσπλαγχνίας, χωρηθέντα σου ἐν τῇ γαστρί, τεκοῦσα σαρκί, δυσώπει Δέσποινα, στενοχωρίας με δεινῆς, καὶ ἐκ παθῶν ἀτιμίας, ἀπολυτρωθῆναι ἀνυμνοῦντά σε.

**Ὠδὴ δ΄.**

**Ὁ πατρικοὺς κόλπους**

Σὺ τὸν καλὸν δρόμον εὐσταλῶς, διαδραμὼν ὡς νικηφόρος ἄριστος, ἐκ Θεοῦ νίκης διάδημα, ἐδέξω ἀμάραντον, ἀθλητὰ παμμάκαρ Γεώργιε.

Ὁλολαμπὴς ὤφθης ἀστήρ, καταφωτίζων τὰ τῆς γῆς πληρώματα, ἀλλὰ φώτισόν με ἅγιε, σκότει καλυπτόμενον, ἁμαρτίας πάσης Γεώργιε.

Ἱκετηρίαν τῷ ἀγαθῷ διηνεκῆ, μάρτυς σοφὲ προσάγαγε, ὅπως εὕρωμεν βοήθειαν, ἐν καιρῷ περιστάσεως, οἱ προστάτην θεῖον πλουτίσαντες.

**Θεοτοκίον**

Πολυωνύμως τῶν Προφητῶν, θεῖος ὁ χορὸς μήτηρ Θεοῦ σε, ἐκάλεσε, ὄρος θεῖον ἀλατόμητον, πύλην ἀδιόδευτον, κιβωτὸν καὶ γῆν ἀγεώργητον.

**Ὠδὴ ε΄.**

**Κύριε ὁ Θεός μου**

Ἄλλον ὡς οὐρανόν σε, ὑψηλὸν τοῖς ἄθλοις γεγενημένον, Κύριος ἐδόξασεν, ὡς ἄστρα τὰ θαύματα, κεκτημένος ἔνδοξε μάρτυς, καὶ πιστῶν καρδίας εὐφραίνοντα.

Μή με καταδικάσῃς, μή με ἀπορρίψῃς τοῦ σοῦ προσώπου. φιλάνθρωπε Κύριε, θερμῶς ἱκετεύει σε, ὁ κλεινὸς καὶ θεῖός σου μάρτυς, καὶ τῆς ἀληθείας ὑπέρμαχος.

Μάστιγας γενναιόφρον, ὑπομείνας ἀθλητὰ Γεώργιε, διὸ ἱκετεύω σε, βασάνων με λύτρωσαι, τῶν ἐναποκειμένων, τὸν ἀμετανόητον πταίσαντα.

**Θεοτοκίον**

Ἅγιον ἐν ἁγίοις, ἐπαναπαυόμενον τετοκυῖα, ὅλον με ἁγίασον, κακοῖς ἐπιμένοντα, καὶ μὴ συνιέντα τὸ μέλλον, τοῦ ἐκ σοῦ τεχθέντος κριτηρίου.

**Ὠδὴ ς΄.**

**Ναυτιῶν τῷ σάλῳ**

Κυματούμενόν με, πάσαις ταῖς μοχθηρίαις τοῦ βίου, καὶ σάλῳ ποντούμενον ἁμαρτίας, καὶ ταῖς παγίσιν ἐχθροῦ περιπίπτοντα, μάρτυς ἀθλοφόρε μὴ παρίδῃς, ἀλλὰ συμπαθείαις με ταῖς σαῖς διάσωσον.

Ἀθλοφόρε μάρτυς, συμμέτοχε Χριστοῦ παθημάτων, καὶ δόξης μελλούσης συγκληρονόμε, καὶ τῶν Ἀγγέλων συνόμιλε ἅγιε, πάντων τῶν τοῦ βίου συμπτωμάτων, τοὺς ὑμνολογοῦντάς σε πιστῶς περίσωζε.

Ῥυπωθεῖσαν πάσαις, μάρτυς μεθοδίαις τοῦ πλάνου, ψυχήν μου καθάρισον ἱκετεύων, τὸν ὑπεράγαθον Λόγον Γεώργιε, ὅπως ἐπιτύχοιμι μερίδος, τῆς τῶν σῳζομένων ἀνυμνῶν τὴν χάριν σου.

**Θεοτοκίον**

Τῶν ἐμῶν πταισμάτων, Δέσποινα διάρρηξον κόρη, χειρόγραφον βίβλῳ με σῳζομένων, ἐγκαταγράφουσα θείαις πρεσβείαις σου, ὅπως ἐν αἰνέσει σὲ γεραίρω, τὴν ἁγιωτέραν Χερουβὶμ ὑπάρχουσαν.

**Ὠδὴ ζ΄.**

**Κάμινον Παῖδες**

Ἤστραψας μάρτυς ταῖς ἀνδραγαθίαις, καθάπερ ἥλιος ἄδυτος,



καὶ καταυγάζεις τοῦ κόσμου τὰ πέρατα, σημείων λαμπρότησιν, εἰς Κυρίου δόξαν καὶ αἴνεσιν.

Νενεκρωμένην κακῶν ἐνεργείαις, καὶ προφανῶς, τὴν ταπεινὴν ψυχήν μου, μάρτυς ζώωσον, καὶ πράττειν ταῖς σαῖς, ἱκεσίαις νῦν δυνάμωσον.

Ἐθελουσίοις ὁρμαῖς πρὸς τὸ πάθος, μάρτυς Κυρίου ἐχώρισας· ὅθεν βοῶ σοι ἀεί, ἑκουσίως πρὸς τὰ πάθη νεύοντα, ἐπιστρέψας σῶσόν με, θείαις πρεσβείαις σου.

**Θεοτοκίον**

Βεβαρημένον τὸν νοῦν μου τῷ ὕπνῳ τῆς ἀμελείας πανάμωμε, πρὸς ἀγαθὰς ἐργασίας διέγειρον, ὅπως μακαρίζω σε, τὴν τιμιωτέραν πάσης τῆς κτίσεως.

**Ὠδὴ η΄.**

**Ἄφλεκτος πυρὶ**

Δόξης αἰωνίου τυχεῖν κατηξιώθης, διὸ τοὺς σὲ δοξάζοντας, ἐνθέου δόξης καταξίωσον, ἐκδυσωπῶν τὸν Χριστόν, μάρτυς Γεώργιε, πρὸς ὃν ἀεὶ κραυγάζομεν, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οὐκ ἐσαλεύθης προσβολαῖς μάρτυς βασάνων, οὐ τοῖς γλυπτοῖς ἐπέθυσας· διὸ ἀεί με σαλευόμενον, ταῖς μεθοδίαις τοῦ ἐχθροῦ, καὶ σκελιζόμενον δεινῶς στήριξον ψάλλοντα, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μετὰ πασῶν μαρτύρων σοφέ, καὶ οὐρανίων δυνάμεων, ἱκέτευε τὸν ὑπεράγαθον Θεὸν ἡμῶν, καταπεμφθῆναι ἡμῖν, ἁμαρτημάτων ἱλασμόν, πιστῶς κραυγάζοντας. Πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ ὑπερούσιος Τριάς, Πάτερ καὶ Λόγε καὶ Πνεῦμα τὸ Πανάγιον, δόξα σοὶ πρέπει καὶ προσκύνησις· διό σε οἱ ἐπὶ γῆς ὑμνολογοῦντες εὐσεβῶς, πόθῳ κραυγάζομεν· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον**

Νενεκρωμένον μου τὸν νοῦν τῇ ἁμαρτίᾳ, ἡ τὴν ζωὴν κυήσασα, ἁγνὴ Παρθένε ζωοποίησον, καὶ σῶσον ταῖς πρὸς Θεὸν καταλλαγαῖς σου μητρικαῖς ἀεί με ψάλλοντα· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄.**

**Μὴ τῆς φθορᾶς**

Ἱερωτάτους ἀγῶνας, μάρτυς διήνυσας, καὶ βραβεῖα τῆς νίκης ἐξ ὕψους εἴληφας, καὶ συνηρίθμησαι μαρτύρων ταῖς ἀγέλαις, Γεώργιε τρισμάκαρ, προστάτης ἡμῶν μέγας, πρὸς τὸν πάντων Θεὸν γενόμενος.

Ὡς τῷ φωτὶ τῷ μεγάλῳ, ἐγγίζων πάντοτε, φωτιστικαῖς σοῦ πρεσβείαις τὰ σκοτινώτατα νέφη διάλυσον, Γεώργιε τρισμάκαρ, τῆς ἡμῶν διανοίας, καὶ δίδου εὐσχημόνως, τοῦ Κυρίου πράττειν τὸ θέλημα.

Στένω καὶ τρέμω καὶ κλαίω καὶ ἀποδύρομαι, ῥαθύμως τὸν βίον πάντα διεξερχόμενος, μήπως προφθάσῃ με ἡ ὥρα τοῦ θανάτου ἀνέτοιμον, καὶ μέλλω εἰς πῦρ κατακριθῆναι, ἀθλοφόρε Χριστοῦ βοήθει μοι.

Ἡ φοβερὰ ἐπὶ θύραις ἡμέρα πάρεστι, καὶ τί ποιήσῃς ψυχή μου οὖσα ἀνέτοιμος; σπεῦσον καὶ βόησον, Θεῷ τῷ φιλανθρώπῳ, οἰκτείρησόν με σῶσον, πρεσβείαις εὐπροσδέκτοις, Γε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ωργίου τοῦ Χριστομάρτυρος.

Θεοτοκίον

Φιλανθρωπότατον Λόγον ἀποκυήσασα, τὸν ἁμαρτίας κόσμου Παρθένε αἴροντα· τοῦτον ἱκέτευε, ἡμῖν καταπεμφθῆναι, ἁμαρτημάτων λύσιν, τοῖς πίστει ἀδιστάκτῳ, καταχρέως σὲ μακαρίζουσιν.

---

## ΗΧΟΣ ΠΛ. Δ΄.

Κανὼν η΄. οὗ ἡ ἀκροστιχίς

«Τὴν ὀγδόην δέησιν παμμάκαρ δέχου Ἰωσήφ.»

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄.**

**Ὑγρὰν διοδεύσας**

Τὸν θεῖον ἀγῶνα μάρτυς Χριστοῦ, διηγωνισμένος ἠξιώθης ἐπιτυχεῖν, τῆς ἐπουρανίου βασιλείας ὑπὲρ τοῦ κόσμου πρεσβεύων Γεώργιε.

Ἠλλοίωσας δόγμα τυραννικόν, ἐνθέοις ἀγῶσιν, ἀλλὰ δέομαι ἀθλητά, ταῖς σαῖς μεσιτείαις οἴκτειρόν με, πρὸς τὰ κακὰ ἀλλοιούμενον πάντοτε.

Ναὸς χρηματίσας τοῦ Παντουργοῦ, τοὺς ἐν τῷ ναῷ σου, τῷ ἁγίῳ μάρτυς Χριστοῦ, ἀνυμνολογοῦντας ταῖς εὐχαῖς σου, κατοικητήρια δεῖξον τοῦ Πνεύματος.

Θεοτοκίον

Ὁ πλήρης κενοῦται ἐν τῇ γαστρί, τῇ σῇ μὴ κενώσας, τοὺς Πατρῴους κόλπους ἁγνή· τοῦτον οὖν δυσώπει σωτηρίας, καταξιῶσαι τοὺς πίστει τιμῶντάς σε.

**Ὠδὴ γ΄.**

**Σὺ εἶ τὸ στερέωμα**

Γένος περιφάνειαν, καταλιπὼν Χριστοῦ ἔσπευσας, μάρτυς θανεῖν, οὗπερ ἀπολαύεις, τὴν ζωὴν τὴν αἰώνιον.

Δὸς ἡμῖν βοήθειαν, τοῖς κινδυνεύουσι πάντοτε, ταῖς κοσμικαῖς, μάρτυς ἐπηρείαις, καὶ δειναῖς περιστάσεσι.

Ὄλβιος γενόμενος, καὶ φωτισμοῦ παντὸς ἔμπλεως, πάντως πλουτεῖν, τὴν δικαιοσύνην, ἀθλοφόρε ἱκέτευε.

Θεοτοκίον

Ἤνεγκας τὸν ἄσταχυν, τὸν ἀγεώργητον ἄχραντε, πάντων ἡμῶν, τρέφοντα καρδίας τῶν πιστῶν ἀνυμνούντων σε.

**Ὠδὴ δ΄.**

**Εἰσακήκοα Κύριε**

Νόμους θείους παρέβλεψα, καὶ παρανομίαις πάσαις συνέζησα, σπεῦσον ἅγιε βοήθει μοι, τῷ κατεγνωσμένῳ ἱκετεύω σε.

Δεσμευθεὶς διὰ Κύριον, πᾶσαν τὴν κακίαν ἐχθροῦ διέλυσας, ἐξ ἧς ἅπαντας περίζωσε, τοὺς πιστῶς σε μάρτυς λιτανεύοντας.

Ἐν ἡμέρᾳ τῆς κρίσεως, ὅταν παραστῶμεν Κυρίῳ κρίνεσθαι, βοηθὸς ἡμῖν γενήθητι, τοῖς κατεγνωσμένοις μάρτυς ἔνδοξε.

Θεοτοκίον

Ἡ Θεὸν σωματώσασα, τὸν ἀνερμηνεύτως ἐν σοὶ οἰκήσαντα, τοῦτον αἴτησαι Πανάμωμε, αἰωνίου δόξης ἀξιῶσαί με.

**Ὠδὴ ε΄.**

**Ὀρθρίζοντες βοῶμέν σοι**

Συνὼν ταῖς οὐρανίαις δυνάμεσιν, ἀθλοφόρε σωθῆναι ἱκέτευε, τοὺς ἐπὶ γῆς ἀνυμνοῦντάς σε.

Ἰάτρευσον Γεώργιε ἔνδοξε, τῆς ψυχῆς μου τὰ πάθη τὰ χρόνια. ἐκδυσωπῶν τὸν φιλάνθρωπον.



Νομίμως ἐναθλήσας, τοὺς νόμους διαφυλάττειν, ἡμᾶς ἐνδυνάμωσον, τοῦ Παντοκράτορος ἔνδοξε.

Θεοτοκίον

Παρθένε Θεοτόκε ἱκέτευε, τὸν Υἱόν σου πταισμάτων συγχώρησιν, ἡμῖν δοθῆναι καὶ ἔλεος.

**Ὠδὴ ϛ΄.**

**Ἱλάσθητί μοι Σωτὴρ**

Ἀνέτειλέ σοι σοφέ, φῶς ἄδυτον ἐναθλήσαντι, καὶ εὐφροσύνης σκηναί, ἅγιαι ἐδέξαντο, ἐν αἷς αὐλιζόμενος, τῶν ἐπὶ τῆς γῆς σε, εὐφημούντων μάρτυς μέμνησο.

Μεγάλους ἐπὶ τῆς γῆς, ἀνύσας ἄθλους Γεώργιε, μεγάλων ἡμᾶς κακῶν, κινδύνων καὶ θλίψεων, ταῖς σαῖς ἀπολύτρωσαι, ἱεραῖς πρεσβείαις, ἵνα πόθῳ σε δοξάζωμεν.

Μὴ δείξῃς με Ἰησοῦ, κατεγνωσμένον ἡνίκα σου, τῷ θρόνῳ τῷ φοβερῷ, Λόγε παραστήσωμαι ἀλλ' οἴκτειρον σῶσόν με, θείαις μεσιτείαις, Γεώργιε πολυέλεε.

Θεοτοκίον

Ἁγίασόν με τὸν νοῦν, καὶ τὴν ψυχὴν φωταγώγησον, τὸν ἐν Ἁγίοις Θεόν, ἐπαναυόμενον ἀρρήτως κυήσασα, Παναγία Κόρη, Θεοτόκε ἀειπάρθενε.

**Ὠδὴ ζ΄.**

**Οἱ ἐκ τῆς Ἰουδαίας**

Κοσμικῶν με σκανδάλων, καὶ παθῶν ἀτιμίας καὶ πάσης θλίψεως, Γεώργιε τρισμάκαρ διάσωζε καὶ δίδου, ἀναμέλπειν ἑκάστοτε, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀγαθέ μου προστάτα, δυσχερείαις τοῦ βίου κλυδωνιζόμενον, μηδόλως με παρίδῃς, ἀλλ' οἴκτειρον εὐχαῖς σου, καὶ διάσωσον ψάλλοντα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ῥαθυμίας ἀτόπου, καὶ δεινῆς ἁμαρτίας καὶ ἀμαυρώσεως, Γεώργιε παμμάκαρ, προστρέχοντά με ῥῦσαι, τῇ θερμῇ ἀντιλήψει σου, ὅπως τιμῶν σε πιστῶς, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Δαπανήσας τὸν χρόνον, τῆς ζωῆς μου Παρθένε ἐν ἀμελείᾳ πολλῇ, προσπίπτω καὶ βοῶ σοι, διέγειρόν με σῶσον τῷ Υἱῷ σου κραυγάζοντα, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Ὠδὴ η΄.**

**Νικηταὶ τυράννου**

Ἐν πυρὶ βασάνων, ὡς χρυσὸς Γεώργιε, ἐδοκιμάσθης καὶ τῶν παθημάτων τοῦ Χριστοῦ ἐκφράγισμα βοῶν ἐδείχθης· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Χειμαζόμενόν με, καὶ δελεαζόμενον τοῦ ἀλλοτρίου, ταῖς δειναῖς ἀπάταις, προσευχαῖς σου ἅγιε βοῶντα σῶσον, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ τὴν δυναστείαν, πᾶσαν τοῦ ἀλάστορος ἐξαφανίσας, τῆς αὐτοῦ με ῥῦσαι, ἔνδοξε κακώσεως ἀναβοῶντα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον

Ὑπὲρ εὐσπλαγχνίαν, ἄνθρωπον γενόμενον τὸν εὐεργέτην, ἀπορρήτως τίκτεις, Θεοτόκε σώζοντα τοὺς μελῳδοῦντας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

**Ὠδὴ θ΄.**

**Ἔφριξε πᾶσα ἀκοή**

Ἵνα σε θείαις ἐν φωναῖς, μακαρίζωμεν καλῶς ἐναθλήσαντα, μάρτυς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Γεώργιε, καὶ τὰ τοῦ πλάνου κέντρα συντρίψαντα, σῶζε ἡμᾶς πολυειδῶν κινδύνων καὶ θλίψεων καὶ περιστάσεων, τοὺς προστάτην σε καλὸν εὐμοιρήσαντας.

Ὡς ὄρθρος ὡς ἡμερινός, ἐξανέτειλας ἀστὴρ παναοίδιμε, καὶ κατεφώτισας, ταῖς διδαχαῖς σου πάντα τὰ πέρατα, καὶ τῶν δαιμόνων τὸ δεινὸν σκότος ἐξηφάνισας, διό με φώτισον, ῥαθυμίᾳ τὴν ψυχὴν σκοτιζόμενον.

Στήριξον πάντας τοὺς πιστούς, ἐν τῇ σκέπῃ σου ἀεὶ καταφεύγοντας μάρτυς Γεώργιε, ὅπως τοῦ βίου ταῖς περιστάσεσι, καὶ μηχαναῖς τοῦ πονηροῦ, μὴ περιτρεπώμεθα οἱ ἐτησίως σε, μεγαλύνοντες ὁμοῦ καὶ δοξάζοντες.

Ἤγγικε πρόσεχε ψυχή, ἡ ἡμέρα ἡ μεγάλη τῆς Κρίσεως, ὅταν τὸ ποίημα, ἀχθῇ εἰς κρίσιν καθάπερ γέγραπται, καὶ τί ποιήσεις πονηροῖς ἔργοις ἐπιμένουσα; σπεῦσον καὶ βόησον, Γεωργίου με εὐχαῖς σῶσον Κύριε.

**Θεοτοκίον**

Φρίττω σου μόνε Βασιλεῦ, τὸ ἀδέκαστον ὁ τάλας κριτήριον, ἐν ᾧ μὲ τήρησον, τῇ εὐσπλαγχνίᾳ σου ἀκατάκριτον, ἐκδυσωπεῖ σε ἐκτενῶς ἡ Πάναγνος Δέσποινα ἡ ἀπορρήτως σε, σωματώσασα Χριστὲ πολυέλεε.

---

Ἕτεροι τρεῖς Κανόνες εἰς τὸν Ἅγιον Γεώργιον ἐκ τοῦ Κώδικος Θ. 122.

## ΗΧΟΣ Δ΄.

Κανὼν ἕτερος οὗ ἡ ἀκροστιχὶς «Γεώργιον Θεοῦ σὲ δοξάζω μάκαρ Ἰωσήφ».

**Ὠδὴ α΄. Ἦχος δ΄.**

**Τριστάτας κραταιοὺς**

Γεώργιον Θεοῦ, εὐθυνούμενον ὤφθης, διατρέφων τοὺς πιστούς, μιμήσει εὐσεβεῖ, ἀθλοφόρε Γεώργιε, μνήμην σου τὴν φωτοφόρον, ἱερῶς ἑορτάζοντας, καὶ ἐν ταύτῃ θερμῶς σὲ δοξάζοντας.

Ἐξέκαυσε τὴν σήν, ἀθλοφόρε καρδίαν, θεῖος ἔρως ἀληθῶς, αὐτόκλητος διό, πρὸς τυράννους ἐπέδραμες, φλέγων τῆς πολυθεΐας, τὴν ἀπάτην, καὶ γνώσεως, φωτισμὸν ἀπαστράπτων σωτήριον.

Ὡς λέων πεποιθώς, τῷ σταδίῳ ἐπέστης, καταγγέλλων ἐμφανῶς, τὴν σάρκωσιν Χριστοῦ, δι᾽ ἧς κόσμος λελύτρωται, πτώσεως ἀρχαιοτέρας, καὶ τὴν πρώτην ἀπέλαβεν, εὐκαρπίαν τρισμάκαρ Γεώργιε.

**Θεοτοκίον**

Ῥυόμενος ἡμᾶς, καταδίκης ἀρχαίας, ὁ Υἱὸς ὁ τοῦ Θεοῦ, ἐγένετο Υἱός, τῆς Παρθένου ὡς ἄνθρωπος, ὅθεν τοῦτον ἐν οὐσίαις, ταῖς δυσὶ καὶ θελήσεσιν, ὀρθοδόξῳ καρδίᾳ δοξάζομεν.

**Ὠδὴ γ΄.**

**Τόξον δυνατῶν**

Γένους καὶ πατρίδος εὔκλειαν, χαίρων ἀπηρνήσω, καὶ τῷ Χριστῷ ἠκολούθησας, καὶ τῆς ἄνω Σιὼν οἰκήτωρ, μάρτυς ὤφθης ὡραιότατος. (Δὶς)

Ἵνα κληρονόμος ἄριστος, καὶ θετὸς τοῦ ζῶντος, Θεοῦ Υἱὸς ὀφθῇς ἤνεγκας, ἀλγηδόνας καὶ τρικυμίας, τῶν βασάνων μάρτυς ἄριστε.

**Θεοτοκίον**

Ὅλον τὸν Ἀδὰμ ἐφόρεσεν ὁ δι᾽ εὐσπλαγχνίαν νέος Ἀδὰμ Παναμώμητε, χρηματίσας ἐκ σοῦ τῆς μόνης, τῶν ἀνθρώπων ἀναπλάσεως.

**Ὠδὴ δ΄.**

**Δι᾽ ἀγάπησιν οἰκτίρμον**

Νεκρωθέν σου τὸ σαρκίον βασάνοις, μάκαρ τοῦ νεκρωθέντος Λόγου, ἐξεικόνιζε πάθος, τοῦ δωρησαμένου ζωὴν τὴν αἰώνιον.



Θυρεῷ τῆς ἀληθείας συμπεφραγμένος, ὑπασπιστὰς τοῦ ψεύδους, σταθηρᾷ διανοίᾳ, ἄρδην ἐξηφάνισας θεόφρον Γεώργιε.

Ἐδοξάσθη σου τοῖς μέλεσι τοῖς ἁγίοις, ὁ τῶν βροτῶν φορέσας, τὴν ἀσθένειαν Λόγος, ὅθεν αἰωνίως σε δοξάζει Γεώργιε.

**Θεοτοκίον**

Ὁ τὸ εἶναι δωρησάμενος τοῖς ἀνθρώποις, καὶ τὸ εὖ εἶναι τούτοις, παραβάσει φθαρεῖσιν, ἄχραντε δεδώρηται, γενόμενος ἄνθρωπος.

**Ὠδὴ ε΄.**

**Σὺ Κύριέ μου φῶς**

Ὑπῆλθες ἀνδρικῶς, τῶν μαρτύρων τὸ στάδιον, καὶ ἔθραυσας τῶν εἰδώλων, ἀθλοφόρε τὰ θράση, τὸ σῶμα συντριβόμενος.

Σὲ λίθον διαυγῆ, ὁ Δεσπότης ἐν στέμματι, κατέπηξεν ἀθλοφόρε, τῆς αὐτοῦ Ἐκκλησίας, ὁσίως διαλάμποντα.

Ἐτύθης ὡς ἀμνός, τοῦ καλοῦ ἀρχιποίμενος, τὸν θάνατον εἰκόνισας, καὶ προσήχθης τῇ ἄνω, τραπέζῃ θῦμα ἄμωμον.

**Θεοτοκίον**

Διάσωσον ἡμᾶς, ἐκ κινδύνων καὶ θλίψεων, πανάχραντε Θεοτόκε, καὶ κολάσεως ῥῦσαι, μελλούσης ἱκεσίαις σου.

**Ὠδὴ ϛ΄.**

**Ἦλθον εἰς τὰ βάθη**

Ὀργάνοις στρεβλούμενος τὸ σῶμα, κολαστηρίοις μάρτυς, τοῦ ἀλάστορος πάσας στρεβλώσεις, τὰς πονηρὰς ἀνδρικῶς διέλυσας, παμμακάριστε Γεώργιε. (Δὶς)

Ξίφη κατατέμνοντα τὸ σῶμα, καὶ καταπέλτας μάρτυς, φλογιζούσης δι᾽ εἶδος καμίνου, τῆς εἰς Θεὸν γνώμης πυρακτούμενος, παντελῶς οὐκ ἐδειλίασας.

**Θεοτοκίον**

Ἅγιος ναὸς τοῦ ἐν ἁγίοις, ἐπαναπαυομένου ἐχρημάτισας, Θεογεννῆτορ· ὅθεν ἡμᾶς τοὺς πιστῶς, ὑμνοῦντάς σε ἁγιάζεις ἀειπάρθενε.

**Ὠδὴ ζ΄.**

**Νέοι τρεῖς ἐν Βαβυλῶνι**

Ζῶσα γένονας θυσία, μάρτυς τῷ ὑπὲρ ἡμῶν τυθέντι ὡς πρόβατον, δαίμοσι θυσίας τε μάτην, προσαγομένας ἔπαυσας, ἐν Χριστῷ δυναμούμενος.

Ὤφθης εὔφορον ὡς κλῆμα, φέρον βότρυας ἡμῖν, καρτερίας ἔνδοξε, οἶνον ἀποστάζοντας θεῖον, τὸν τὰς καρδίας πάντων τῶν εὐσεβῶν κατευφραίνοντα.

Μέλη δέδωκας προθύμως, τέμνεσθαι διὰ Χριστόν, ἔμεινας ἄτμητος, τῆς τούτων ἀγάπης παμμάκαρ καὶ κληρονόμος πάντων, τῶν ἀγαθῶν ἀγαλλόμενος.

**Θεοτοκίον**

Αἴνεσιν Θεῷ προσάγει, πᾶσα κτίσις ἐκ τῆς σῆς, τεχθέντι πανάμωμε, κόρη παναγίας κοιλίας, καὶ τῆς ἀρχαίας ἅπαντας, ἡμᾶς ἀρᾶς ἀπαλλάξαντι.

**Ὠδὴ η΄.**

**Λυτρωτὰ τοῦ παντὸς**

Κυβερνήτης πλεόντων, πανάριστος βοηθὸς τῶν ἐν θλίψεσι μέγιστος, ἀναδειχθεὶς Γεώργιε, διασώζεις τοὺς πίστει σοι, καθεκάστην ἀδιστάκτῳ, καρδίᾳ προστρέχοντας.

Ἀληθείας ἐδείχθης ὑπέρμαχος, καὶ τοῦ ψεύδους ἐφάνης κατήγορος,

Athos Library Αγιορειτική Βιβλιοθήκη

ἡμῶν δὲ πάλιν στήριγμα, ἀθλοφόρε τῶν πίστει ἀναβοώντων· εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ῥαντισμῷ τῶν αἱμάτων σου ἔσβεσας, τοὺς τῆς πλάνης Γεώργιε ἄνθρακας, καὶ τῶν πιστῶν κατήρδευσας, τὰς καρδίας τῶν πίστει, ἀνευφημούντων καὶ τελούντων, τὴν ἔνδοξον μνήμην σου.

**Θεοτοκίον**

Ἰεσσαὶ ἐκ τῆς ῥίζης ἐβλάστησας, καὶ κακίας τὴν ῥίζαν ἀνέσπασας, τὸν φυτουργὸν τῆς κτίσεως, ἐκβλαστήσασα Κόρη, ᾧ μελῳδοῦμεν· εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

**Ὠδὴ θ'.**

**Εὔα μὲν τῷ τῆς παρακοῆς**

Ὡς ὄρθρος ὡς ἥλιος φαιδρός, ἀνέτειλας καὶ τὴν κτίσιν κατεφώτισας ἄθλων ἀδύτων φρικτωρία, θαυμάτων τε πολλαῖς ἐπιδείξεσι, Γεώργιε μαρτύρων ἀγλάϊσμα, ὅθεν σε πόθῳ μακαρίζομεν.

Σταλάζων τὸν θεῖον γλυκασμόν, Γεώργιε ὥσπερ ὄρος πεφανέρωσαι, τὴν τῶν παθῶν ἡμῶν πικρίαν, ἐξαίρων καὶ γλυκαίνων ἑκάστοτε, ψυχάς τε καὶ καρδίας τῶν πίστει σε, μακαριζόντων ἀξιάγαστε.

Ἡγίασας αἵματι τὴν γῆν, καὶ πνεύματι εὐφροσύνης τὰ οὐράνια, ἔπλησας μάρτυς· ὅθεν πᾶσα ψυχή σε εὐσεβῶν ὡς θεράποντα, Κυρίου ἀγαπᾷ γνησιώτατον, καὶ βοηθόν σε ἐπιγράφεται.

**Θεοτοκίον**

Φωνήν σοι τοῦ θείου Γαβριήλ, προσάγομεν χαρμοσύνως ἀνακράζοντες· Χαῖρε χαρὰ τῆς οἰκουμένης, τῆς λύπης ἀναιρέτην κυήσασα, καὶ Εὔας ἀφελοῦσα τὸ ὄνειδος· χαῖρε Παρθένε ἀπειρόγαμε.

## ΗΧΟΣ Δ'.

Ἕτερος Κανὼν τοῦ κυρ Κοσμᾶ φέρων ἀκροστιχίδα τήνδε «Χαίροις ἀθλητὰ παμμάκαρ Γεώργιε»

**Ὠδὴ α'. Ἦχος δ'.**

**Χοροὶ Ἰσραὴλ**

Ἄθλων ἱερῶν ἀνύσας δρόμον, καὶ πρὸς οὐρανὸν ἐπειγόμενος οὐκ ἀγέραστος στεφηφόρος ἐδείχθης, εὐσταλὴς Γεώργιε, φανεὶς σταδιοδρόμος, καὶ σὺν τοῖς Ἀγγέλοις χορεύεις, ᾄσωμεν τῷ Θεῷ ὅτι δεδόξασται. (Δίς)

Ἱδρῶτι χρηστῶν εἰσέτι πόνων, ταῖς ὑπερκοσμίοις ὤφθης χορείαις σταζόμενος, ἀσωμάτων τάξεις, τῆς σαρκὸς Γεώργιε ἐκπλήξας θείοις ἄθλοις, ταύταις συγχωρεύων κραυγάζεις· ᾄσωμεν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Ῥάβδος Ἀαρὼν βλαστήσασα τὴν ἐξ Ἰεσσαὶ προετύπου ἀναφανεῖσαν ῥίζης, σὲ τὴν ἄχραντον, ἄνθος κόσμῳ ἀνατείλασαν, Θεὸν σεσαρκωμένον, ὃν ὑπὲρ ἡμῶν δυσωποῦσα, πρεύσβευε ἀειπάρθενε τῶν προσφευγόντων εἰς σέ.

**Ὠδὴ γ'.**

**Ὅτι στεῖρα ἔτεκεν**

Ἱλαρῶς μετέδωκας, τοῖς πενομένοις τὸν πλοῦτον, καὶ πιανθεὶς ἐλαίῳ ἀγάπης σῶμα καὶ ψυχὴν ἀθλητικῶς Γεώργιε, τοὺς τυράννους ἄμφω κατεπάλαισας. (Δίς)

Στηριχθεὶς τῇ χάριτι, καὶ πυρπολούμενος ζήλῳ, μὴ ἐρωτῶσιν ὤφθης εὑρέθης τοῖς μὴ ζητοῦσιν, ὑπὲρ Χριστοῦ Γεώργιε, χολούμενος πλάνῃ δυσειδαίμονι. (Δίς)

**Ὠδὴ δ'.**

**Ἀκήκοα σου Χριστὲ**

Θάμβος πρὸ δικαστικῶν, βημάτων ἐνέσκηπτε τῇ ἀσυγκρίτῳ δημηγορίᾳ, τῶν λόγων τῆς σῆς σοφίας Γεώργιε Χριστός· τοῖς ἀγνοοῦσι δὲ Θεὸς ἐγνωρίζετο. (Δίς)

Λόγῳ πίστεως Χριστοῦ, Γεώργιε πάνσοφε σοφιστικῶν τὰς πλοκάς, διέλυσας μύθων, αἰσχρῶν παθῶν δέ, θεοὺς δημιουργούς, ἐξεμυκτήρισας Τριάδος ὑπέρμαχε.

Ἤχησαν τὴν ἀκοήν, τῶν λόγων σου τύραννοι, σὺ γὰρ θεοὺς κερτομῶν γελοίους ἐδείκνυς, Χριστὸν τὸν Θεὸν σαρκὶ σταυρωθέντα, καὶ καταργήσαντα ἀπάτην ψυχώλεθρον.

**Ὠδὴ ε'.**

**Τὸν φωτισμόν σου Κύριε**

Ἀθλητικῶς Γεώργιε, πλεκόμενος λαβάς, ποικίλης πλάνης, ἀνδρείως ὑπέστης, κόσμου δὲ γυμνός, τὸ κράτος εἷλες, τοῦ δεινοῦ κοσμοκράτορος. (Δίς)

Περιφραχθεὶς Γεώργιε, τῷ ὅπλῳ τοῦ σταυροῦ ἐλπίδι πίστει ἀγάπῃ κραταιῷ, ἤμβλυνας ἀκμὴν καὶ πανοπλίαν τοῦ δεινοῦ πολεμήτορος. (Δίς)

**Ὠδὴ ϛ'**

**Ἐβόησε προτυπῶν**

Ἀνέκραξεν, ἐν παρρησίᾳ τῷ Κτίστῃ Γεώργιος, μὴ παραδῷς ταῖς χερσὶ τῶν ἀνόμων τὸν δοῦλόν σου, ἀλλ' ἰσχὺν παράσχου, καταλῦσαι αὐτῶν τὰ φρυάγματα. (Δίς)

Μὴ φροντίσας, ἀμυντηρίων ὀργάνων Γεώργιε, τοῖς ἀγῶσιν, αὐτομολῶν ἀνδρείως προσέδραμες, καὶ βραβείοις νίκης, πρὸς Χριστοῦ τοῦ Θεοῦ ἐστεφάνωσαι.

Μετὰ πεῖραν τῆς ἀρετῆς σου πρὸς θαῦμα Γεώργιε, μεταθέντες, τὴν ἀπειλὴν οἱ ἀλάστορες τύραννοι, ὃν ἐκήρυττες, ζωοδότην Χριστὸν κατεπλάγησαν.

**Ὠδὴ ζ'**

**Ἀβραμιαῖοί ποτε**

Κατακρατοῦσαν ὁρῶν, τὴν τῶν εἰδώλων πλάνην, τῆς εὐσεβείας πυρπολούμενος τῷ ζήλῳ Γεώργιε, πρὸς τοὺς ἀγῶνας σαυτὸν ἐξέδωκας παμμάκαρ. (Δίς)

Ἀνακηρύττων ὤφθης διωκομένην πίστιν, ἀχλὺν ἀπάτης θριαμβεύων δέ, Γεώργιε ἔλεγες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ῥιζοτομήσας πλάνην, καὶ γεωργήσας πίστιν, ἐν εὐσεβείᾳ ἀναφαίρετον, Γεώργιε γίγνεσθαι, ὁ τῶν πατέρων βοῶν, Θεὸς εὐλογητὸς εἶ.

**Ὠδὴ η.'**

**Γηθόμενοι τυραννικὴν**

Ἐν πνεύματι, τῶν ἐν χερσὶν ἀλγεινῶν κατεφρόνησας, ὡς ἂν μὴ κωφοῖς εἰδώλοις τὴν αἴνεσιν πέμψῃς· ἀλλ' ἢ Χριστῷ τῷ θεῷ, πρὸς ὃν ἐνδιάθετον, κεκτημένος Γεώργιε πίστιν ἔλεγες· τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. (Δίς)

Ὡς μὴ οὖσαν παροδικήν, λογισάμενος τέρψιν ποικίλας στρέβλας, ὑπέστης Γεώργιε χαίρων ἐλπίδι θείας ζωῆς, φρικτοῦ καταπέλτου δέ, μὴ φροντίσας στερρότητι ψυχῆς ἔλεγες· τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ῥηγνύμενον χαλκοτυπίαις, ἀθραῖς σου τὸ σῶμα ἀκμαῖς ὀβελῶν, καθὼς μελιζόμενον βλέπων, νενευρωμένος ψυχήν. μελλούσης οὐκ ἄξια τὰ παρόντα παθήματα, δόξης ἔλεγες· τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ὠδὴ θ'.**

**Γηγενῶν ἐκ φύσει**

Ἱερεῖς ἀνυμνοῦσι, βασιλεῖς εὐφημοῦσι, καὶ λαοὶ τῶν σῶν ἄθλων αἴνεσιν καταγγέλλουσι, μάρτυς Γεώργιε, διό σε πάντες μακαρίζομεν. (Δὶς)

Ἐπεκρότησαν πᾶσαι, οὐρανῶν αἱ Δυνάμεις, τοὺς ἀγῶνάς σου τυθείς, Θεῷ εὐηρέστησας μάρτυς Γεώργιε, διό σε πάντες μεγαλύνομεν.

Γηγενῶν ἐκφυεῖσα καὶ τὸν Κτίστην τεκοῦσα τὸ ἡμέτερον χαίροις καύχημα Θεοτόκε Ἁγνή, σὲ ὡς δεσπόζουσαν τῶν ποιημάτων μεγαλύνομεν.

## ΗΧΟΣ ΠΛ. Β'

Κανὼν ἕτερος τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου.

Νοεμβρίου 3

Ποίημα Ἰωσήφ, ὡς ἐκ τῆς ἀκροστιχίδος τῶν θεοτοκίων καὶ τῆς θ' Ὠδῆς ἐμφαίνεται. «Ὠδὴ Ἰωσήφ»

**Ὠδὴ α'. Ἦχος πλ. β'.**

**Κύματι θαλάσσης**

Δέξαι τὰς δεήσεις, τῶν πίστει καὶ πόθω προσερχομένων σοι, μάρτυς Γεώργιε, καὶ ἐκ παντοίων κινδύνων, καὶ παθῶν ἡμᾶς ἐκλύτρωσαι, ὅπως εὐχαρίστως σε γεραίρομεν γηθόμενοι.

Ὅλος ἀνετέθης, Θεῷ ἐκ σπαργάνων καὶ οἶκος γέγονας, Τριάδος ἅγιε, διὸ ἐν οἴκῳ σου θείῳ, τοὺς πιστῶς σε λιτανεύοντας, οἴκους ἀποτέλεσον Πατρὸς Υἱοῦ καὶ Πνεύματος.

Φέγγει ἀνεσπέρῳ, λαμπόμενοι μάρτυς τοῦ θείου Πνεύματος, φωτίζεις ἅπαντα, τῆς γῆς τὰ πέρατα ἄθλων, καὶ θαυμάτων ταῖς λαμπρότησι, καὶ παθῶν τὴν ζόφωσιν, διώκει ταῖς πρεσβείαις σου.

**Θεοτοκίον**

Ὤφθης ὑπερτέρα τῶν ἄνω ταγμάτων, τιμιωτέρα δέ, πάσης τῆς κτίσεως, ὅτι τῶν πάντων Δεσπότην, ἐν σαρκὶ ἐκυοφόρησας, Παναγία Δέσποινα, ὃν πρέσβευε σωθῆναι ἡμᾶς.

**Ὠδὴ γ'**

**Σὲ τῶν ἐπὶ ὑδάτων**

Ἔχει σε πᾶς ὁ κόσμος, πανένδοξε προστάτην ἐν κινδύνοις, καὶ πᾶς πιστὸς ὑμνεῖ σε καὶ πᾶσα γλῶσσα δοξάζει σε, καὶ σοῦ τὸ θεῖον ὄνομα τῷ κόσμῳ ᾄδεται, μάρτυς μέγιστε Γεώργιε.

Δύναμιν οὐρανόθεν χορήγησον καὶ ἐχθρῶν ἀοράτων, καὶ ὁρωμένων μάκαρ, καὶ πάσης θλίψεως λύτρωσαι, καὶ πάσης κατακρίσεως, τοὺς πίστει προσεδρεύοντας, ἐν τῷ τεμένει σου, μάρτυς μέγιστε Γεώργιε.

Ἐπίβλεψον οὐρανόθεν; καὶ ἴδε σου τοὺς δούλους' ἀθροισθέντας, ἐν τῷ σεπτῷ ναῷ σου, πίστει προσκαλουμένους σε, καὶ πάντων τὰ αἰτήματα, εὐσπλάχνως πλήρωσον, μάρτυς ἔνδοξε Γεώργιε.

**Θεοτοκίον**

Δέσποινα Παναγία, Μητρόθεε σῶζε τοὺς σὲ ὑμνοῦντας, ἐκ πάσης ἐπηρείας καὶ περιστάσεως λύτρωσαι, καὶ πάσης κατακρίσεως, ἡμᾶς τοὺς δούλους σου, σὺ γὰρ τῶν πιστῶν βοήθεια.

**Ὠδὴ δ'.**

**Τὴν ἐν Σταυρῷ σου**

Ὑπὲρ ἐκπλήττει πᾶσαν ἔννοιαν, ἡ τῶν ἄθλων τῶν σῶν μεγίστη καρτερία, ἡ τῶν θαυμάτων χάρις δέ, ἅπασαν τὴν γῆν, καταυγάζει πλουσίως μάρτυς Γεώργιε.

Φύλαξ καὶ σκέπη καὶ ὀχύρωμα, καὶ προστάτης θερμὸς παρὰ Θε-



οῦ, ἐδόθης, χριστιανοῖς Γεώργιε, ὅθεν πᾶς πιστὸς σὲ ὑμνεῖ καὶ δοξάζει καὶ μακαρίζει ἀεί.

Ἐν συμφοραῖς καὶ περιστάσεσι, κλονουμένους ἡμᾶς, καὶ σὲ προσκαλουμένους, μὴ ὑπερίδῃς ἅγιε, ἀλλὰ συμπαθῶς, ἅπασι δίδου τὰ καταθύμια.

**Θεοτοκίον**

Ἡ δεξαμένη ἐν νηδύϊ σου, τῆς θεότητος πῦρ ἁγνὴ καὶ μὴ φλεχθεῖσαν, πυρὸς ἀσβέστου Δέσποινα, λύτρωσαι ἡμᾶς, καὶ τῆς αἰωνιζούσης ἐκεῖ κολάσεως.

**Ὠδὴ ε'.**

**Πρὸς Σὲ ὀρθρίζω**

Τυράννων θράσος, καὶ εἰδώλων πλάνην, καθελὼν ἀθλοφόρε, Χριστοῦ θείᾳ δυνάμει, ἐχθρῶν ὁρατῶν, καὶ ἀοράτων πάντας ἐκλύτρωσαι, περιέπων καὶ σκέπων τοὺς ὑμνοῦντάς σε.

Βαρβάρων στίφη, καὶ δαιμόνων λώβην, καὶ Ἐθνῶν ἐφόδους καὶ τὰς ἐπαναστάσεις, ματαίωσον νῦν τοῦ Χριστοῦ στρατιῶτα Γεώργιε καὶ λαὸν Χριστεπώνυμον περίσωζε.

Ἡ θεία χάρις, ἐν τῷ σῷ τεμένει, προσφοιτῶσα παρέχεις θεόθεν τὰς ἰάσεις, τοὺς πίστει θερμῇ προσιένσοι μάρτυς Γεώργιε, καὶ ἐν τούτῳ ἀεί σε μακαρίζοντας.

Ἱκετηρίαν, ποίησον Παρθένε, πρὸς Χριστὸν τὸν Υἱὸν σου ὑπὲρ τῶν σὲ ὑμνούντων, ῥυσθῆναι ἡμᾶς πειραμῶν καὶ κινδύνων, καὶ τῆς αἰωνιζούσης ἐκεῖ κολάσεως.

**Ὠδὴ ς'.**

**Συνεσχέθη ἀλλ' οὐ κατεσχέθη**

Σὲ ὁ κόσμος, πᾶς ἐπικαλεῖται, μέγιστε μάρτυς τοῦ Χριστοῦ, καὶ πᾶς πιστὸς ὑμνεῖ σε, καὶ πᾶν στόμα σὲ ἐγκωμιάζει καὶ σοῦ τὸ θεῖον ὄνομα, ἐν πάσῃ τῇ γῇ πίστει ᾄδεται, καὶ προσκυνεῖται καὶ μακαρίζεται· ὅθεν καὶ τὰς ἡμῶν πρόσδεξαι φωνὰς τῶν ἀνυμνούντων σε.

Φυγαδεύεις φάλαγγας δαιμόνων, παύεις δυσμενῶν τὰς βουλάς, ἐχθροὺς ἀσάρκους φλέγεις, ὁρωμένους τε ἐξαφανίζεις, καὶ πᾶσαν νόσον θεραπεύεις ἅγιε, τῶν ἐν πίστει σοι προσερχομένων καὶ ἐξαιτούντων σου, τὴν θερμὴν ἀρωγήν, ὅθεν καὶ ἡμᾶς σπεῦσον βοήθησον.

Ἐν τῷ θείῳ τούτῳ σοι τεμένει, πόθῳ ἀθροισθέντες σοφέ, πιστῶς σὲ ἐξαιτοῦμεν, πάντων πλήρωσον τὰς παρακλήσεις πάντων τὰς νόσους ἴασαι πρεσβείαις σου παρεχόμενος πᾶσιν ἀφθόρως χάριν καὶ ἔλεος, λύσιν ἁμαρτημάτων, καὶ τῶν ἱλασμῶν μάρτυς Γεώργιε.

**Θεοτοκίον**

Ὡς λιμένι σου τῇ θείᾳ σκέπῃ πάντες προσφεύγωμεν ἁγνή, οἱ ἐν βυθῷ πταισμάτων χειμαζόμενοι καὶ τρικυμίας, πειρατηρίων χαλεπῶν ποντούμενοι χεῖρα ὄρεξον ταῖς σαῖς πρεσβείαις ἁγία Δέσποινα καὶ πρὸς ὅρμον ζωῆς ἴθυνον ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε.

**Ὠδὴ ζ'.**

**Ἄφραστον θαῦμα**

Τῇ ἐμφορίᾳ, τοῦ θείου πνεύματος ἔνδοξε, γεωργήσας σπόρων ἐμμελῶς, ἐκτρέφεις πιστῶν ψυχὰς καὶ ἐννοήματα, τοῖς σὲ ὑμνοῦσι καὶ πόθῳ μελῳδοῦσι, λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ.

Δρόμον ἀνύσας, τοῦ μαρτυρίου πολύαθλε, τὸ τῆς νίκης στέφος ἐκ Θεοῦ, ἐδέξω καὶ νῦν οἰκῶν τὰ οὐράνια, φρουρεῖς καὶ σκέπεις τοὺς πάντας, λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νέμεις ἀφθόνως, θεόθεν χάριν καὶ ἔλεος, τοὺς ἐν πίστει σε εἰλικρινεῖ ὑμνοῦντας ἀεὶ μέγιστε Γεώργιε, καὶ μελῳδοῦντα Χριστῷ τῷ στεφοδότει, λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον**

Σὺ εἶ τοῦ κόσμου, ἐλπὶς καὶ τεῖχος καὶ στήριγμα, σὺ εἶ σκέπη καὶ καταφυγή, σὺ εἶ τῶν πιστῶν ἡ ἑτοίμη βοήθεια, καὶ σωτηρία ἡμῶν τῶν σὲ ὑμνούντων, λυτρωτά, ὁ Θεὸς εὐλογη τὸς εἶ.

'Ωδὴ η΄.

**Ἔκστηθι φρίττων οὐρανὲ**

Ἥλιος ὥσπερ παμφαής, φωτίζεις ἅπαντα τὰ πληρώματα τῆς γῆς, θαυμάτων ἀνεσπέροις λάμψεσι, καὶ ἐκδιώκεις παθῶν τὸν ζόφον, καὶ ψυχῶν ἀβλεψίαν· διό σε δυσωποῦμεν, καὶ ἡμῶν τὰς καρδίας φρούρησον τῷ κόσμῳ Γεώργιε τρισμμάκαρ.

Θραῦσον ἐχθρῶν ἐπιβουλάς, βαρβάρων σύντριψον τόξα βέλη θυρεούς, καὶ νίκας βασιλεῖ χορήγησον, τῷ πιστοτάτῳ ἡμῶν, λαὸν τὸν Χριστεπώνυμον σκέπε, ἐκ πάσης ἐπηρείας, καὶ εἰρήνην βαθεῖαν βράβευσον τῷ κόσμῳ, Γεώργιε τρισμάκαρ.

Φάνηθι πᾶσιν ἀρωγός, τοῖς ἐξαιτοῦσί σε, ἀθλοφόρε τοῦ Χριστοῦ, παρέχων τοῖς νοσοῦσιν ἴασιν, τοῖς ἀθυμοῦσι χαράν, ἀνάρρυσίν τε τοῖς αἰχμαλώτοις, τοῖς πλέουσι γαλήνην, τοῖς ἐν γῇ εὐφορίαν, καὶ τοῖς ἐν κινδύνοις ταχεῖαν σωτηρίαν.

**Θεοτοκίον**

Ἤγγικεν ἤδη προφανῶς ἡ ψῆφος ἔφθασε τοῦ θανάτου, ἐπ' ἐμὲ ἐκκόψαι ὡς συκῆν τὴν ἄκαρπον. Οἴμοι τί πράξω ἐγώ, βεβήλως καὶ αἰσχρῶς βιοτεύσας ἁγία Θεοτόκε ἡ βοήθεια πάντων, πρόστηθί μοι ῥῦσαι φοβερωτάτης δίκης.

'Ωδὴ θ΄.

Μὴ ἐποδύρου μοι

Ἴδε ὁ οἶκος Κυρίου, ὁ περίβλεπτος δόμος, ἐν ᾧ ὁ μάρτυς τοῦ Χριστοῦ, ἀεὶ ἐπιφοιτῶν, τὰς αἰτήσεις πληροῖ, τῶν προστρεχόντων αὐτῷ καὶ λυτροῦται κινδύνων καὶ θλίψεων πασῶν, τοὺς ἐν πίστει καὶ πόθῳ τοῦτον γεραίροντας.

Ὦ ἀθλητῶν ὡραιότης, καὶ μαρτύρων ἡ δόξα, μεγαλομάρτυς τοῦ Χριστοῦ Γεώργιε σοφέ, βλέψον οὐρανόθεν, ἴδε τοὺς δούλους σου, ἀθροισθέντας ἐν τούτῳ τῷ θείῳ σου ναῷ, καὶ παράσχου συνήθως χάριν καὶ ἔλεος.

Σὲ ἀρωγὸν καὶ προστάτην, καὶ θερμότατον πρέσβυν, ἐπικαλούμεθα πιστῶς ἡμέρας καὶ νυκτός, τὰς ἡμῶν δεήσεις πρόσδεξαι ἅγιε, καὶ παράσχου λιταῖς σου πταισμάτων ἱλασμόν, καὶ ψυχῶν σωτηρίαν μάρτυς Γεώργιε.

Ἡλιακῶν λαμπηδόνων πλειοτέρως ἐκλάμπει τοῦ ἀθλητοῦ ἡ παμφαὴς καὶ εὔσημος μνήμη, καὶ ψυχὰς εὐσεβῶν φωτίζει πάντοτε, καὶ διώκει τὸ σκότος, παθῶν καὶ πειρασμῶν καὶ δαιμόνων σκεδάζει, σκότος βαθύτατον.

**Θεοτοκίον**

Φῶς ἡ τεκοῦσα τὸ θεῖον τῆς ψυχῆς μου τὰς κόρας ἀμαυρωθείσας ἡδοναῖς, καταύγασον φαιδρῶς, καὶ τοῦ ἐξωτέρου σκότους με λύτρωσαι καὶ πυρὸς τοῦ ἀσβέστου ἐξάρπασον ἁγνή, ὅπως πίστει ὑμνῶ σε εἰς τοὺς αἰῶνα, Ἀμήν.

ΕΥΧΗ

Ὦ φιλάγαθε Παρθένε θεοτόκε,
Καὶ μεσίτρια τῶν χριστιανῶν πάντων,



Καὶ ἁμαρτωλῶν ἐγγυητὴς καὶ σκέπη,
Καὶ προστασία τῶν θλιβομένων Κόρη.
Σὺ οὖν Πάναγνε, Πανύμνητε Παρθένε,
Ἡ Θεὸν Λόγον τεκοῦσα κατὰ σάρκα,
Σκέπε, φύλαττε, τὸν Ἄνακτα Παρθένε
Τὸν θεόστεπτον Γεώργιον τὸν πάνυ.
Καὶ τὸν Διάδοχον αὐτοῦ τὸν εὖ Παῦλον,
Καὶ τὸν Μεταξᾶν τὴν βρύσιν τῶν χα-
[ρίτων
Τὸν δέ γε θύτην τὸν καὶ ἡμῶν Ποι-
[μένα,
Τῆς Κωνσταντίνου Βενιαμίν τε σκέπε·
Καὶ τὸν Χρυσόστομον τῶν Ἀθηνῶν
[κλέος
Δώρησαι Αὐτοῖς καὶ χρόνοις ἀπεράν-
[τοις,
Εὐζωΐαν τε καὶ ἠρέμῳ τῷ βίῳ·
Εὐλογητὸς γὰρ εἰς τοὺς αἰῶνας πέλεις.

ΣΠΥΡΙΔΩΝ ΛΑΥΡΙΩΤΗΣ
Ἰατρὸς

---

# ΔΗΜΩΔΕΣ ΑΣΜΑ

## ΕΙΣ ΤΟ ΘΑΥΜΑ ΤΟΥ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ

Ἅγιε μου Γιώργι ἀφέντη μου
καὶ μέγα καβαλάρη
ἁρματωμένος μὲ σπαθὶ
καὶ μὲ χρυσὸ κοντάρι
Στὴ δόξα καὶ στὴ δύναμι
δὲν θέλω ν' ἀμφιβάλλω
ποῦ τὸ θεριὸ ἐσκότωσες
τὸν δράκο τὸν μεγάλο.
Ποῦ ἤτανε στὴ χώρα μας
μέσα σ' ἕνα πηγάδι
ἀνθρώπους τὸν ταΐζανε
κάθε πρωῒ καὶ βράδυ.
Μιὰ μέρα δὲν τὸν πήγανε
ἄνθρωπο νὰ δειπνήσῃ
σταλιὰ νερὸ δὲν ἄφησε
τὴν χώρα νὰ δροσίσῃ.
Καὶ ῥίξανε τὸ μπουλετὶ
σὲ ὅποιονε κι' ἂν πέσῃ
νὰ στείλῃ τὸ παιδάκι του
τοῦ δράκοντος μεσκέσι.
Κ' ἐξέπεσε τὸ μπουλετὶ
σὲ μιὰ βασιλοπούλα
ὁποῦ τὴν εἶχεν ἡ μάνα της
ἀκριβοριγοποῦλα.
Ὁ Βασιλιᾶς σὰν τἄκουσε
αὐτὸν τὸν λόγον εἶπε :
ὅλο τὸ βιός μου πάρτε το,
μὰ τὸ παιδί μ' ἀφῆστε.
Μαζεύτηκ' ὅλος ὁ λαὸς
καὶ γίνετ' ὅλος ἕνας
ἢ τὸ παιδί σου στέλεις το
ἢ στέλλομεν καὶ σένα.
Στολίστε τὸ παιδάκι μου
μ' ἀσῆμι καὶ πετράδια
ἀσῆμι καὶ ὅλο μάλαμα
κι' ὅλο μαργαριτάρια.
Στολίστε τὸ παιδάκι μου
καὶ κάνετέ το νύμφη
καὶ στεῖλτε το τοῦ δράκοντος
γλυκὰ νὰ τὸ μισήσῃ.
Μαζεύτηκ' ὅλος ὁ λαὸς
γιὰ νὰ τὴν πᾶν στὴν βρύσι
δὲν τὄλπιζ' ἡ κακόμοιρη
πίσω γιὰ νὰ γυρίσῃ.
Ὁ Ἅγιος Γιώργις σὰν τ' ἄκουσε
τρέχει νὰ τὴν γλυτώσῃ
κι' ἀπ' τὸν πικρόν της θάνατον
νὰ τὴν ἐλευθερώσῃ.
Φῦγε ξενάκι μ' ἀπ' ἐδῶ,
φύγε κι' ἀπὸ τὰ μένα
νὰ μὴ σὲ φάγῃ τὸ θεριὸ
ὅπως θὰ φάῃ κι' ἐμένα.
Ὀλίγο θέλω νὰ κοιμηθῶ
στὴν σέλλα μου ἐπάνω
κι' ἐγὼ σκοτώνω τὸ θεριὸ
τὸ δράκο τὸ μεγάλο.
Ἔτσι τὰ λὲς ξενάκι μου
νὰ μὲ παρηγορήσῃς,
κι' ὅταν θὰ ἔβγῃ τὸ θεριὸ
θὰ φύγῃς νὰ μ' ἀφήσῃς.
Νὰ τὸ θεριὸ καὶ ἔβγαινε
τὰ ὄρη σιχνοτρέμαν
κι' ἡ κόρη ἀπ' τὸ φόβο της
φωνάζει μανοῦλα μ' ἄχ ἐμένα.
Ὁ Ἅγιος Γιώργις σὰν τ' ἄκουσε
σηκώθη εὐθὺς ἐπάνω
γυρίζει ἀνατολικὰ
κάνει τὸ σταυρό του
τὸ χατζαράκι τ' ἔβγαλε
ἀπ' τὸ χρυσὸ φηκάρι,
στὸ στόμα τοῦ τὸ ἔβαλε

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στὸ χῶμα τὸ κυλάει·
κι' ἡ κόρη ἀπ' τὴν ἔκπληξι
φωνάζει, ἐβίβα ἅγιε Γιῶργι.
Κόρη ποῦ ξέρεις τ' ὄνομα;
καὶ ποῖος σοῦ τὸ εἶπε;
'Αφ' ὅτου ἐκοιμώσουνα
ἦλθ' ἕνα περιστέρι,
βαστοῦσε σταυρὸν τὸν τίμιον
στὸ δεξιό του χέρι
καὶ μέσ' τὴ μέση ἔγραφε
ἐβίβα ἅγιε Γιῶργι.
Πᾶμε κόρη στὴ μάνα σου,
πᾶμε στοὺς συγγενεῖς σου
καὶ πὲς ὅτι σοῦ χάρισα
σήμερα τὴ ζωή σου.
Χαῖρε το ξένε μ' χαίρετο
χαίρετο τὸ παιδί μου,
χαῖρε καὶ τὴν κορῶνα μου
ποὔχω στὴν κεφαλή μου.
Χαῖρε τ' ἀφέντη μ' χαῖρε το
χαῖρε το τὸ παιδί σου
χαῖρε καὶ τὴν κορῶνα σου
ποὔχεις στὴν κεφαλή σου.
Γιὰ πές μου ποῦ εἶνε ὁ τόπος σου
καὶ ποῦ 'νε οἱ συγγενεῖς σου
(ἡ συργιά σου),
νὰ κάνω ἕνα χάρισμα
νἆναι τῆς ἀφεντιᾶς σου;
Σὰν θέλῃς νὰ κάμῃς χάρισμα
φιάσε μιὰ 'Εκκλησία
καὶ γράψε καὶ ἱστόρησε
Χριστὸν καὶ Παναγία.
Στὰ δεξιὰ τῆς Παναγιᾶς
γράψε με καβαλάρη,
ἁρματωμένος μὲ σπαθὶ
καὶ μὲ χρυσὸ κοντάρι.

## ΕΥΧΑΡΙΣΤΗΡΙΟΝ

'Ο διευθυντὴς τῆς «'Αγιορειτικῆς Βιβλιοθήκης» κ. Σωτ. Σχοινᾶς, εὐχαριστεῖ θερμῶς πάντας τοὺς Πατέρας, τοὺς ἐν ταῖς 'Ιεραῖς Μοναῖς, Σκήταις, Κελλίοις καὶ Καλύβαις, διὰ τὴν περιποίησιν, ἣν παρέσχον εἰς αὐτὸν καὶ τὸν υἱόν του κατὰ τὴν ἐν τῷ 'Αγίῳ Ὄρει ἐπίσκεψίν του, ἰδίως τοὺς ἀντιπροσώπους τῆς ἱερᾶς Κοινότητος μετὰ τοῦ προσωπικοῦ αὐτῶν.

## ΔΗΛΩΣΙΣ

'Η Διεύθυνσις τῆς «'Αγιορειτικῆς Βιβλιοθήκης» εὑρίσκεται εἰς τὴν εὐχάριστον θέσιν ν' ἀνακοινώσῃ, ὅτι ἀπὸ τοῦ προσεχοῦς φύλλου θὰ καταχωρῆται τακτικῶς καὶ ὕλη ἱστορικὴ καὶ λογοτεχνική, σχετικὴ μὲ τὸ ἅγιον Ὄρος, καθὼς καὶ τὰς λοιπὰς μονὰς τῆς χώρας. Πρὸς τοῦτο παρακαλεῖ τοὺς ἐνδιαφερομένους ὄχι μόνον ἁγιορείτας, ἀλλὰ καὶ οἱουσδήποτε, δυναμένους ν' ἀσχοληθοῦν μὲ ἱστορικὰ ζητήματα τῶν μονῶν τῆς 'Ελλάδος ἢ μὲ περιγραφὰς λογοτεχνικὰς εἴτε καλλιτεχνικὰς τῶν κτηρίων καὶ τῶν ἐν ταῖς μοναῖς ἱερῶν κειμηλίων ν' ἀποστείλουν εἰς τὰ γραφεῖα τοῦ περιοδικοῦ (Κοραῆ 47, Βόλον) τὴν σχετικὴν συνεργασίαν των. Οὕτω θὰ δυνηθῶμεν νὰ γνωρίσωμεν καλύτερον τὰς μονὰς καὶ τὰ ἐν αὐταῖς πολύτιμα ἔργα τέχνης.

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΤΟΣ Β.' ΑΡΙΘ. 14
ΙΔΡΥΤΗΣ: ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ-ΙΑΤΡΟΣ

# ΚΑΤΑΛΟΓΟΣ

Τῶν ἐπιστημονικῶν ἐργασιῶν τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς Λαύρας τοῦ Ἄθω ἐργασθέντων λογίων ἀπὸ τοῦ ἔτους 1897 καὶ ἑξῆς, συνταχθεὶς ἐπὶ τῇ βάσει τοῦ εἰδικοῦ βιβλίου τῆς Βιβλιοθήκης τῆς μονῆς.

ΥΠΟ
ΣΠΥΡΙΔΩΝΟΣ (ΑΘΑΝΑΣΙΟΥ) ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΟΚΤΩΒΡΙΟΣ 1937

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΑΦΙΕΡΟΥΤΑΙ

Εἰς τὴν ἐν Ἀθήναις Ἀκαδημίαν καὶ εἰς τὰ δύο Πανεπιστήμια Ἀθηνῶν καὶ Θεσσαλονίκης καὶ εἰς τὴν Ἁγιορειτικὴν πνευματικὴν Ἀκαδημίαν.

Ο ΕΚΔΟΤΗΣ

# ΠΡΟΛΟΓΟΣ

Ὅτε κατὰ τὸ 1920 ἐξέδωκα τὴν «Διόπτραν», ἔγραφον ἐν σελ. 7. «Ἕως πότε θὰ σιγᾷ καὶ θὰ εἶναι κεκρυμμένος ὁ θησαυρὸς οὗτος τῶν Προγόνων μας, κεκλεισμένος εἰς τὰς Βιβλιοθήκας τῶν μονῶν μας; Ἕως πότε οἱ ξένοι πρὸς τὰ ἐθνικὰ ἡμῶν ταῦτα κειμήλια, συχνάκις ἐπισκεπτόμενοι ταῦτα καὶ βαθέως μελετῶντες, θὰ μᾶς διδάσκωσι ποῖοι ὑπῆρξαν οἱ ἡμέτεροι Πρόγονοι, καὶ τί οὗτοι κατέλιπον ἡμῖν; Καιρὸς εἶνε πλέον νὰ ἀνοίξωμεν ἡμεῖς, οἱ ἀπόγονοι ἐκείνων, τὰς πολυχεύμονας τούτων πηγάς, καὶ νὰ ἀρδεύσωμεν τὸν πνευματικῷ αὐχμῷ ἀποχερσωθέντα ἀγρὸν τῆς Ἐκκλησιαστικῆς καὶ ἐθνικῆς ἡμῶν φιλολογίας». Ὁ δὲ σοφὸς Καθηγητὴς τοῦ Ἐθνικοῦ Πανεπιστημίου μας κ. Νικ. Βέης γράφει εἰς μίαν του ἐπιστολήν. «Ἰατρέ μου. Μακαρίζω πάντοτε τοὺς Ἁγιορείτας καὶ τοὺς ἁγιορειτικῶς τὴν μοναχικὴν Πολιτείαν μετερχομένους... ὅπως δήποτε νομίζω ὅτι τὰ Κείμενα τοῦ Ἁγίου ὄρους πρέπει νὰ ἐκδίδωνται ὑφ' ἑλλήνων καὶ μάλιστα Ἁγιορειτῶν. Ἀρκετὰ οἱ ξένοι ἐξεμεταλεύθησαν τὸ Ἅγιον ὄρος καὶ τὰ μνημεῖα αὐτοῦ».

Ὑπείκων εἰς τὴν φωνὴν τῆς συνειδήσεώς μου ἐξέδιδον κατὰ καιρούς, ὁσάκις ἐπέτρεπον τὰ οἰκονομικά μου, τὰ ἐπὶ τεσσαρακονταετίαν ὅλην ἐπισταμένως μελετηθέντα καὶ ἐπιμελῶς κατὰ τὸ δυνατὸν ἀντιγραφέντα χειρόγραφα, μὲ τὴν πεποίθησιν ὅτι διὰ τοῦ μέσου τούτου ἀνοίγομεν τοὺς προκαταρκτικοὺς αὔλακας διὰ τὴν πνευματικὴν ταύτην ἄρδείαν καὶ ὅτι ἕτεροι, εἰδικῶς περὶ τὰ τοιαῦτα ἀσχολούμενοι ἐκ τῶν ὁμογενῶν μας, θὰ προθυμοποιηθῶσι νὰ προσπορίσωσι καὶ εἰς αὐτοὺς τοὺς ξένους, ἄφθονον τὴν ἐκ τῶν πολυτίμων γνώσεών των συμβολήν, διὰ τὴν ἀναβλάστησιν τῶν κλάδων τῆς Ἐκκλησιαστικῆς καὶ Ἐθνικῆς ἡμῶν φιλολογίας, καὶ τὴν ὕψωσιν αὐτῆς εἰς τὴν προτέραν αὐτῆς περιωπήν.

Δυστυχῶς ὅμως τὸν Προγονικὸν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μας θησαυρὸν ἐξακολουθοῦν νὰ ἐκμεταλλεύωνται καὶ πάλιν οἱ ξένοι, οἵτινες, ἀφ' οὗ οἰκειοποιηθῶσι τοῦτον, καὶ τὸν μεθερμηνεύσωσι κατὰ τὴν φιλολογίαν των, προσφέρουσιν εἰς ἡμᾶς. Εὐτυχῶς ἡ θεία Πρόνοια ἐφώτισε τὸν ἐν Βόλῳ ἐκδότην κ. Σωτήριον Σχοινᾶν νὰ ἀναλάβῃ λίαν ἀφιλοκερδῶς τὴν ἔκδοσιν τῆς ἀνεκδότου ὕλης, πρὸς ὃν ἐκφράζω τὰς ἀπείρους μου εὐχαριστίας διὰ τὴν Ἐθνικὴν καὶ Ἁγιορειτικὴν ταύτην χειρονομίαν του, ὅστις πρὸς εὐόδωσιν τοῦ ὑψίστου σκοποῦ ὃν προέθετο, δὲν ἔχει ἕτερα ὑλικὰ μέσα εἰμὴ τὴν ἐλπίδα πρὸς τὸν Ἅγιον Θεόν, καὶ τὴν πεποίθησιν εἰς τὴν ἀρωγὴν τῶν κ. κ. Συνδρομητῶν.

Ἤδη ἐκδίδω Κατάλογον, ἐν ᾧ σημειοῦνται πᾶσαι αἱ ἐπιστημονικαὶ ἐργασίαι τῶν ἐν τῇ Βιβλιοθήκῃ, μόνον τῆς Ἱερᾶς μου μονῆς μεγίστης Λαύρας, ἐργαζομένων λογίων κατὰ τὸ 40ετὲς διάστημα τῆς ἐνταῦθα διαμονῆς μου, ἤτοι ἀπὸ τοῦ ἔτους 1897, διὰ νὰ ἴδωσιν οἱ διανοούμενοι ὁμογενεῖς μας, ποίαν σπουδὴν καὶ ἐπιμέλειαν δεικνύουσιν οἱ ξένοι εἰς τὴν Ἀκρόπολιν ταύτην τοῦ Χριστιανισμοῦ καὶ τῆς Ὀρθοδοξίας, ἣν θεωροῦσιν ὡς ἀνωτάτην Ἀκαδημίαν τῶν σπουδῶν των, καὶ διὰ τοῦτο τιμὴ καὶ καύχημα εἰς τὸν ξένον εἶνε νὰ σπουδάσῃ ἐν Ἁγίῳ ὄρει, ἐν ᾧ οἱ ἡμέτεροι νὰ σπουδάζωσιν ἐν Εὐρώπῃ.

Ἔγραφον ἐν τῇ ἱερᾷ μονῇ τῆς μεγίστης Λαύρας τοῦ Ἄθω τῇ 1 Ἰουνίου 1937.

**ΣΠΥΡΙΔΩΝ ΛΑΥΡΙΩΤΗΣ**
Ἰατρός

# ΚΑΤΑΛΟΓΟΣ

**Ἐν ᾧ σημειοῦνται πᾶσαι αἱ ἐπιστημονικαὶ ἐργασίαι τῶν ἐν τῇ Βιβλιοθήκῃ τῆς Λαύρας τοῦ Ἄθῳ ἐργασθέντων λογίων ἀπὸ τοῦ ἔτους 1897, ὃν ἀντέγραψα ἐκ τοῦ βιβλίου τῆς Βιβλιοθήκης.**

1. Ἀπεσταλμένος ὑπὸ τοῦ Καθηγητοῦ τῆς θεολογίας τοῦ Πανεπιστημίου τοῦ Βερολίνου κ. Φὸν Σόδεν εἰργασάμην ἐν τῇ Βιβλιοθήκῃ τῆς Ἱερᾶς Μονῆς Λαύρας ἀπὸ τὴν 11ην Ὀκτωβρίου ἕως τὴν 3ην Νοεμβρίου τοῦ 1897 καὶ ἔκαμα ταύτην τὴν ἐργασίαν. Εἰς τὸν Κώδικα 172 (Β 52) παρέβαλα ἀκριβῶς ὅλον τὸ κείμενον τῶν πράξεων τῶν ἁγίων Ἀποστόλων καὶ ὅλων τῶν Ἐπιστολῶν μὲ τὸ τυπωμένον, καὶ ἔγραψα σημειώσεις περὶ τοῦ χαρακτῆρος τοῦ Κώδικος. Τὴν αὐτὴν ἐργασίαν ἔκαμα εἰς τὸν Κώδικα 184 (Β 64) ἐξ οὗ καὶ ἐξέγραψα τὰ παλαιὰ σχόλια—σημειώσεις περὶ τοὺς Προλόγους καὶ ὑποθέσεις, ἔγραψα διὰ τοὺς Κώδικας (ὅλοι αὐτοὶ οἱ Κώδικες περιέχουσι πράξεις τῶν Ἀποστόλων καὶ Εὐαγγέλια) Α 88. Β 18. Β 26. Α 13. Α 58. Α 65. Α 90. Α 91. Α 99. Β 5. Β 42. Β 53. Γ 30. Γ 63. Γ 75. Γ 78. 88. 138. 146. 13. 58. 65. 90. 91. 99. 125. 162. 173. 270. 303. 315. 318. Προσφέρω δὲ τὴν ἐγκαρδιωτάτην μου εὐγνωμοσύνην εἰς τοὺς ἁγίους Ἐπιτρόπους τῆς ἱερᾶς μονῆς, καὶ πρὸ πάντων εἰς τὸν εὐγενέστατον κ. Βιβλιοθηκάριον Πατέρα Χρυσόστομον.

Ἐδουάρδος Βαρῶνος φὸν δὲρ Γκόλτς
Δ. τῆς θεολογίας.

2. Ἀπεσταλμένος κἀγὼ διὰ τὴν αὐτὴν ἐργασίαν διὰ τὴν ὁποίαν καὶ ὁ προγράψας σύντροφός μου, παρέβαλα τὸ κείμενον τῶν Πράξεων καὶ τῶν Ἐπιστολῶν τῶν ἁγίων Ἀποστόλων πάντων τῶν ὑπ' ἀριθ. χειρογράφων 51. 58. 88. 181. Ἔγραψα δὲ σημειώσεις διὰ τοὺς Προλόγους, τὰς ὑποθέσεις, τὰ ἱστορικὰ καὶ ἑρμηνευτικὰ σχόλια, ἢ τεμάχια τῶν χειρογράφων 24. 54. 149. 163. 619. 626.

Γεώργιος Βομπερμήγ, θεολόγος
τῇ 16-11-97

3. Ἀπεσταλμένος ὑπὸ τοῦ αὐτοῦ Καθηγητοῦ ἵνα λάβω σύνοψιν τοῦ ἀριθμοῦ καὶ τοῦ Τύπου τῶν Τετραευαγγέλων ταύτης τῆς Βιβλιοθήκης, εἰργασάμην ἐδ ὦ σχεδὸν δύο ἑβδομάδας βοηθοῦντός με εὐμενέστατα τοῦ κ. Χρυσοστόμου Βιβλιοθηκαρίου. Παρετηρήσαμεν τοὺς Κώδικας 1. 2. 3—29. 31—42. 44—55. 57. 59. 60—69. 73—79. 99. 104. 109. Β 26. 52. 63. 89. Γ 30. 48. 49. 50. 53—56. 58. 80. 101. Δ 85. Θ 117. 140. 149. 157. 179. 181. Ω 1. 59. 12. 16. 20. 102. 107. 113. 118. 125. 127. 139.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

141. Λ 101. 119. 120. 121. 128. 134. 147. 169. 173. 174. 175. 182. 184. 196. κ.τ.λ., περίπου 133. Ἐννοεῖται ὅτι παρετηρήσαμεν μόνον τεμάχια τῶν Κωδίκων, ὄχι τοὺς Κώδικας ὁλοκλήρους. Ηὕραμεν ὅτι ὅλοι οἱ Κώδικες ἔχουν τὸν αὐτὸν Τύπον τοῦ Κειμένου· τουτέστι τοῦ κοινοῦ Τύπου τῆς Ἀνατολῆς· ἐκτὸς τῶν Κωδίκων Α 21. 23. 48. 104. Β 52. καὶ Γ 48, οἱ ὁποῖοι προσεγγίζουν εἰς τὸν Τύπον Κ Π. Πλείστην χάριν τῷ σεβασμίῳ κ. Χρυσοστόμῳ.

Ροδόλφος Κνόπφ
δρ. τῆς θεολογίας. τῇ 28-11-98 *

4. Ἀπεσταλμένοι ὑπὸ τῆς Γαλλικῆς Κυβερνήσεως καὶ τῆς Ἀκαδημίας τῶν Ἐπιγραφῶν, διὰ τὴν μελέτην τῶν εὑρισκομένων Βυζαντινῶν ἀρχαιοτήτων καὶ ἰδιαιτέρων τοιχογραφιῶν ἐν τῷ Ἄθῳ, εἰργάσθημεν εἰς τὴν μεγίστην Λαύραν ἀπὸ 11 Ἀπριλίου μέχρι 9 Ἰουνίου τοῦ 1898.

Γαβριὴλ Μιλὲ

Ἐφωτογράφησα τὰς ζωγραφίας τῆς Τραπέζης, τὰ μάρμαρα τῆς Φιάλης, καὶ τὰ εὑρισκόμενα μάρμαρα ἐν τῇ Βιβλιοθήκῃ. Ἐτύπωσα μὲ χαρτὶ τὰ εὑρισκόμενα ἐν τῷ Καθολικῷ, καὶ ἐν τῷ Παρεκκλησίῳ τοῦ Κοιμητηρίου. Ἐκ τῶν χειρογράφων ἀντέγραψα διαφόρους σημειώσεις μαρτυρούσας τὰ ἱστορηθέντα ἐν τῷ Καθολικῷ ἤτοι τοὺς Κώδ. Ε 184 φυλ. 316 Α 99. Δ 41. φυλ. 107. Ε 84. φυλ. 61. Ω 147. Ε 72. φυλ. 134. Η 140. τὸ τέλος. Η 159. φυλ. 153. Λ 54. τὸ Προσκυνητάριον τῆς Λαύρας. Καὶ γενικῶς ἀντέγραψα τὰς σπουδαιοτέρας Ἐπιγραφὰς τῆς μονῆς.

Ὁ δὲ Ἰούλιος Ρουσὲν ἀντέγραψε πρῶτον ἐκ τοῦ Καθολικοῦ ναοῦ τὸν Χριστὸν εἰς Ἐμμαοὺς κλῶντα τὸν ἄρτον, τὴν Ὕψωσιν τοῦ Σταυροῦ, τὴν Σταύρωσιν, τὴν Ἀναστήλωσιν τῶν Εἰκόνων καὶ τὸν Ἅγιον Ἀθανάσιον.

Τὰ ἀνωτέρω δι' ὑδατογραφίας, μόνον τοῦ Ἁγίου Ἀθανασίου δι' ἐλαιογραφίας. Ἡ Ἀναστήλωσις καὶ ὁ Ἅγιος Ἀθανάσιος ἀφιερώθησαν εἰς τὴν μονήν.

Ἐκ τῆς Τραπέζης, τὸν βίον τοῦ ἁγίου Γερασίμου, Ἀδὰμ καὶ Εὔαν θρηνοῦντας τὸν Ἄβελ, δύο Οἴκους τοῦ ἀκαθίστου ὕμνου (ἀριθ. 2 καὶ 3), τὸν χορὸν τῶν Προφητῶν καὶ τῆς β'. Παρουσίας. Πρὸς τούτοις ἀντέγραψα δι' ἰχνογραφίας ἐν τῷ Καθολικῷ τὴν Βρεφοκτονίαν, καὶ τὸν ἐπιτάφιον θρῆνον.

Γαβριὴλ Μιλὲ
πρώην μέλος τῆς ἐν Ἀθήναις
Γαλλικῆς Σχολῆς.
Ἰούλιος Ρουσὲν ζωγράφος

5. Ἐπὶ τρεῖς ἡμέρας διεξῆλθον ἐπιτροχάδην τοὺς Κώδικας Ω 22. Ω 33. Ω 38. Ω 50. καὶ Θ 220. ὅπως ἐν αὐτοῖς ἀνεύρω ἀνέκδοτόν τι τοῦ Κανονικοῦ δικαίου. Ἅπαντες οἱ ῥηθέντες Κώδικες περιέχουσιν ὕλην θεολογικὴν καὶ Νομικήν. Ἐκ τῆς θεολογικῆς ὕλης τὰ μὲν πλεῖστα ἀνάγονται εἰς τὸν ἰδίως Θεολόγον, ὄντα δογματικά, τὰ δὲ λοιπὰ εἰς τὸ Κανονικὸν δίκαιον. Ἐκ δὲ τῆς Νομικῆς ὕλης τὰ μὲν πλεῖστα ἀνάγονται εἰς τὸ Οἰκογενειακὸν δίκαιον, τινὰ εἰς τὸ Κληρονομικὸν καὶ ὀλίγα εἰς τὸ Ἐμπράγματον καὶ τὸ Ἐνοχικὸν δίκαιον.

Ἐκ τῶν ἐν αὐτοῖς μνημονευομένων συγγραφέων προτάσσουσι κατὰ τάξιν οἱ Βαλσαμών, Βλάσταρης καὶ

* Σημ. ἀντιγραφ. Περὶ τῶν τριῶν τούτων ὀρθολογιστῶν θὰ γράψωμεν κατωτέρω.



Ἀρμενόπουλος, ἐκ τῶν συγγραμμάτων τῶν ὁποίων τὰ πλεῖστα ἀντεγράφησαν. Οὐδὲν τὸ ἀνέκδοτον ἀνεκάλυψα ἐκτὸς ἴσως παραδόξων τινων ποινικῶν διατάξεων βασιζομένων ἐπὶ τοῦ Ἀντιπεπονθότος δικαίου τῶν ἀρχαίων Ρωμαίων (justalionis— κατὰ τὸ δίκαιον τῶν Φράγκων).

Ἐν τῇ Ἱερᾷ μονῇ τῆς μεγίστης Λαύρας τῇ 17-7-98.

Ὁ δικηγόρος Ἀθηνῶν
Πολύβιος Γεωργιάδης ἢ Κυριακίδης

6. Ἀπεσταλμένοι ὑπὸ τῶν Πανεπιστημίων τῆς Ὀξωνίας καὶ τῆς Κανταβρυγίας ἐν Ἀγγλίᾳ ἵνα μελετήσωμεν τὰ χειρόγραφα τὰ εὑρισκόμενα ἐν τῷ Ἁγίῳ ὄρει, μάλιστα τῶν Ἁγίων Γραφῶν καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας, εἰργασάμεθα ἐν τῇ μεγ. Λαύρᾳ ἀπὸ Ἰουλίου 8 μέχρι Ἰουλίου 19 τοῦ 1898 καὶ εἴδομεν τὰ χειρόγραφα τὸ ὅλον 102, ποιοῦντες σημειώσεις περὶ τῶν ὑποθέσεων καὶ στίχων κ.τ.λ. καὶ παραβάλλοντες ἀκριβῶς τόπους ἐκλεκτοὺς τῶν Κειμένων, ἵνα ἐξεύρωμεν τὸν Τύπον αὐτῶν. Εὑρόντες δὲ ὅτι τὰ σπουδαιότερα Κείμενα εἰσὶν ἐν 104 καὶ 172, παρεβάλομεν ἐν τῷ 104 Κώδικι ὅλον τὸ κατὰ Μάρκον Εὐαγγέλιον ὅπου φαίνεται ὅτι τὸ Κείμενον ἐστὶ πολὺ ὅμοιον τῷ Κειμένῳ τοῦ ὑπ' ἀριθ. 2.

Ματθ. κεφ. 5, 6, 21, 23. Λουκᾶ 22—24. Ἰωάνν. 5—8. Καὶ παρεβάλομεν ὅλον τὸ κείμενον τῶν Εὐαγγελίων τοῦ ὑπ' ἀριθ. Κώδικος 172 τὸ ὁποῖον φαίνεται πολὺ σπουδαῖον· ἴσως μάλιστα ἐν τῷ κατὰ Μάρκον Εὐαγγελίῳ. Εὕρομεν ἐν τῷ Κώδικι 927 κείμενόν τι τῶν gesta Pilati Α πολὺ διάφορον παρὰ τὸ κείμενον τοῦ Tischendoss καὶ τὸ ἥμισυ παρεβάλομεν (τ. ἔ. κεφ. 1. 3—12). Νομίζομεν ὅτι ἐκ τῶν ἄλλων χειρογράφων τὰ σπουδαιότερά εἰσι τὰ ὑπ' ἀριθ. 15. 16. 23. 48. 59. 78. Ἀλλ' οὐ πολὺ διαφέρουσι παρὰ τὸν κοινὸν Τύπον. Ἐνθυμητέον ἔστι ὅτι 51—gregori 1073. 1—gregori 1074. 11—gregori 1077. 12—gregori 1076. 16—gregori 1078. 15—gregori 1080. 23—gregori 1079. 32—gregori 1072 κλπ.

Μάλιστα δὲ πάντων θέλομεν νὰ εἴπωμεν, ὅτι ἐλάβομεν τὴν μεγίστην βοήθειαν ἀπὸ τοῦ βιβλιοθηκαρίου τοῦ σεβασμιωτάτου πατρὸς κ. Χρυσοστόμου, τοῦ ὁποίου τὴν χρηστότητα δὲν δυνάμεθα νὰ εὐχαριστήσωμεν ἱκανῶς καὶ εἰς τὸν ὁποῖον ἔχομεν χάριν ἀείμνηστον.

Ἰουλίου 19 τοῦ ἔτους 1899.

Κέρσοπ Λάϊκ, Ὀξωνίας Ἀγγλίας
Γκεράρδ Ἀνστροῦθερ, Βάδεν
Ἁγίου Πέτρου, Κολλέγιον Κέμπριτς.

7. Ἐπὶ τρεῖς ἡμέρας, ἤγουν τῇ 26, 27 καὶ 28 Αὐγούστου μηνός, τοῦ ἔτους 1899 παρέβαλον ἔντυπα φύλλα τοῦ μέλλοντος Εὐχολογίου μου μὲ αὐτόγραφα τῆς Βιβλιοθήκης τῆς μεγίστης Λαύρας τοῦ ἁγίου Ἀθανασίου καὶ μετὰ μεγάλης εὐχαριστήσεως ἐμελέτησα πρώτην φορὰν τὸν κάλλιστον χειρόγραφον Κατάλογον τῆς Βιβλιοθήκης.

Ἀλέξιος Δ. Μητριέβσκιφ
Καθηγητὴς τῆς ἐν τῷ Κιέβῳ πνευματικῆς Ἀκαδημίας

8. Ἐπισκεψάμενοι τὴν Βιβλιοθήκην τῆς Ἱερᾶς Λαύρας κατ' ἐντολὴν τοῦ ἐν Βερολίνῳ καθηγητοῦ κ. φὸν Soden ἐν τοῖς ἐν αὐτῷ περιεχομένοις Τετραευαγγελίοις τὸν ἀριθμὸν 137

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐργασάμενοι, τὴν ἑξῆς περίπου συνετελέσαμεν ἐργασίαν. Α΄. Καθωρίσαμεν τὴν οἰκογένειαν, εἰς ἣν ἕκαστος Κῶδιξ κατὰ τὸν ἑαυτοῦ Τύπον ἀνήκει, βάσιν ἔχοντες οὐ μόνον τὰς γνωστὰς οἰκογενείας, ἀλλὰ καὶ τὰς ὑποδιαιρέσεις αὐτῶν τὰς ἐκ τῆς ὅλης ἐργασίας καταρτισθείσας. Β΄. Ἀντεβάλλομεν τοὺς Κώδικας, ἕκαστον κατὰ τὴν ἑαυτοῦ ἀξίαν, δηλ. ἄλλους μὲν κατὰ λέξιν ἄλλους δὲ κατὰ ἐκλεκτὰ χωρία. Γ΄. Ἑκάστου Κώδικος λεπτομερῆ ἐλάβομεν περιγραφήν, ὁρίσαντες κατὰ τὸ ἐφικτὸν τὴν χρονολογίαν, σημειώσαντες ἀκριβῶς τὶ προηγεῖται, ἢ τὶ ἕπεται ἑκάστῳ Εὐαγγελίῳ δηλ. ὑποθέσεις, ἐκθέσεις, εἰς κεφάλαια διαιρέσεις, ἐπικεφαλίδας, στίχους κτλ. Δ΄. Ἐπεθεωρήσαμεν πάντας τοὺς Κώδικας τοὺς περιέχοντας ἑρμηνείαν εἰς τὰ 4 Εὐαγγέλια καὶ ἐπ᾽ ἐκείνων ὅσοι περιεῖχον ἐκτὸς τῆς ἑρμηνείας καὶ Κείμενον, ἐγένετο ἡ ὁμοία πρὸς τὴν τῶν λοιπῶν Τετραευαγγελίων ἐπεξεργασία, καὶ Ε΄. ἐξητάσαμεν τὸν Τύπον καὶ ἐλάβομεν περιγραφὴν τῶν ἀρχαιοτέρων τῆς Βιβλιοθήκης Εὐαγγελίων. Ἐνταῦθα ὀφείλομεν νὰ ἐκφράσωμεν τὰς εὐχαριστίας μας τῷ ὁσιωτάτῳ πατρὶ κ. Χρυσοστόμῳ, οὗ αἱ ὁδηγίαι καὶ ὁ ἀκριβὴς κατάλογος πολὺ ἐχρησίμευσαν εἰς τὴν ἀσφαλῆ τῆς ἐργασίας μας πρόοδον.

τῇ 4 Δεκεμβρίου 1899.
Ἀλφρέδος Σμίτκε, θεολόγος
Σ. Β Κουγέας
διδάκτωρ τῆς φιλοσοφίας

Σημ. Ἀντιγρ. Ἡ τόσον κοπιώδης ἐπεξεργασία τῶν ἱερῶν Εὐαγγελίων καὶ τῶν πράξεων καὶ ἐπιστολῶν τοῦ Ἀποστόλου Παύλου ἡ γενομένη ὑπό τε τούτου καὶ τῶν τριῶν πρώτων Γκόλτς, Βομπερμὴγ καὶ Κνὸπφ, σκοπὸν εἶχε διὰ νὰ εὕρωσιν ὕλην, κυρίως οὐσιώδεις παραλλαγάς, διὰ νὰ πολεμήσωσι τὴν θεοπνευστίαν τῆς Ἁγίας Γραφῆς. Φανατικώτερος ἀθεϊστὴς ἦτον ὁ Ἀλφρέδος οὗτος Σμίτκε, ὃν συνώδευεν ὁ ἡμέτερος κ. Κουγέας, τιμῆς ἕνεκεν, διορισθεὶς ὑπὸ τοῦ Πανεπιστημίου μας ὡς ξεναγός του. Καὶ ἐπειδὴ δὲν εὗρον τοιαύτην ὕλην, ὁ Σμίτκε ἄλλην ὁδὸν ἐτράπη διὰ νὰ παρηγορήσῃ τὴν πολλὴν στενοχωρίαν του, ὅτι ἀπέτυχεν ἡ ἀποστολή του, καθότι μετέβη καὶ εἰς ἄλλας Βιβλιοθήκας πρὸς τοῦτο, τῆς Πάτμου, Σινᾶ καὶ ἀλλαχοῦ καὶ ἦτο καταλυπημένος· καὶ τὸ μόνον ἐπιχείρημα ὅπερ εἶχεν, ἦτον ἡ περικοπὴ τῆς πρὸς τοὺς Κοιμηθέντας ἐπιστολῆς τοῦ Ἀποστόλου Παύλου : «Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας.... ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς, ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου...» Ἰδού, ἔλεγεν, ὅτι ἠπατήθη ὁ Ἀπόστολος Παῦλος· ὑποστηρίζων ὅτι ἔγραφεν ὁ Ἀπόστολος διὰ τὴν σύγχρονον γενεάν!! Ἔχετε ἄλλο ἐπιχείρημα, κύριε Καθηγητά, ὄχι ἀπήντησεν· ἀρκεῖ αὐτό. Ἀπατᾶσθε, κύριε Καθηγητά, διότι δὲν πρόκειται περὶ τῆς συγχρόνου γενεᾶς· διατὶ δὲν ἔχετε ὑπ᾽ ὄψει καὶ τὴν πρόρρησιν τῆς Θεοτόκου « ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί;» μήπως ἠπατήθη καὶ ἡ Θεοτόκος; Ἐπίσης καὶ τοῦ Κυρίου μας «καὶ πύλαι ᾅδου οὐ κατισχύσουσεν αὐτῆς». ὁ κ. Καθηγητὴς ἐσίγησε τότε. Κατόπιν, λόγου γενομένου περὶ τῆς ἐλαστικότητος τοῦ ἁγίου λειψάνου τοῦ Ἁγίου Σπυρίδωνος, ἀπήντησε· καὶ αἷμα νὰ ἴδῳ δὲν θὰ πιστεύσω. Εἰς τόσην δὲ τραχύτητα ἔφθασεν ὁμιλῶν κατὰ τῆς ὑπάρξεως τοῦ Θεοῦ ὥστε ἠνάγκασε καὶ τὸν κ. Κουγέαν νὰ τὸν κάμῃ δριμυτάτας παρατηρήσεις πῶς ὡμίλει μετὰ τόσης φανατικότητος, εὑρισκόμενος εἰς τὴν Ἀκρόπολιν τοῦ χριστιανισμοῦ. Ἐκεῖνο ὅμως τὸ ὁποῖον μοὶ ἐνεποίησε κατάπληξιν ἦτο, ὅτι τὴν ἐπιοῦσαν τοῦ Ἁγίου Νικολάου κατῆλθεν εἰς τὴν θείαν λειτουργίαν, ἐχαιρέτισε τὰς Ἁγίας εἰκόνας, ἔλαβεν ἀντίδωρον ἀπὸ τὴν χεῖρα τοῦ ἱερέως, οὗτινος ἠσπάσθη τὴν δεξιάν, καὶ ὅταν ἐπὶ τῇ μεταβολῇ ταύτῃ ἐξέφρασα τὴν ἀπορίαν μου· μοὶ ἀπήντησε κυνικῶς : καὶ εἰς τοῦ Βούδα ἐὰν ὑπάγω τὸν ναόν, θὰ συμμορφωθῶ μὲ τὰ ἔθιμα τῶν Βουδιστῶν. Τότε διατὶ ἐσπουδάσατε θεολογίαν; διὰ νὰ πολεμήσω τὴν θεολογίαν σας. Ὢ θεολόγου ταλαντάτου, ἀπήντησα· οὐδὲ εἰς τοὺς ὀθωμανοὺς εὗρον τοιοῦτον ἀνήθικον χαρακτῆρα.



9. Ὅταν τῇ 28 Φεβρουαρίου 1902 ἦλθον εἰς τὸ Ἅγιον Ὄρος, δὲν ἤξευρα πῶς θὰ ἦνε δυνατὸν νὰ κάμω τὴν ἐργασίαν μου. Τῇ 1ῃ Μαρτίου μὲ παρέλαβεν ὁ κ. Χρυσόστομος Λαυριώτης Ἱερομόναχος, φιλικῶς, εἰς τὸ Κονάκι τῆς Λαύρας ἐν Καρυαῖς καὶ μοὶ ἐπέτρεψε νὰ ἐργάζωμαι εἰς τὸν Κατάλογον αὐτὸν τῆς Βιβλιοθήκης τῆς Λαύρας. Ὁ Κατάλογος μὲ ἔδειξε τὶ πρέπει νὰ εὕρω εἰς τὴν μεγίστην Βιβλιοθήκην τοῦ Ἁγίου Ὄρους καὶ οὕτως ἦτο δυνατὸν νὰ κάμω εἰς τὴν Λαύραν ἐν τέσσαρσιν ἡμέραις τὴν ἐργασίαν πολλῶν ἡμερῶν. Ὁ κ. Χρυσόστομος ἔλαβε τὰς ἐπιστολὰς ἀπὸ τῆς Λειψίας δι᾽ ἐμέ, καὶ ἦτο ὡς φύλαξ ἄγγελος, ὁ ὁποῖος ἐμὲ εἰς τὸ Ἅγιον Ὄρος ἐφρούρησε. Σήμερον ὡς φεύγω, ὁμολογῶ χάριτας εἰς αὐτόν. Εἴθε νὰ γίνῃ ὁ Κατάλογος αὐτοῦ ἐκδεδομένος ὡς τάχιστα.

Τῇ 30 Μαρτίου 1902
Κάσπαρ Ρενὲ Γρέγορυ
Καθηγητὴς τοῦ Πανεπιστημίου
τῆς Λειψίας. *

10. Ὄχι ἀμνηστός εἰμι τῆς μεγάλης βοηθείας τὴν ὁποίαν ὁ Σεβασμιώτατος διδάσκαλος κ. Χρυσόστομος ἔδωκε δι᾽ ἐμένα καὶ τὸν φίλον μου Γεράρδον Οὔαδδεν ἐν τῷ ἔτει 1899. Εἶχα πολλὴν ἐλπίδα νὰ ἴδω καὶ πάλιν τὸν διδάσκαλον καὶ διὰ τῆς βοηθείας αὐτοῦ νὰ κάμω σπουδαίαν ἐργασίαν εἰς τὴν Βιβλιοθήκην. Λοιπὸν πολὺ ἐλυπήθην διὰ τὴν ἀπουσίαν αὐτοῦ χάριν τῆς ἐργασίας του εἰς Κρήτην, ἀλλ᾽ ἀπὼν μὲν σώματι, παρὼν δὲ διὰ τὸ γράψιμον, ἔδωκέ μοι βοήθειαν διὰ τὸν Κατάλογον. Πολὺ εὐχαριστῶ. Οὕτως εὗρον τρία σπουδαῖα χειρόγραφα τοῦ μεγάλου Ἀθανασίου, ὡς καὶ πρέπει εἰς τὴν μονήν, κτισθεῖσαν δι᾽ ἑνὸς Ἀθανασίου, καὶ μὲ τὴν ἄδειαν τοῦ Ἐπιτρόπου ἐφωτογράφησα τὸ Κείμενον τοῦ σπουδαιοτάτου. Ἐτελείωσα καὶ τὴν ἐργασίαν μου εἰς τὸ χειρόγραφον Δ 104, τὸ ὁποῖον ἐμελέτησα εἰς ἓν μέρος ἐν τῷ ἔτει 1899, ἐμελέτησα καὶ ἀντέγραψα ὀλίγα χειρόγραφα τῆς ἐπιστολῆς τοῦ Ἰγνατίου πρὸς τοὺς Ρωμαίους, βοηθοῦντος πολὺ εὐγνωμόνως τοῦ πατρὸς Καισαρίου καὶ ὄχι ὀλίγα ἄλλα μαρτύρια. Πολὺ θέλω νὰ ἐπιστρέψω πάλιν εἰς τὴν Λαύραν ἵνα τελειώσω καὶ ταύτην τὴν ἐργασίαν καὶ ἴδω πάλιν τὸν διδάσκαλον κ. Χρυσόστομον.

Ἰουνίου 7 τοῦ 1902
Κέρσοπ Λάϊκ
Ὀξωνίας τῆς Ἀγγλίας

11. Ἀπὸ 10 ἐτῶν προκατασκευάζω νέαν ἔκδοσιν τῶν τακτικῶν, ἢ ὡς οἱ νεώτεροι λέγουσι, τῶν συνταγματίων τῆς Ἁγιωτάτης Ἐκκλησίας

*Σημ. Ἀντιγ. Ὅταν συνέταττον τὸν Κατάλογον τῆς Βιβλιοθήκης, ὃν ἐξέδωκεν ὁ πρῴην Λεοντουπόλεως κ. Σωφρόνιος ἐν Παρισίοις, δὲν εἶχον ὑπ᾽ ὄψει τὸν Κατάλογον τοῦ μακαρίτου Χρυσοστόμου· μετὰ δὲ τὴν ἔκδοσιν παρέβαλον τοὺς δύο Καταλόγους καὶ εὗρον τὸν τοῦ Χρυσοστόμου πολὺ τελειότερον, ὡς εἰδικοτέρου, ὃν καὶ ἀντέγραψα τὸ δὲ ἀντίγραφον ἔστειλα εἰς τὸν κ. Σωφρόνιον πρὸς ἔκδοσιν πρὸ τριετίας· εἴθε νὰ γίνῃ ἡ ἔκδοσις ὡς τάχιστα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Κων)πόλεως καὶ τῶν ἄλλων Ἀποστολικῶν θρόνων, ἀνεζήτησα ὅλας τὰς Δυτικὰς βιβλιοθήκας, καὶ πρὸ τριῶν ἐτῶν ἐταξείδευσα εἰς τὴν Ἐφαν νὰ ἐρευνήσω τὰς βιβλιοθήκας τοῦ μετοχίου τοῦ ἁγίου Τάφου ἐν Κων)πόλει, τῆς Θεολογικῆς Σχολῆς τῆς ἐν Χάλκῃ, τῆς Εὐαγγελικῆς Σχολῆς τῆς ἐν θεοσώστῳ Σμυρναίων μεγαλοπόλει καὶ τὴν Ἐθνικὴν βιβλιοθήκην Ἀθηνῶν. Τώρα ἔκαμα τὸ ταξεῖδι εἰς τὸ Ἅγιον Ὄρος μόνον τοῦτον ἔχων τὸν σκοπόν, νὰ γυρεύσω καὶ τὰς περιφήμους τῶν σεβασμίων ἐκεῖ μοναστηρίων Βιβλιοθήκας.

Ἐν τῇ ἱερᾷ Βασιλικῇ Πατριαρχικῇ Σταυροπηγιακῇ μονῇ τῆς μεγίστης Λαύρας συνέκρινα ἢ κατὰ μέρος ἀντέγραψα τάδε τὰ χειρόγραφα τὸ μεγαλύτερον μέρος, Νομοκάνονας Ω 120. Ω 109. Κ 34. Β 93. Ω 47. 24. 33. 96. 95. κτλ. Τὸ ὅλον 30 Κώδικας. Τῇ 7 Σεπτεμβρίου μηνὸς ἔτους κοσμοσωτηρίου ᾳπβ' τοῦ δὲ κόσμου ἐστι κατὰ τοὺς Ρωμαίους ζ'υ ι' κατὰ δὲ τοὺς Ἀλεξανδρεῖς Ϛ'τ φ δ'

Ἐρρῖκος Γίλζερ

Καθηγητὴς τοῦ ἐν Ἰέννῃ τῆς Γερμανίας Πανεπιστημίου

12. Βλαδίμηρος Ν. Μπενεσέβσκη ἀπεσταλμένος παρὰ τῆς Ἀκαδημίας Πετρουπόλεως διὰ νὰ ἐξετάσῃ τὰ χειρόγραφα τοῦ Κανονικοῦ δικαίου εἰς τὰς Βιβλιοθήκας τῆς Ἀνατολῆς, περιέγραψε τοὺς Κώδικας Β 43. κ9. 93. Ε 69. 153. 154. Η 14. 52. Θ 14. 195. 219. 230. κτλ. Τὸ ὅλον 45. Καὶ τοὺς Σλαβικοὺς Ζ 42—62.

Σεπτεμβρίου 8 τοῦ 1902

Βλαδίμημος Μπενεσέβσκη

13. Ὅταν ἦλθον εἰς τὴν μεγίστην Λαύραν τοῦ ἁγίου Ἀθανασίου, ἀνέγνωσα τὰ χειρόγραφα τῆς Βιβλιοθήκης καὶ εἶμι πολὺ εὐχαριστημένος διὰ τὴν φιλοφροσύνην τοῦ εὐγενεστάτου πατρὸς κ. Χρυσοστόμου. Ἐμελέτησα τοὺς Κώδικας Β 25 καὶ Γ 66. περιέχοντας ὕλην ὡρολογίου. Εὐχαρίστως προσφέρω τὴν μεγάλην εὐγνωμοσύνην εἰς τὸν Βιβλιοθηκάριον πατέρα Χρυσόστομον.

Ἅγιον Ὄρος 1 Ἰουλίου 1903.

Εὐθύμιος Διακόφσκη

Καθηγητὴς τῆς ἐν τῷ Κιέβῳ Ἐκκλησιαστικῆς Σεμηναρίας

14. Χάριν τῆς ἐν Κωνσταντινουπόλει γινομένης ἐκδόσεως τῆς Καινῆς Διαθήκης ἐπισκεφθεὶς καὶ τὴν Σεβασμίαν ταύτην μονὴν τῆς μεγίστης Λαύρας παρέβαλον, πλὴν πολλῶν Εὐαγγελισταρίων καὶ Πραξαποστόλων κατὰ περικοπάς, καὶ τὰ ὑπ' ἀριθμὸν Α 91. Β 5. 18. 80. καὶ Ω 16. χειρόγραφα τῆς Ἀποκαλύψεως, ἔχων πᾶσαν εὐκολίαν καὶ ἀντίληψιν παρὰ τοῦ Βιβλιοθηκαρίου τῆς πλουσίας Βιβλιοθήκης τοῦ πατρὸς Χρυσοστόμου.

Τῇ 28 Ἰουλίου 1903.

Β. Ἀντωνιάδης

Καθηγητὴς τῆς Θεολογικῆς Σχολῆς Χάλκης

15. Ἀντέγραψα ἐκ τοῦ Κώδικος Β 43 τὰ ποιήματα κατὰ τὴν Ἀλφαβητικὴν τάξιν, τοὺς καλουμένους Ἀλφαβήτους κατανυκτικούς, μὲ τὸν σκοπὸν νὰ γράψω μίαν πραγματείαν περὶ τούτου τοῦ εἴδους τῆς Βυζαντινῆς γραμματολογίας καὶ νὰ ἐκδώσω τὰ ἀνέκδοτα.

22 Αὐγούστου 1903

Δραγοῦσιν Ν. Ἀναστασιέβσκη

φοιτητὴς τῆς Βυζαντινῆς φιλολογίας τοῦ Πανεπιστημίου τοῦ Μονάχου



16. Ἀπεσταλμένος ὑπὸ τῆς Θεολογικῆς Ἀκαδημίας Πετρουπόλεως ἵνα μελετήσω λειτουργικὰ χειρόγραφα τῶν ἑλληνικῶν Βιβλιοθηκῶν τῆς Ἀνατολῆς, ἐγὼ ἔμεινα ἐν τῇ ἁγίᾳ Λαύρᾳ ἀπὸ 16 Ἰουλίου 1904 μέχρι 9 Αὐγούστου, καὶ παρετήρησα ταῦτα τὰ χειρόγραφα 1) Παρακλητικὰς Γ 4. 19. 21. 22. Δ 2. 6. 32. Θ 45. 46. 66. 71. 73. 74. Ω 143. 2) Τριῴδια Γ 15. 25. 77. Δ 29. καὶ 40. 3) Πεντηκοστάρια Γ 47. Δ 22. 4) Μηναῖα Γ 19. Δ 19. 17. 14. 25. 4. 10. 27. 5) Κονδακάρια Γ 27. καὶ 28. 6) Εἱρμολόγια Β 6. καὶ 32. 7) καὶ Στιχηράριον Γ 12. Ἑκάστου Κώδικος ἔκαμον τὴν περιγραφὴν ἀπὸ Κωδίκων Γ 15. καὶ Δ 13. Ἀντέγραψα τὰ Τριῴδια Ἰωσὴφ τοῦ ὑμνογράφου.

Προσφέρω πολλὰς εὐχαριστίας τῷ ὁσιολογιωτάτῳ κ. Χρυσοστόμῳ δι' ὁδηγίαν καὶ ὅλας εὐκολίας.

9 Αὐγούστου 1904

Ι. Καρακιπίνοβ

17. Ἀπεσταλμένος ὑπὸ τῆς Παλαιογραφικῆς ἑταιρίας ἵνα μελετήσω καὶ φωτογραφήσω τοὺς κεχρονολογημένους Κώδικας ἐν τῇ Βιβλιοθήκῃ τῆς μεγίστης Λαύρας καὶ τῶν ἄλλων μονῶν τῶν ἐν τῷ Ἁγίῳ Ὄρει, διὰ τῆς βοηθείας τοῦ Προηγουμένου Χρυσοστόμου, ἐπέτυχα νὰ τελειώσω δώδεκα καλὰς πλάκας, λαβὼν βοήθειαν εἰς τὴν φωτογραφικὴν ἐργασίαν ὑπὸ τοῦ μοναχοῦ Ἰωὴλ τοῦ φωτογράφου.

Ὁ κ. Χρυσόστομος μοὶ ἔδειξεν ἓν χειρόγραφον τοῦ βίου τοῦ ἁγίου Εὐθυμίου τοῦ ἐν Θεσσαλονίκῃ, τὸν ὁποῖον ἀντέγραψα· καὶ πολὺ φιλανθρωπικῶς μοὶ ἔδωκεν ἕνα μικρὸν κατάλογον τῶν βίων οἱ ὁποῖοι δὲν εὑρίσκονται ἐν τῇ Βιβλιοθήκῃ τῇ ἁγιογραφικῇ τῶν Βολλανδιστῶν. Οὗτος, ὡς νομίζω, θὰ γίνῃ ὡσεὶ ἓν «μασκίκα» νὰ δώσῃ πρὸς τοὺς τὰ ἁγιογραφικὰ μελετῶντας καλὴν ὄρεξιν εἰς τὸ μέγα δεῖπνον, τὸ ὁποῖον ὁ Προηγούμενος κ. Χρυσόστομος ἑτοιμάζει ἐν τῷ Καταλόγῳ αὐτοῦ τῶν Λαυριωτικῶν Κωδίκων διὰ πάντας τοὺς φιλομαθεῖς.

24 Ἰουνίου 1903

Κίρσοπ Λάϊκ, Ὀξωνία

18. Ἀπεσταλμένος ὑπὸ τῆς Βαυαρικῆς Ἀκαδημίας τῶν Ἐπιστημῶν νὰ μελετήσω τοὺς ἐν Ἁγίῳ Ὄρει ἀποκειμένους Κώδικας τῶν Βυζαντινῶν μελῳδῶν, ἐφωτογράφησα ἐν τῇ Βιβλιοθήκῃ τῆς μεγίστης Λαύρας ὁλοκλήρους τοὺς Κώδικας Γ 27. καὶ Γ 28. Κοντάκια πρὸ πάντων τοῦ Ρωμανοῦ καὶ Γ 19. Μηναῖον, καὶ τὸν Ἀκάθιστον ὕμνον ἐκ τοῦ Κώδικος Δ 25. 500 φύλλα φωτογραφήσας διὰ καθρέπτου κατ' εὐθεῖαν ἐπὶ χάρτου. Ἐκ παλαιογραφικῆς ἀπόψεως ἔλαβον καὶ δείγματα φωτογραφικὰ ἐκ τῶν Κωδίκων Α 19. 58. 61. 86. 88. 111. Β 18. 26. 37. 70. Γ 19. 27. 28. 112. 131. Δ 47. 50. 70. 75. Λ 173. Ω 17. Κατ' ἰδίαν ἐφωτογράφησα ὑπογραφὰς ἐν τούτοις τοῖς Κώδιξιν, αἰώνων X-XII, χρονολογικάς, ὧν ὁ Βιβλιοθηκάριος Ἀρχιμανδρίτης Χρυσόστομος συνέγραψε καὶ εὐαρέστως μοὶ ἐπέτρεψε τιμίαν σειράν. Τέλος ἐφωτογράφησα εἰκόνας τινὰς ἐκ τοῦ βιβλίου τοῦ Ἰώβ, 32 πλάκας φωτογραφικάς. Εἰργασάμην ἐν τῇ Βιβλιοθήκῃ τῆς μονῆς Λαύρας 2-7 Ἀπριλίου τοῦ 1906 καὶ φεύγων ὁμολογῶ τὰς ἐγκαρδίους εὐχαριστίους μου διὰ τὴν τοῦ Βιβλιοθηκαρίου κ. Χρυσοστό-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μου προθυμίαν.

Παῦλος Μὰρκ ἐκ Μονάχου Βαυαρίας μετὰ τοῦ ἀδελφοῦ μου Φραγκίσκου Μάρκ.

19. Ἀπεσταλμένοι ὑπὸ τοῦ ἐν Πετρουπόλει Συλλόγου τῶν Φίλων τῆς Παλαιᾶς Γραφῆς διὰ τὴν μελέτην τῶν εὑρισκομένων Βυζαντινῶν ἀρχαίων μουσικῶν Κωδίκων X-XIV αἰῶνος, ἐμελετήσαμεν, ἀντεγράψαμεν καὶ ἐφωτογραφήσαμεν τοὺς Κώδικας ὑπ' ἀριθ. Β 32. 59. Γ 12. 71. 72. Δ. 28 ἀπὸ 18-22 Ἰουνίου 1906.

Cm. Smolenckii καὶ Ἀναστ. Πρεοβραγένσκη.

20. Π. Α. Λαβρόβ· ἐξήτασα τὰ μηνολόγια τοῦ μηνὸς Φεβρουαρίου καὶ ἐφωτογράφησα ἀπὸ τοῦ Κώδικος Γ 87. τὸν βίον καὶ τὸ μαρτύριον τοῦ ἁγίου Τρύφωνος. Ἐκτὸς τούτου παρετήρησα τὰ πάντα χειρόγραφα τὰ Σλαβωνικὰ τῆς Βιβλιοθήκης Λαύρας. Ἐξαιρέτως περιεγράφησαν οἱ Κώδικες Ζ 21. 50. 54. 59. Ἀπὸ τοῦ Εὐαγγελίου ἐφωτογραφήθησαν δύο φύλλα.

21. Ὅλα τὰ χειρόγραφα τῆς Λαυριωτικῆς Βιβλιοθήκης τὰ περιέχοντα τὴν ἐπιστολὴν τοῦ Ἀποστόλου Ἰακώβου παρέβαλον μὲ τὸ Κείμενον τοῦ Textus Receptus. Τὰ περισσότερα ὁμοιάζουν πολλὰ αὐτὸ τὸ Κείμενον. Ἀλλὰ καὶ καλύτερον Κείμενον ὑπάρχει σωστὰ εἰς τὸν Β 64. Καὶ ἡ εὕρεσις μὲ τὴν βοήθειαν τοῦ καλοῦ πατρὸς Βιβλιοθηκαρίου Γαβριὴλ (*) καὶ ἡ τακτοποίησις τῶν ἀποσπασμάτων τοῦ Εὐαγγελίου κατὰ Μάρκον, ὡς τώρα εὑρίσκονται εἰς τὴν Βιβλιοθήκην, πολλὰ εὐχάριστος ἐργασία ἦν. Πολλὴν εὐχαριστίαν πρῶτον εἰς τὸν πατέρα Γαβριὴλ διὰ τὸν κόπον καὶ μόχθον του, καὶ εἰς τὴν μονὴν διὰ τὴν ἄδειαν,μὲ χρηστότητα δοθεῖσαν, καὶ εἰς ὅλους τοὺς καλοὺς καὶ ἱεροὺς Πατέρας διὰ τὴν ἀγάπην καὶ φιλοξενίαν.

5-19 Σεπτεμβρίου τοῦ 1909
Μαρτῖνος Σπρέγγλιγγ
Καθηγητὴς τοῦ Πανεπιστημίου τοῦ Σικάγου.

22. Εἰργάσθημεν ἀπὸ τῆς 19 Φεβρουαρίου μέχρι 15 Μαρτίου ἐν τῇ Βιβλιοθήκῃ τῆς μεγίστης Λαύρας· ἐρευνήσαντες καὶ μελετήσαντες τοὺς ἀκολούθους Κώδικας Β 32. Γ 27. 28. Λ 168 κτλ. τὸ ὅλον 43. Ἀτυχῶς ἕνεκα ἀσθενείας διακόπτομεν τὰς μελέτας ἡμῶν.

Τῇ 15 Μαρτίου 1915
Ὁ πρ. Λεοντουπόλεως Σωφρόνιος (*)

23. Μὲ τὴν βοήθειαν τοῦ συνεργάτου μου Δρος Ἄουφ Χάουζερ συνεβουλεύθην ἀπὸ τὰς 8-17 7)βρίου ὅλα τὰ ἁγιογραφικὰ χειρόγραφα τῆς Βιβλιοθήκης, τὰ Μηνολόγια, ὅλα τὰ ἐμπεριέχοντα βίους Ἁγίων ἢ σχέσεις μαρτύρων. Σχεδὸν ἡ ὁλότης τῶν Μηνολογίων ἐδείχθη ὡς μετάφρασις. Ὁ ἀριθμὸς τούτων τῶν Μηνολογίων εἶνε πολὺ μέγας διὰ νὰ δυνηθῶμεν νὰ τὸν ἀναφέρωμεν ἐνταῦθα. Ὅσον διὰ τὰ ἄλλα χειρόγραφα ἡ ἐξέτασις δὲν ἔδωκεν ἓν ἀποτέλεσμα πρώτης τάξεως. Διὰ

(*) Μετὰ τὴν ἀγρίαν δολοφονίαν τοῦ ἀειμνήστου Χρυσοστόμου, διωρίσθη Βιβλιοθηκάριος ὁ γέρων Γαβριήλ.

(*) Εἶνε ὁ μόνος ὁμογενὴς ὅστις εἰργάσθη ἐπιστημονικῶς, καὶ ἱκανοποίησε τὴν ἐθνικὴν ἡμῶν φιλοτιμίαν ἀπέναντι τῶν ξένων· καὶ διὰ τοῦτο δὲν πρέπει νὰ μᾶς κακίζουν οἱ ἀκριβολογοῦντες ὅτι εἴμεθα θαυμασταί του. Ἀναχωρῶν μοὶ ἀνέθηκε νὰ ἀντιγράψω τὴν ἀνέκδοτον Ἐκκλησιαστικὴν ποίησιν, ἥνπερ καὶ ἀντέγραψα ἱδρῶτι περιρεόμενος· καὶ ἀπέστειλα ταχυδρομικῶς εἰς Παρισίους· πότε θὰ ἴδῃ τὸ φῶς; ὁ Κύριος οἶδε καὶ ὁ Σεβαστός μοι φίλος κ. Εὐστρατιάδης Σωφρόνιος.



τὰ χειρόγραφα τῶν ἰατρῶν Ἑλλήνων ἡ Βιβλιοθήκη αὕτη εἶνε ἡ πλουσιωτέρα ἀπὸ ὅλας τὰς μονὰς τοῦ Ἄθω. Ὁ Βιβλιοθηκάριος ἀξιότιμος κ. Γαβριὴλ ὑπῆρξε τέλειος εἰς τὴν εὐγένειάν του καὶ μᾶς παρέσχε πᾶσαν δυνατὴν βοήθειαν διὰ τὴν ἐξέτασιν τῶν χειρογράφων. Χαίρετε ὅσιοι Πατέρες τοῦ Ἁγίου Ἀθανασίου. Ἡ μονὴ ὑμῶν εἶνε ἀθάνατος.

Ὑπογραφὴ λίαν δυσανάγνωστος.

24. Ἀπεσταλμένος ὢν ἀπὸ τὸ Πανεπιστήμιον τοῦ Χάρβαρδ, τοῦ εἰς τὴν Ἀμερικήν, διὰ νὰ φωτογραφήσω τὰ χειρόγραφα τῶν Εὐαγγελίων τὰ εὑρισκόμενα εἰς τὸ Ἅγιον ὄρος καὶ ἔνια ἄλλα μεταξύ, εὗρηκα προθυμίαν καὶ βοήθειαν ἀπὸ τὸν ἅγ. Βιβλιοθηκάριον κ. Χριστόφορον (*) ποῦ δὲν μοῦ ἔδειξε μόνον τὰ κειμήλια τῆς Βιβλιοθήκης, ἀλλὰ ὅλον τὸν καιρὸν ποὺ ἐδῶ εἴμεθα, ἀκόπως ἤργασται καὶ ἐβοήθει μας. Εὐχαριστοῦμεν αὐτὸν μὲ ὅλην τὴν καρδίαν. Ἐφωτογραφήσαμεν τοὺς ἑπομένους Κώδικας ὁλοκλήρως Α 12. 88. 104. Β 64. 88. 58 τὸ πλεῖστον μέρος τοῦ Γ 44. καὶ κατ' ὀλίγας σελίδας ἀπὸ τὰ χειρόγραφα τὰ ἁγιογραφικὰ Δ 50. 62. Γ 87. Κ 94. Η 206.

Πάνυ ἐλυπήθημεν ὅτι ὁ καιρός μας ὑπεράγαν σπάνιος, ὅπως περισσότερον χρόνον μείνωμεν. Μετ' ἐμένα μαζὺ εἶνε καὶ ὁ κ. Ἰωαννοῦ Ἀνδρέου ἀπὸ τὰς Ἀθήνας.

Ἐν τῇ μεγίστῃ Λαύρᾳ τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἁγιορείτου
τῇ 4 Σεπτεμβρίου 1921
Ροβέρτος Πιερβὸν Μβλέϊκ
Καθηγητὴς τῆς Βυζαντινῆς ἱστορίας τοῦ Πανεπιστημίου τοῦ Χάρβαρδ U. S. A.

25. Μὲ τὴν βοήθειαν καὶ καλωσύνην τοῦ Βιβλιοθηκαρίου κ. Χριστοφόρου ἐξήτασα καὶ ἐφωτογράφησα τοὺς τρεῖς βίους τοῦ ἁγίου Παχωμίου Δ 62. Σ 182. Ω 154. Ἐπίσης ἐφωτογράφησα τὰ 25 πρῶτα φύλλα τοῦ Κώδικος Β 58.

Τῇ 14 Ἰουνίου 1923
Λ. Μεφόρτι
Καθηγητὴς Λουβὲν Βελγίου

26. Ἐπανελθὼν ἀπὸ τὴν Ρώμην εἰς τὸ Ἅγιον Ὄρος νὰ τελειώσω τὰς μελέτας μου περὶ Ἁγιορειτικῶν χειρογράφων, ἐφωτογράφησα τοὺς ἑξῆς Κώδικας τῆς Βιβλιοθήκης τῆς μεγίστης Λαύρας τοῦ ὁσίου Ἀθανασίου. Δ 47. σελ. 19—313. Ω 126. σελ. 113—274. Λ 170. σελ. 139—163. Β 19. σελ. 142—184. Β 43. σελ. 64—70. Β 94. σελ. 70—78. Δ 50. σελ. 119—121. καὶ 363—377. Γ 117. σελ. 100—106. καὶ 231—240 Θ 14. σελ. 176—184 καὶ 262. 185. σελ. 1—48. Ι 23 σελ. 1.—30. καὶ 324—329. Ι 197 σελ. 381—388. Κ. 22. σελ. 48—53. καὶ 143.—150. Λ 55. σελ. 147—205. Ω 123. σελ. 179—190. καὶ μίαν ἢ δύο σελίδας χρονολογημένων ἢ εἰκονογραφημένων Κωδίκων π. χ. Α 19. 86. 87. 99. 111. Β 18. 26. 37. Γ 112. 131. Ω 75. Φεύγων ὀφείλω νὰ ὁμολογήσω τὰς ἐγκαρδίους μου εὐχαριστίας εἰς τὸν ὅσιον Βιβλιοθηκάριον κ. Παντελεήμονα (*) τοῦ ὁποίου ἐδοκίμασα τὴν ἐξαίρετον καλωσύνην καὶ ὑπομονήν.

(*) Μετὰ τὸν θάνατον τοῦ Γέροντος Γαβριήλ, διωρίσθη Βιβλιοθηκάριος ὁ γέρων Χριστόφορος.

(*) Μετὰ τὸν θάνατον τοῦ Γέροντος Χριστοφόρου, διωρίσθη ὁ νῦν φιλόπονος Βιβλιοθηκάριος Γέρων κ. Παντελεήμων.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἐν Μεγίστῃ Λαύρᾳ τῇ 25 Σεπτεμβρίου 1935.

Σίλβιος Ἰωσὴφ Μερκάτης
Καθηγητὴς τῆς Βυζαντινολογίας ἐν τῷ Πανεπιστημίῳ τῆς Ρώμης.

Πάλιν τῆς Ματθίλδης οὐδέποτε ἀπομακρυνονένης ἀπὸ τὸ φιλάνθρωπον αἴσθημα τοῦ νὰ συνδράμῃ τοὺς γνωστοὺς αὐτῇ δυστυχεῖς διὰ βοηθημάτων, ἡ Ῥόζα ἐπεφορτίζετο συχνάκις νὰ διαμένῃ τοῖς ὑποδεικνυομένοις ἐνδεέσι τὰ βοηθήματα, ὅπως διδαχθῇ πᾶσαν τὴν εὐδαιμονίαν, τὴν ὁποίαν προξενεῖ ἡ ἀγαθοεργία. Ἡ Ματθίλδη ἐδίδασκε τὴν Ῥόζαν νὰ φέρηται εὐσπλάγχνως εἰς τὴν ὄψιν τῆς δυστυχίας τῶν ἄλλων, καὶ παρεκίνει αὐτὴν εἰς τὸ νὰ θυσιάζῃ τὰς εὐτυχίας της διὰ τὴν εὐτυχίαν τῶν ἄλλων. Ἡμέραν τινά, ἡ Ῥόζα δεχθεῖσα τὸ κατ᾽ ἔθος ἐν τῇ ἡμέρᾳ τῶν γενεθλίων της ὑπὸ τοῦ πατρός της διδόμενον δῶρον, ἤτοι ἓν χρυσοῦν νόμισμα, ἵνα τὸ μεταχειρισθῇ εἰς ἀγορὰν ἀντικειμένου τινὸς τοῦ καλλωπισμοῦ της, ἢ ἄλλου τινὸς ἀρέσκοντος αὐτῇ, ἠρώτησε τὴν μητέρα της περὶ τῶν ὡραίων ἐκείνων πραγμάτων, ἅτινα διὰ τοῦ δωρηθέντος νομίσματος ἠδύνατο νὰ ἀγοράσῃ. Ἡ μήτηρ της σημειώσασα ἐξ αὐτῶν μέγαν ἀριθμόν, κατέδειξεν εἰς τὴν Ῥόζαν τὸ τὶ ἠδύνατο ἐξ αὐτῶν νὰ ἀγοράσῃ. Ἀλλ᾽ ὅτε ἀνηγγέλθη εἰς τὴν μητέρα αὐτῆς Ματθίλδην ὅτι πτωχὴ χήρα ἐζήτει νὰ εἰσέλθῃ ἐν τῇ οἰκίᾳ της, ἵνα παραστήσῃ τὰ παράπονα αὐτῆς καὶ ἐκζητήσῃ τὴν συνδρομὴν τῆς Ματθίλδης, διὰ τὴν ἀντικατάστασιν τοῦ ἐκ ζωοτίας ἀποθανόντος βοός της, καὶ ὅτε ἤκουσε τὴν μητέρα της συνδράμουσαν ἐν μέρει τὴν δυστυχῆ χήραν, λέγουσαν αὐτῇ, ὅτι ἀποδώσασα ἤδη εἰς τόσον μέγαν ἀριθμὸν δυστυχῶν ἀνθρώπων δοκιμασάντων τὴν αὐτὴν δυστυχίαν, δὲν δύναται νὰ κάμῃ ὁλόκληρον τὴν συνδρομήν, ἡ Ῥόζα, παρὰ τὰ ἑτοιμασθέντα ὑπὸ τῆς μητρός της ὑπὲρ τῆς πτωχῆς χήρας χρήματα, τρέχει καὶ λαβοῦσα τὸ χρυσοῦν αὐτῆς νόμισμα ἐναπέθεσε τοῦτο ἐπὶ τῆς τραπέζης, ἐν ᾗ ἡ μήτηρ της εἶχεν ἐναποθεμένα τὰ ὑπὲρ τῆς πτωχῆς, καὶ εἶπεν ὅτι «προτιμότερον εἶναι νὰ ἀντικατασταθῇ μία ἀγελὰς πολὺ ἀναγκαιοτέρα εἰς τὴν πτωχὴν ταύτην γυναῖκα, παρὰ εἰς ἐμὲ νὰ ἀγορασθῇ νέα ἐσθής». Ἡ χήρα κλαίουσα ἀπὸ χαράν, ἠθέλησε νὰ ἀσπασθῇ τὴν χεῖρα τοῦ παιδίου. Ἀφοῦ δὲ αὕτη ἀνεχώρησεν, ἡ Ματθίλδη ἔσφιγξε τὴν θυγατέρα της εἰς τὰς ἀγκάλας της· λέγουσα «Ῥόζα, καλῶς ἔπραξες· ἡ πρᾶξις αὕτη, ἣν ἡ τρυφερά σου καρδία πρὸ ὀλίγου σοὶ ἐνέπνευσεν εἶναι πολὺ προτιμοτέρα ἢ δέκα χιλιάδες τεμάχια χρυσοῦ! ἢ ἅπαντες οἱ στολισμοὶ καὶ ἅπασα ἡ πολυτέλεια τοῦ κόσμου!»

Ἡ Ματθίλδη ἐσυνείθισε τὴν θυγατέρα της Ῥόζαν ἐκ τῆς τρυφερωτέρας νεότητός της εἰς τὸ νὰ ὑπακούῃ προθύμως, ἐπειδὴ παρετήρησεν, ὅτι ἡ ἰσχυρογνωμοσύνη εἶναι τὸ ἰσχυρότερον κώλυμα τοῦ καλοῦ. Πρὸ πάντων ἐστοχάζετο ὅτι τὸ παιδίον πρέπει νὰ μάθῃ νὰ ὑποτάσσῃ τὴν θέλησίν του εἰς τὴν τοῦ πατρὸς καὶ τῆς μητρός του, ἵνα τῷ ἦναι εὐκολώτερον νὰ ὑποφέρῃ πρᾴως ὅ,τι ὁ Θεὸς θέλει, καθ᾽ ὅσον ἡ πρὸς τοὺς γονεῖς ὑπακοή, τοὺς ὁποίους ἔχει πρὸ ὀφθαλμῶν, διδάσκει καὶ τὴν πρὸς τὸν ἐν οὐρανοῖς Θεόν. Αἱ βιαιότεραι ὁρμαί, ἔλεγεν, αἵτινες διεγείρονται ἐν τῇ καρδίᾳ τοῦ παιδίου, πρέπει νὰ ἦναι μέτριαι, πρέπει νὰ ἐκριζῶνται ἐκ τῆς τρυφερᾶς καρδίας τῶν παίδων, ὡς ἐκριζοῦνται τὰ βλαβερὰ χόρτα τὰ καλύπτοντα τὰ ὡραῖα ἄνθη, ἵνα ταῦτα καταδείξωσι τὴν φυσικὴν καλλονήν των.

(Ἀκολουθεῖ) 5



« ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ »
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ
ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΚΔΙΔΟΜΕΝΟΝ ΕΝ ΒΟΛΩ

**Γραφεῖα καὶ τυπογραφεῖα : Κοραῆ 47**

**ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ**

| | | |
|---|---|---|
| Ἐσωτερικοῦ | δρ. | 100 |
| Ἐξωτερικοῦ | σελίνια | 7 |
| Ἀμερικῆς | δολλ. | 3 |
| Τὸ τεῦχος | δρχ. | 10 |

Ἐπιστολαὶ καὶ ἐμβάσματα ἀποστέλλονται πρὸς τὸν κ. Σωτ. Σχοινᾶν - Κοραῆ 47 Βόλον.

**Χειρόγραφα δημοσιευόμενα ἢ μή, δὲν ἐπιστρέφονται.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΠΑΡΑΚΛΗΣΙΣ

Παρακαλοῦνται καὶ αὖθις οἱ κ. κ. συνδρομηταί, ὅπως ἀποστείλωσιν ἡμῖν τὴν συνδρομήν των τοῦ πρώτου ἔτους ἐκ δραχμῶν 120. Μᾶς καθυστεροῦνται πλέον τῶν 3)4 τῶν συνδρομῶν, ὥστε εὐκόλως δύναταί τις νὰ ἐννοήσῃ ὅτι δυσχεραίνεται πολὺ τὸ ἔργον τῆς ἐκδόσεως.

Εἶναι ἀληθὲς ὅτι οἱ κ. κ. Συνδρομηταὶ φαντάζονται ὅτι θὰ σταλῇ ἀντιπρόσωπος ἡμῶν πρὸς εἴσπραξιν τῶν συνδρομῶν των, ὅπως γίνεται σχεδὸν εἰς ὅλα τὰ περιοδικά. Δυστυχῶς ὅμως δι᾽ ἡμᾶς δὲν εἶναι εὔκολον τοῦτο, διότι ἡ διάδοσις τούτου εἶναι ἀκόμη πολὺ μικρά, σχεδὸν εἰς τὰ σπάργανα, ὥστε νὰ μὴ δυνάμεθα νὰ πέμψωμεν τοιοῦτον ἀντιπρόσωπον. Πλὴν αὐτῶν, κινούμεθα ἀπὸ τὸν ζῆλον τοῦ νὰ φέρωμεν εἰς φῶς τοὺς θησαυροὺς τοῦ ἁγίου Ὄρους, χωρὶς νὰ ἔχωμεν οὐδεμίαν χρηματικὴν ἐπιχορήγησιν ἀπὸ οὐδένα, ἀλλὰ περιμένομεν πρωτίστως ἀπὸ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἀπὸ τὴν συνδρομὴν τῶν ὀλίγων συνδρομητῶν, οἵτινες, ἐὰν ἀρνηθοῦν νὰ μᾶς πληρώσουν, θὰ φέρουν ὅλην τὴν εὐθύνην ἀπέναντι τοῦ Θεοῦ, ἀφ᾽ ἑνὸς μὲν διὰ τὴν ζημίαν ἡμῶν, ἀφ᾽ ἑτέρου δὲ διὰ τὴν διακοπὴν τῆς ἐκδόσεως.

Περιμένομεν λοιπὸν ἀπὸ ὑμᾶς, ὄχι μόνον τὴν ἀποστολὴν τῆς συνδρομῆς σας, ἀλλὰ καὶ πᾶσαν τὴν δυνατὴν ἐργασίαν διὰ τὴν διάδοσιν τοῦ περιοδικοῦ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης».

**Ἡ Διεύθυνσις**

---

**Οἱ ἀποστείλαντες ἐσχάτως τὰς συνδρομάς των.**

**Τοῦ α΄. ἔτους**

| | |
|---|---|
| Μητροπολίτης Ναυπακτίας κ. κ. ΓΕΡΜΑΝΟΣ | Ναύπακτος |
| Ι. Μονὴ Ρουστίκων | Κρήτης |
| Ι. Μονὴ Ἀρσενίου | » |
| Ι. Μονὴ Φανερωμένης | Νάξου |

**Τοῦ β΄. ἔτους**

| | |
|---|---|
| Ἰωάννης Μανωλόπουλος | Ἀθῆναι |
| Θεόδωρος Μουστογιάννης | » |
| Ἀθ. Ρεμοῦνδος ἱερεὺς | » |
| Ι. Μονὴ Μυρσινιδίου | Χίου |
| Ι. Μονὴ Κάτω Παναγίας | Ἄρτης |
| Ι. Μονὴ Ἁγίας Τριάδος | Καλαμπάκας |
| Ι. Μονὴ Κωσταμονίτου | Ἅγιον Ὄρος |
| Ι. Μονὴ Ξενοφῶντος | » |
| Δημητρούλα Κ. Καλύβα | Πελετὰ - Κυνουρίας |
| Γεώργιος Σηφάκις ἱερεὺς | Ἁγ. Βαρβάρα - Κρήτης |
| Γρηγ. Ρεντήρης μοναχὸς | Ι. Μ. Προυσοῦ |
| Ἀλκ. Χατζημιχάλης | Μεταξοχῶρι Ἁγιᾶς |

---

**Διαδόσατε τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην».**



## ΔΗΛΩΣΙΣ

Ἡ Διεύθυνσις τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» δέχεται συνεργασίαν ἀπὸ πάντα ἐπιστήμονα ἢ διανοούμενον, ἀποστέλλοντα εἰς αὐτὴν ὕλην ἱστορικήν, ἔχουσαν σχέσιν πάντοτε μὲ τὸ Ἅγιον Ὄρος. Ὡσαύτως ὕλην ἐπαγωγὸν καὶ χρήσιμον διὰ τὴν σωτηρίαν τῆς ψυχῆς.

Διεύθυνσις : Σωτήριον Σχοινᾶν. Βόλον

## ΕΤΕΡΑ ΔΗΛΩΣΙΣ

Εἰς τοὺς ζητοῦντας τεύχη ἀπὸ 1 Ἰανουαρίου διὰ νὰ ἔχωσι σειρὰν ἀπὸ τὴν 1ην τοῦ ἔτους, δηλοῦμεν ὅτι ἡ πρωτοχρονιὰ διὰ τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην», ὡς περιοδικὸν κατ᾽ ἐξοχὴν Ἐκκλησιαστικόν, εἶναι ἡ ἀρχὴ τῆς Ἰνδίκτου, 1ης Σεπτεμβρίου.

Ὡσαύτως τὰ τεύχη ἀπὸ τοῦ Σεπτεμβρίου 1936 μέχρι τοῦ Φεβρουαρίου 1937 ἔχουν ἐξαντληθῆ, πλὴν ὀλίγων σειρῶν, ἃς ἔχομεν δεδεμένας καὶ τὰς ὁποίας βλέπει ὁ ἀναγνώστης εἰς τὸν ὄπισθεν τοῦ τεύχους κατάλογον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΙΜΟΚΑΤΑΛΟΓΟΣ ΒΙΒΛΙΩΝ

Εὑρισκομένων παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Ν. Σχοινᾶ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλομένων ἐλευθέρων ταχυδρομικῶν τελῶν.

### "ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,

ΕΤΟΣ Α.΄

Ὑπάρχουν μόνον 15 τόμοι συμπεπληρωμένοι πανόδετοι δραχ. 250

Ἀπὸ τὸ τεῦχος τοῦ Ν)βρίου-Αὐγούστου τόμοι 12 ἄδετοι » 150

Ἀπὸ τὸ τεῦχος τοῦ Δ)βρίου-Αὐγούστου τόμοι 6 ἄδετοι » 130

Ἀπὸ τὸ τεῦχος τοῦ Ἰαν)ρίου-Αὐγούστου τόμοι 19 ἄδετοι » 120

Ἀπὸ τὸ τεῦχος τοῦ Φ)ρίου-Αὐγούστου τόμοι 7 ἄδετοι » 1[illegible]0

Μάρτιος. ανόνες Χρυσοστόμου » 10

Ἀπρίλιος. Ἀκολουθία Ἁγ. Λέοντος καὶ Ζωοδόχου Πηγῆς » 10

Μάϊος. Ἀκολουθία Ἁγ. Βενιαμὶν τοῦ Πέρσου » 10

Ἰούνιος. Κανόνες Ἰω. Προδρόμου » 10

Ἰούλιος. Ἀκολουθία Συμεὼν τοῦ Θεοδόχου » 10

Αὔγουστος. Ἀκολουθία Ἁγ. Παρασκευῆς » 10

Θέατρον Πολιτικὸν ὑπὸ Ν. Μαυροκορδάτου σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 75
πανόδετον » 100
δερμάτινον » 125
(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

Ἐγκόλπιον Χριστιανοῦ ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 15

Συμβουλευτικὸν ἐγχειρίδιον ὑπὸ Νικοδήμου Ἁγιορείτου
ἄδετον » 50
πανόδετον » 70

Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ ὑπὸ Ἰωάν. Δαμασκηνοῦ
ἄδετον » 40
πανόδετον » 60

Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς ὑπὸ Φιλοθέου Ζερβάκου Ἀρχιμανδρίτου » 15

Ἀκολουθία τοῦ Ἁγίου Γερασίμου τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10

Ἱστορικὴ μελέτη τῆς Ἱ. Μονῆς Ἁγ. Παντελεήμονος ὑπὸ Δανιὴλ μοναχοῦ » 10

Ἐκκλησιαστικοὶ Νόμοι. Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ χρησιμώτατον δι᾽ ὅλους τοὺς Ἐκκλησιαστικοὺς ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 50

Ἑρμηνεία τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 250
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 400

Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ Ἑορτοδρομίου τοῦ αὐτοῦ τόμοι 3 » 150
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 300

Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ, Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον » 28

Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ. ὑπὸ στεφάνου Παπαδημητρίου » 25

Ἡ Ζωὴ τῆς ψυχῆς τοῦ αὐτοῦ (ἄρτι ἐκδοθὲν) » 12

Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ, Ι. Βουνιάνου » 25

Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας » 20

Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ: Τὸ περίφημον δραματικὸν ἔργον τῆς γερμανίδος συγγραφέως Καρλόττας Pfeiffer, μεταφρασμένον μὲ πολλὴν εὐσυνειδησίαν. Βιβλίον ἐξόχως διδακτικὸν καὶ ἀριστούργημα ἀπὸ λογοτεχνικῆς ἀπόψεως » 15
δεδεμένον » 25

Μαργαρῖται Χρυσοστόμου » 60
πανόδετον » 80
δερμάτινον » 105

Ἀποστολικὴ Σαγήνη ἄδετον » 65
πανόδετον » 95
δερμάτινον » 120

Ἀκολουθία τῆς Θείας Μεταλήψεως » 3

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία.

---

ΣΗΜ. Δεχόμεθα παντὸς εἴδους θρησκευτικὰ βιβλία πρὸς πώλησιν.

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΤΟΣ Β.΄ ΑΡΙΘ. 15
ΙΔΡΥΤΗΣ: ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ-ΙΑΤΡΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΝΕΙΛΟΥ ΤΟΥ ΜΥΡΟΒΛΥΤΟΥ

Ἀντιγραφεῖσα ἐκ τοῦ ἀνεκδότου τυπικαρίου τῆς ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθῳ ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας

ΥΠΟ
ΣΠΥΡΙΔΩΝΟΣ (ΑΘΑΝΑΣΙΟΥ) ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΝΟΕΜΒΡΙΟΣ 1937

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπαγορεύεται ἡ ἀνατύπωσις δυνάμει τοῦ περὶ τύπου 2387 Νόμου.

# ΜΗΝΙ ΜΑΪΩ Ζ΄. (1)

Ἀκολουθία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νείλου τοῦ μυροβλήτου, τοῦ ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθω ἀσκήσαντος καὶ τελειωθέντος ἐν τῷ σπηλαίῳ τῷ, ἐν τῇ ἁγίᾳ πέτρᾳ τῆς Παναγίας καλουμένῃ Μονῇ, κειμένῳ.

**ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ**

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τρία τῆς ἑορτῆς καὶ τρία τοῦ Ἁγίου.

**Ἦχος α΄.**

**Πανεύφημοι μάρτυρες**

Τὸν νοῦν ἐλλαμπόμενος φωτί, Νεῖλε ἀξιάγαστε, τῆς τρισηλίου θεότητος ναὸς γεγένησαι, καθαρὸς καὶ θεῖος, τοῦ Ἁγίου Πνεύματος· ἐμφάσεις νοερῶς εἰσδεχόμενος διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἀγγέλους συλλήπτορας σοφέ, ἔχων δυναμοῦντάς σε, τὰ τῶν δαιμόνων φαντάσματα καὶ πανουργεύματα, ἀπεκρούσω Νεῖλε, τὴν ὁδὸν διήνυσας, τὴν φέρουσαν πρὸς θείαν κατάπαυσιν, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ψυχῆς καθαρότητι πολλῇ, Νεῖλε ὁσιώτατε, τῷ καθαρῷ ἐξομοίωσαι Θεῷ καὶ κτίστῃ σου, καὶ θυσίαν ζῶσα, αὐτῷ προσενήνεξε, ὡς φύλαξ τῶν αὐτοῦ διατάξεων· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

**Δόξα. Ἦχος β΄.**

Τὸν ἐπὶ γῆς Ἄγγελον, καὶ ἐν οὐρανοῖς ἄνθρωπον Θεοῦ, τοῦ κόσμου τὴν εὐκοσμίαν, τὴν τρυφὴν τῶν ἀγαθῶν καὶ τῶν ἀρετῶν, τῶν ἀσκητῶν τὸ καύχημα, Νεῖλον τιμήσωμεν, τὸν ἡμῖν ἀναλάμψαντα σήμερον· διὰ τῆς ἀποκαλύψεως, τῶν πλείστοις χρόνοις κεκρυμμένων ἱερῶν αὐτοῦ ὀστῶν, καὶ εὐωδίας πληρώσαντα καὶ ἰάματα βλύζοντα, ὡς πάλαι μύρα, καὶ χειραγωγοῦντα διάγειν, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

**Εἰς τὸν στίχον.** Στιχηρὰ προσόμοια λέγομεν α΄. τὸ ἀναστάσιμον· εἶτα τὰ παρόντα τοῦ ἁγίου.

**Ἦχος β΄.**

**Οἶκος τοῦ Εὐφραθᾶ**

Ὕμνοις χρεωστικοῖς, τῶν ἀσκητῶν τὸ κλέος· καὶ πάντων λαμπαδοῦχον, πληθὺς τοῦ Ἄθω δεῦρο· τὸν Νεῖλον μεγαλύνομεν.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.**

Πόνοις τὸν Ἰησοῦν, ἐδόξασας διό σε· Νεῖλε ἀντιδοξάζει, ἐν θαύ-

(1) Ὁ Συναξαριστὴς Δουκάκη φέρει τὴν μνήμην τοῦ ὁσίου Νείλου τὴν ΙΒ΄. Νοεμβρίου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μασι ποικίλοις καὶ μύρων ἀναβλύσεσι.

**Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ·**

Πάντας τοὺς τὸν ναόν, τὸ ἄντρον σὺν τῷ τάφῳ, σοῦ κατασπαζομένους, ἀπάλλαξον λιταῖς σου, Νεῖλε παντοίων θλίψεων.

**Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.**

Ψάλλατε ἐμμελῶς, οἱ μονασταὶ τοῦ Ἄθω, ἐπὶ τῇ μνήμῃ Νείλου, ὑμῶν λαμπροῦ φωστῆρος, καὶ ποδηγέτου σήμερον.

**Δόξα. Ἦχος α΄.**

Ἀγάλλου ἐν Κυρίῳ, ἡ περιώνυμος Λαύρα τοῦ ὁσίου Ἀθανασίου, ἡ πάλαι μὲν τὸν θεῖον Νεῖλον, ἐν ταῖς ἀγκάλαις αὐτῆς αὐξήσασα, παντοίαις χάρισιν ἀρετῶν κεκοσμημένον· νῦν δὲ ὡς θησαυρὸν κεκρυμμένον, τὰ χαριτόπνοα τούτου λείψανα εὑροῦσα, πᾶσιν ὀρθοδόξοις τὴν ἀκένωτον χάριν ἐχορήγησε· διὸ ἑορτὴν ἐτήσιον τελοῦντες, τὴν χαρμόσυνον μνήμην αὐτοῦ, τοῖς νοητοῖς ἄνθεσι στεφανώσωμεν, Χριστὸν τὸν ἀναστάντα, καὶ πάντας ἀναστήσαντα δοξάζοντες.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

Εἶτα τὸ νῦν ἀπολύεις καὶ τὸ τρισάγιον.

**Ἀπολυτίκιον. Ἦχος α΄.**

Βιώσας θεαρέστως ἐν τῷ Ὄρει τοῦ Ἄθωνος, προσευχαῖς καὶ νηστείαις τὸν Θεὸν ἐθεράπευσας· ὡς σκεῦος τῆς χάριτος λαμπρόν, τοῦ Πνεύματος ἐδείχθης λειτουργός, διανέμων τὰς ἰάσεις τοῖς ἐκβοῶσί σοι πιστῶς, Νεῖλε μακάριε· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον. **Ἦχος πλ. δ΄.**

**Τὸ προσταχθὲν**

Διὰ νηστείας ἀκραιφνοῦς Νεῖλε θεόφρον, ἀπονεκρώσας τῶν παθῶν ἐπαναστάσεις, τοῦ Χριστοῦ ὁ ἔρως σοι ἔδωκε τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶν τε καὶ μετὰ πότμον θαυματουργεῖν, ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα τὰ σά, ἐκβλύζουσιν ἰάματα, πᾶσι τοῖς πίστει θερμῇ σοι προστρέχουσι.

**Καὶ τῆς ἑορτῆς**

**ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι**

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος πλ. δ΄.**

**Ὢ τοῦ παραδόξου θαύματος**

Νεῖλε θεόφρον Πατὴρ ἡμῶν, διὰ τὴν ὄντως ζωήν, τῆς παρούσης ἠλόγησας, καὶ τοῖς πόνοις ἔκδοτον, σοῦ τὸ σῶμα παρέδωκας, πρὸς τὴν ἀγήρω καὶ ἀτελεύτητον, τρυφὴν ἐνθέως ἀποσκοπούμενος, ἧς καὶ ἐπέτυχες, σὺν ὁσίων τάγμασι διηνεκῶς, θρόνῳ παριστάμενος, τοῦ Παντοκράτορος. (Δίς.)

Ὅσιε Νεῖλε μακάριε, θείᾳ δυνάμει ῥωσθεὶς τῶν δαιμόνων τὴν ἔπαρσιν, σταθερῶς κατέβαλες, καὶ εἰς γῆν ἐταπείνωσας, δύναμιν ἔχων, σὲ ἐνισχύουσαν, καὶ δυναμοῦσαν Χριστὸν τὸν Κύριον, ὃν καθικέτευε, καὶ ἡμῖν δωρήσασθαι τοῖς εὐσεβῶς, μνήμην τὴν πανίερον, ἐπιτελοῦσί σου.

Νεῖλε τῆς Λαύρας τὸ καύχημα, παντός τε Ἄθω τερπνόν, καὶ ἥδυτατον ἄκουσμα, σήμερον ἀνέτειλας· ὡς φωστὴρ ἐκ τοῦ μνήματος, καταπυρσεύων, πιστῶν συστήματα, διὰ τῆς χάριτος τῶν λειψάνων σου, ὅθεν γηθόμενοι, λάρνακα κυκλοῦμέν σου τὴν ἱεράν, τάφον καὶ τὸ σπήλαιον, κατασπαζόμενοι.



Ἕτερα Προσόμοια. **Ἦχος α΄.**

**Τῶν οὐρανίων ταγμάτων**

Τὸν ἐν τῷ ὄρει τοῦ Ἄθω, λαμπρῶς ἀσκήσαντα, καὶ καθελόντα πάσας, τοῦ ἐχθροῦ τὰς ἐνέδρας, νηστείαις ἀγρυπνίαις εὐχαῖς καὶ ῥοαῖς, τῶν δακρύων ὑμνήσωμεν, Νεῖλον τὸν μέγαν ἐν ὕμνοις χρεωστικοῖς, ὡς Θεοῦ θεῖον θεράποντα. (Δίς)

Νεῖλος τὴν Αἴγυπτον ἄρδων, καρποὺς ἐκφέρειν ποιεῖ, σὺ δὲ ταῖς τῶν δακρύων τὸ τοῦ Ἄθωνος ὄρος, ῥοαῖς σου καταρδεύσας καρποὺς ἀρετῶν, κατεκόσμησας ὅσιε, εἰς ἑκατὸν ἐπαυξήσας πνευματικῶς, τὸ σὸν τάλαντον ὡς γέγραπται.

Τοὺς ἐν τῷ θείῳ σου ἄντρῳ, συναθροισθέντας πιστῶς, τὴν θείαν ἐκτελέσαι, σοῦ πανίερον μνήμην, ἐν ᾧ τοὺς ὑπὲρ φύσιν ἀγῶνας στερροὺς, ἀνδρικῶς διετέλεσας, ἀλλ' οὐ μὴ παύσῃ πρεσβεύων Πάτερ καὶ νῦν, μιμητὰς ἡμᾶς δειχθῆναί σου.

**Δόξα. Ἦχος πλ. β΄.**

Εἰς ὄρος ὑψηλῆς ἐπιβὰς πολιτείας τὸ μέγα ὄρος τοῦ Ἄθω κατέλαβες, ἵν' ἔχῃς ὡς εἰκόνα τῶν ἀοράτων τὰ δρώμενα, δέονται γὰρ πόνων καὶ καμάτων τὰ τραχέα καὶ ὑψηλὰ πρὸς ἀνάβασιν. Ἀναβὰς δέ τις ἄνω, ὁρᾷ τὰ πόρρω καὶ τὰ κάτω. Οὕτω σὺ μακάριε Νεῖλε, συνεργὸν ἔχων φερωνυμοῦντα, τὸν σὸν κατὰ σάρκα καὶ κατὰ πνεῦμα θεῖον Μακάριον, ὡς Μωϋσῆς τὸν Ἀαρών, καὶ ὡς Ἠλίας τὸν Ἐλισσαῖον· οἳ τὸ Σίναιον καὶ τὸν Κάρμηλον ἔχοντες ἐνδιαίτημα, τὰς ὑψηλὰς θεοπτείας καὶ προφητείας ἑώρων· οὕτως ὑμεῖς Ἄθω οἰκοῦντες, τῶν μεγίστων καὶ ὑπερτάτων θεωριῶν τὴν γνῶσιν εἰλήφατε· καὶ πᾶσι τοῖς μονασταῖς ὑπογραμμὸς ἀνεδείχθητε. Ἔχοντες οὖν πρὸς Θεὸν παρρησίαν, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν τῆς ἑορτῆς.**

Εἴσοδος. Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. Γ΄. 1 Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. Ε΄. 16 Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἀλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀπο̈τόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. Δ΄. 7 Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἐν τῆς λαχούσης ἑορτῆς· εἶτα

**Ἦχος α΄.**

Ἔπρεπε τοῖς τὸν Ἄθω οἰκοῦσι μονοτρόποις, τὴν τούτου Βασιλίδα καὶ Δέσποιναν, κατὰ πρῶτον ἐγκωμιάζειν. Ἐξαιρέτως δὲ ἐν τῷ χώρῳ τούτῳ, ἐν ᾧ τοῖς ὁσίοις ὤφθη Πατράσι, καὶ ὡς θεογράφους πλάκας, τὰς σωτηρίους ἡμῖν, διὰ Πέτρου τοῦ θεράποντος αὐτῆς, ἐπαγγελίας ἐπηγγείλατο, καὶ τῶν μετ' ἐκεῖνον Πατέρων. Οὗτοι γὰρ ὡς Μωϋσῆς ἐν Σιναίῳ, ἐν τῷ δε παροικοῦντες τῷ τόπῳ, οὐχὶ τυπικῶς ὡς ἐκεῖνος διὰ τῆς βάτου, ἀλλὰ τηλαυγῶς τὴν Κυρίαν τοῦ παντὸς ἰδεῖν ἠξιώθησαν, καὶ ὁμιλίας ἔτυχον. Διὸ καὶ ἡμεῖς, οἱ ἐν τῇ ἁγίᾳ ταύτῃ πέτρᾳ, τῆς Παναγίας κεκλημένῃ, ἐν ᾗ ὁ σήμερον εὐφημούμενος θεῖος Νεῖλος τὸν ναὸν αὐτῆς ἀνῳκοδόμησε καὶ θυσίας ἐν τούτῳ ἀναιμάκτους ὡς λειτουργὸς τῷ Θεῷ προσήνεγκε, μελωδικῶς λιτανεύοντες κράζομεν· Παναγία Παρθένε ἁγνή· ἁγίως ἀξίωσον ἡμᾶς πολιτεύεσθαι, καὶ ἐν ἁγνότητι, παρθενίᾳ καὶ ἀκαταγνώστῳ μετανοίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

**Ὁ αὐτός.**

Εὐφραίνου ἐν Κυρίῳ ὁσίων Ἄθω τὸ κλέος, Ἀθανάσιε παναοίδιμε· σὺ γὰρ συνήγαγες θεοφεγγεῖς ὡς φωστῆρας, πληθὺν ὁσίων Πατέρων, ἐν τῇ μεγίστῃ σου καὶ ἀριζήλῳ οἰκοδομῇ, ἣν ἐπὶ γῆς ὡς οὐρανὸν καὶ ὡς παράδεισον ἄλλον ἀνέδειξας, δι' ἧς ὡς ἄνθη πανεύοσμα καὶ ὡς ἀστέρες ἐκπέμπουσιν εὐωδίαν καὶ λαμπρότητα, ἐξ ἧς ἐξήνθησαν καὶ αὐγάζουσιν ὀνομαστί, Πέτρος ὁ μακάριος, καὶ Μάξιμος ὁ θεηγόρος, σὺν Γρηγορίοις καὶ Νικηφόρος, Ἰωάννης τε ὁ μελωδός, καὶ ὁ νηφάλιος Νήφων, καὶ σὺν Μάρκῳ ὁ Θεόδωρος, μεθ' ὧν ὑστάτως ὁ Ἀκάκιος, οὓς ὁ θεόσοφος Νεῖλος ἐν τῇ μνήμῃ αὐτοῦ μετὰ καὶ τῶν ἀνωνύμως εὐαρεστησάντων τῷ Θεῷ, ἐν τῷ χώρῳ τούτῳ, χειραγωγεῖ ἡμᾶς, ὁμοῦ τε καὶ ἰδίως πανηγυρίζειν καὶ ἀνυμνεῖν αὐτῶν τὸ μνημόσυνον.

**Ἦχος β΄.**

Θαυμαστὸς εἶ ὁ Θεός, καὶ τῶν θαυμασίων σου πέρας ὅλως οὐκ ἔστιν. Ἰδοὺ γὰρ ἐν τῇ καθ' ἡμᾶς γενεᾷ, μετὰ πολυχρόνιον ἐν γῇ κατάκρυψιν, ἀπεκάλυψας, τοῦ σοῦ θεράποντος Νείλου τὰ λείψανα· εὐωδίαν ἄρρητον ἐκπνέοντα, καὶ πηγὰς θαυμάτων προχέοντα, ἅπασι τοῖς πόθῳ προσιοῦσιν. Ὅθεν καὶ ἐνίσχυσας ἡμᾶς ἐξασθενήσαντας, ταῖς ἀφορήτοις φορολογίαις, καὶ πρὸς ἅμιλλαν ἤγειρας, ναὸν πρὸς ἀνάμνησιν τοῦ θαύματος οἰκοδομήσειν, ἐν ᾧ ἐτησίως ἀθροιζόμενοι δοξάζομεν, τὸν ἐπὶ γῆς σε δοξάσαντα Ὅσιον.

**Ἦχος γ΄.**

Ὁμωνύμως τοῖς Νειλώοις νάμασι κληθείς, κατὰ ἀπόρρητον οἰκονομίαν, φερώνυμος ἐδείχθης Νεῖλε μακάριε· ὡς γὰρ ἐκεῖνα ἐτησίως ἀναβαίνοντα, πρόξενα γίνεται νέας χρονικῆς καρποφορίας· οὕτως αὐτὸς ἐτησίως ἡμῖν ἐμφανιζόμενος, διὰ τῆς θείας σου μνήμης, ἀρδεύων τὴν ἀκαρπίαν τῶν ψυχῶν ἡμῶν, εἰς πνευματικὴν καρποφορίαν μετασκευάζεις, διεγείρων πρὸς μίμησιν τῶν ἐναρέτων σου κατορθωμάτων, διὰ τῆς καινουργούσης ἡμᾶς μετανοίας. Οὕτως οὖν ἀξιωθεὶς παρὰ Θεοῦ, δώρησαι ἡμῖν φερωνύμως πάσας τοῦ παρόντος ἔτους τὰς ἡμέρας καρποφόρους προσενεγκεῖν τῷ Χριστῷ, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

**Ὁ αὐτὸς**

Τοῖς μυστικοῖς χρυσορείθροις νάμασι, τῶν ἱερῶν σου λειψάνων προσερχόμενοι, χορήγησον ἡμῖν ἁγιώτατε Πάτερ, ῥῶσιν καὶ ὑγείαν τὴν ψυχῇ τε καὶ σώματι πρέπουσαν· μεσιτεύων ὡς ἱερεὺς ὑπὲρ ἡμῶν πρὸς τὸν Σωτῆρα, ἁμαρτιῶν συγχώρησιν λαβεῖν, καὶ ἀκατακρίτους ἡμᾶς παραστῆναι αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

**Ἦχος δ΄.**

Εὐφράνθητι ἔρημος διψῶσα, Ἡσαΐας προορῶν τῆς νῦν ἐρήμου τοῦ Ἄθω, τὴν πνευματικὴν οἴκησιν ἔλεγεν. Ἰδοὺ γὰρ τὰ τραχέα καὶ σκολιά, καὶ ὅλως ἀδιόδευτα τοῦ ὄρους μέρη, ὡς πόλις εὐπρεπὴς ὁρᾶται οἰκούμενα· καὶ τὰ σκολιὰ εὐθέα· καὶ τὰ ἄβατα εὐδιόδευτα· καὶ τὰ ἄκαρπα κάρπιμα, ὡμάλισεν αὐτὰ Χριστὸς διὰ τῶν δούλων αὐτοῦ· οἳ ὡς παράδεισον τρυφῆς, καὶ οὐρανὸν λαμπρὸν ἐποίησαν ἀληθῶς τὸν τόπον τοῦτον· ὧν ταῖς λιταῖς διατήρησον Χριστὲ ὁ Θεός, εἰς τοὺς αἰῶνας ἀδιάφθορον.

**Ὁ αὐτός.**

Ἡ πέτρα τῆς ζωῆς, ἡ ἔντιμος καὶ ἀκρογωνιαία, ἡ ἀκλινὴς θεμέλιος καὶ ἀσάλευτος εἰς τὸν αἰῶνα· ὁμωνυμοῦντα τῷ γράμματι τὸν Ἄθω εὑροῦσα, ἐπὶ τὰ τούτου σκληρὰ καὶ πετρώδη τὴν πρώτην εὐαγγελικὴν ζωήν, ᾠκοδόμησεν ἀσάλευτον· μάρτυρες γὰρ ἀληθείας οἱ ὅσιοι· οἳ ἀνεκλείστως κοσμοῦσι τὸν τόπον τοῦτον, καὶ γὰρ μετὰ Πέτρον, καὶ Εὐθύμιον, καὶ Ἀθανάσιον τὸν πανθαύμαστον,



Athos Library Αγιορειτική Βιβλιοθήκη

Μάξιμόν τε καὶ Νήφωνα καὶ Ἰωάννην, Νεῖλος ὁ μακάριος διέπρεψεν· οἳ πολλοὺς εἶχον συνοπαδούς, μεθ᾽ ὧν Ἀκάκιος ὁ ἀοίδιμος. Οὗτοι τὴν βαθυτάτην ταύτην ἔρημον, κατὰ καιροὺς ἰδίους κοσμοῦντες, τὴν ὑψηλοτάτην καὶ ἀκλόνητον εὐαγγελικὴν ζωὴν ἠκολούθησαν· ἣν ὀπαδοὶ αὐτῶν ἀσκηταὶ λαβόντες, κρατοῦσιν ἀπαράβατον· στήριξον αὐτοὺς Χριστέ, ἡ ἀσάλευτος πέτρα τῆς ζωῆς, φυλάττειν αὐτὴν ἀκίβδηλον, ταῖς πρεσβείαις τῶν ὁσίων σου.

**Δόξα. Ἦχος πλ. α΄.**

Σήμερον ὡς ἀληθῶς ἡ μυστικὴ αὕτη ἑβδόμη, ἡ τοῦ ὁσίου καὶ θαυμασίου Νείλου τὰ λείψανα ἀνακαλύψασα, τῆς πάλαι ἑβδόμης ἐκείνης φέρει ὁμοίωσιν· ὅτε ὁ σταυρὸς ἐν οὐρανῷ, ἔλαμψεν ἡλίου φαιδρότερον· οὕτω τὰ σταυροφόρα τοῦ θεοφόρου ὀστᾶ, ἐκ γῆς ἀναλάμψαντα, ὡς ἔμπλεα τερπνοτάτης εὐωδίας, θείου φωτισμοῦ, καὶ λαμπρότητος ἔπλησαν, πάντας τοὺς παρευρεθέντας. Ὅθεν ἀγαλλόμενοι ἐν ψαλμοῖς καὶ ὕμνοις, τὴν ἁγίαν Λαύραν κατέλαβον, καὶ ὡς θησαυρὸν πολύτιμον ἐναπέθεντο· ἰάματα παρέχοντα, πᾶσι τοῖς πιστῶς προσιοῦσι, καὶ εὐλαβῶς ἀσπαζομένοις. Τὴν ἀνάμνησιν οὖν ταύτην ἑορτάζοντες, παννύχιον προσφέρωμεν, τῷ Χριστῷ δοξολογίαν, τῷ δοξάσαντι τὸν αὐτοῦ θεράποντα.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Στιχηρὰ Προσόμοια

**Ἦχος πλ. α΄.**

**Χαίροις ἀσκητικῶν**

Οἶκον παρθενομῆτορ ἁγνή, οἱ φοιτηταί σου εὐλαβῶς σοι ἀνέθεντο, τὸ ὄρος τοῦτο τὸν Ἄθω, ἐν ᾧ οἰκεῖς νοερῶς, οὐρανὸν ὡς ἄλλον τοῦτον δείξασα, ἰδοὺ γὰρ ἐξέλαμψαν, ὡς φωστῆρες ὑπέρλαμπροι, φωτὸς τοῦ θείου, τὰς ἀκτῖνας δεξάμενοι· καὶ ἐκλάμπουσιν, ἀρετῶν ταῖς φαιδρότησι, φῶς τὸ ἀειλαμπέστατον, τὴν χάριν τοῦ Πνεύματος, τὴν ἐνοικήσασαν τούτοις, παρὰ τοῦ σοὶ ἐνοικήσαντος, Χριστοῦ ὃν δυσώπει, καὶ ἡμᾶς ἀξιωθῆναι, φωτὸς τοῦ οἴκου σου.

**Στιχ. Τίμιος ἐναντίον Κυρίου...**

Στύλοι φωτοειδεῖς ἀρεταῖς, ἐστηριγμένοι καὶ νεφέλη σκιάζουσα, οἱ θεῖοι ἡμῶν Πατέρες, ἐφάνησαν ἀληθῶς, μοναστῶν τὰς τάξεις, ποδηγούμενοι, ὁ Πέτρος, Εὐθύμιος, ὁ λαμπρὸς Ἀθανάσιος, Μάξιμος, Νήφων, καὶ ὁ Νεῖλος ὁ ἔνδοξος, οἱ τρισόλβιοι καὶ οἱ θεῖοι διδάσκαλοι· οὗτοι γὰρ συνεκάλεσαν, ἡμᾶς πάντας σήμερον, Νείλου τοῦ θείου τὴν μνήμην, πνευματικῶς ἐκτελέσοντας, μεθ᾽ οὗ δυσωποῦσι τὸν Χριστὸν ἡμῖν δοθῆναι, πταισμάτων ἄφεσιν.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

Χαίροις ὁ ἐπ᾽ ἐσχάτων φανείς, Νείλων τῶν πάλαι, ἀτεχνῶς ἀφομοίωμα, τὸν βίον γὰρ τούτων Πάτερ, φερωνυμήσας καλῶς, ἀρετὴν ἀσκήσας πεπολίτευσαι, φανεὶς καθαρώτατον, ἀκηλίδωτον ἔσοπτρον, ἀκτινοβόλους ἀστραπὰς εἰσδεχόμενον· τὰς τοῦ Πνεύματος ὡς ἐκεῖνοι πανόλβιε· ὅθεν καταυγαζόμενος, ἑώρας τὰ μέλλοντα, πάντα προλέγων ἐκ θείας φωτοφανείας μυούμενος· Χριστοῦ ὃν δυσώσει, καὶ ἡμᾶς ἀξιωθῆναι, θείας ἐλλάμψεως.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τῶν ἀσκητῶν τὰ πλήθη, τὸν ἐν ἐρήμοις τοῦ Ἄθω, ὡς καθηγητὴν σε τιμῶμεν, Νεῖλε Πατὴρ ἡμῶν. Διὰ γὰρ σοῦ τὴν τρίβον, τὴν ἐν ἀβάτοις τόποις ὁδεύομεν χειραγωγόν σε καὶ



προστάτην ἐν πειρασμοῖς κεκτημένοι, καὶ ἄγρυπνον φύλακα. Ἰδοὺ γὰρ ταῖς λιταῖς σου ἡ Λαύρα αὕτη, ἡ σὲ ἐτησίως καὶ καθ᾽ ἑκάστην γεραίρουσα, ὡς ῥόδον ἐν ἀκάνθαις διαμένει ἀμάραντον. φρούρησον μακάριε ἀειθαλῆ εἰς αἰῶνας, καὶ ἀξίωσον ἡμᾶς μιμητάς σου γενέσθαι, καὶ κληρονόμους τῶν χαρισμάτων σου.

**Καὶ νῦν τῆς ἑορτῆς.**

Ἀπολυτίκια ὅρα εἰς τὸν μικρὸν Ἑσπερινόν.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα.

**Ἦχος α΄.**

**Τὸν τάφον σου Σωτήρ.**

Ἐκ βρέφους τῷ Θεῷ, Νεῖλε Πάτερ ἐδείχθης, ὡς δῶρον ἱερόν, καὶ τῷ κτίσαντι πρέπον, προθύμως τὸν ζυγὸν αὐτοῦ, τὸν χρηστὸν ἐκ νεότητος, ἄρας ἄγευστον, τύρβης τοῦ βίου τηρήσας, πᾶσαν αἴσθησιν, διὸ ὡς ἄσαρκος ξένως, ἐν γῇ πεπολίτευσαι.

**Δόξα. Ὅμοιον**

Ὁ τάφος σου σοφέ, καὶ τὸ ἄντρον σου τοῦτο, θαυμάτων ἀστραπαῖς, καταπλήττουσι πάντας, τοὺς πόθῳ προσιόντας σοι, καὶ θερμῶς ἐκτελοῦντάς σου, τὴν σεβάσμιον, καὶ φωτοφόρον ἡμέραν, ἣν ἐξήνθησεν, ἡ τῶν λειψάνων σου χάρις, ὡς ῥόδον τερπνότατον.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

Μετὰ τὴν β΄. στιχολογίαν. Κάθισμα.

**Ἦχος γ΄.**

**Τὴν ὡραιότητα**

Τὴν καρτερίαν σου, καὶ τοὺς ἀγῶνάς σου, πάντες θαυμάζουσιν, οἱ καθορῶντές σου, ὑπομονῆς τὸ καρτερόν, ἐν τούτῳ σου τῷ σπηλαίῳ, πῶς οὐκ ἐδειλίασας, τῆς ἐρήμου τὸ ἄγριον, πῶς σε οὐκ ἐπτόησε, τὸ τραχὺ καὶ σκληρότατον· διό σε εὐφημοῦντες βοῶμεν, δόξα Χριστῷ τῷ σὲ δοξάσαντι.

**Δόξα. Ὅμοιον.**

Ὡς εὐωδέστατον, κρῖνον ἐξήνθησεν, ἐκ τάφου σήμερον, Πάτερ σὰ λείψανα, ὀσμὴν ζωῆς τῆς ἐν Χριστῷ, ἀφθόνως ἀναβοῶντα, χρόνους γὰρ κρυπτόμενα, ὑπὸ γῆν ἀδιάφθορα, πνέουσιν ἀείζωον, εὐωδίαν ἰάσεων· διὸ καὶ εὐχαρίστως βοῶμεν· Δόξα Χριστῷ τῷ ἀναστάντι.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

Μετὰ τὸν πολυέλεον. Κάθισμα.

**Ἦχος πλ. δ΄**

**Τὴν σοφίαν**

Μονασταὶ καὶ μιγάδες πάντες ὁμοῦ, ἀθροισθέντες ὁρᾶτε θαῦμα φρικτόν, Νεῖλος ὁ θαυμάσιος, ὥσπερ ζῶν νῦν ἐξέλαμψε, διὰ τῶν λειψάνων, τοῖς πᾶσιν ἀνάστασιν· ἐκκηρύττων τοῖς πέρασιν ἰάσεις παρέχοντα· ὅθεν ἀντὶ μύρων, εὐωδίας τὴν χάριν, προχέει τὴν σήμερον, τοῖς ἐκ πόθου γεραίρουσι, τῶν λειψάνων τὴν εὕρεσιν· βλύζουσαν θαυμάτων κρουνούς, καὶ ἰάσεων ῥεῖθρα ἀκένωτα, τὴν ἐνέργειαν τοῦ Σωτῆρος δεξάμενα.

**Δόξα τὸ αὐτό. Καὶ νῦν. Τῆς ἑορτῆς.**

Οἱ ἀναβαθμοί. Τὸ πρῶτον Ἀντίφωνον τοῦ δ΄. ἤχου.

Τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στιχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τὸ Πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον τοῦ Ἁγίου Ἀντωνίου.

**Ὁ Ν΄ Δόξα ταῖς τοῦ σοῦ ὁσίου. Καὶ νῦν ταῖς τῆς Θεοτόκου.**

Στίχ. Ἐλέησόν με ὁ Θεός, καὶ τὸ ἰδιόμελον.

**Ἦχος πλ. β΄.**

Ὅσιε Πάτερ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου, τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παρρησίαν ἔχων ἐν τῇ μνήμῃ σου, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Οἱ Κανόνες τῆς ἑορτῆς καὶ τοῦ ἁγίου. Ὁ Κανὼν τῆς ἑορτῆς εἰς ἓξ καὶ τοῦ ἁγίου οἱ δύο εἰς ὀκτώ.

Ὁ α΄. Κανὼν τοῦ ἁγίου, ἔχων ἀκροστιχίδα.

Τὸν σὸν γεραίρω παμμάκαρ Πάτερ βίον.

**Ὠδὴ α΄. Ἦχος δ΄.**

**Ἀνοίξω τὸ στόμα μου.**

Ταῖς θείαις λαμπρότησι, καταυγαζόμενος ὅσιε, τὸ νέφος διάλυσον τῆς διανοίας μου, ὅπως μέλψω σου τὸν βίον Νεῖλε πάτερ, καὶ τὰ κατορθώματα τῆς πολιτείας σου.

Ὀρθρίσας πρὸς Κύριον, δικαιοσύνης τὸν Ἥλιον, ἐκ βρέφους πανόλβιε σκότος διέφυγες, τῶν τοῦ σώματος, παθῶν δι᾽ ἐγκρατείας, καὶ χάριν ἐπλούτισας, Νεῖλε οὐράνιον.

Νοὸς καθαρότητα, δι᾽ ἀπαθείας κτησάμενος, τοῦ Πνεύματος γέγονας κατοικητήριον, Νεῖλε ὅσιε, τῶν ἀσκητῶν ἡ δόξα, Πατέρων ἀγλάϊσμα, φωστὴρ παγκόσμιε.

**Θεοτοκίον**

Σὺ μόνη θεόνυμφε, τὸν ἐν ὑψίστοις καθήμενον, ἀγκάλαις ἐβάστασας σάρκα φορέσαντα, σὺ γὰρ πέφηνας, ἐκ πάντων τῶν αἰώνων, δοχεῖον ἐπάξιον τοῦ Παντοκράτορος.

Ἕτερος κανών.

Ποίημα Μακαρίου ἱερομονάχου ἐκ τῆς ἱερᾶς Σκήτεως τῆς θεοπρομήτορος ἁγίας Ἄννης, τοῦ Θετταλοῦ· φέρων ἀκροστιχ. τήνδε.

Σὰ ῥάνον μοι σοὶ μέλψαι Νεῖλε τὰ μέλη.

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄.**

**Ἁρματηλάτην Φαραώ.**

Σοφίας ὅλως ἀμυήτως ἔχοντι, πρὸς δὲ καὶ μὴ καθαρῷ, ὄντι συμπαθείᾳ, βλέψον πανάοιδιμε, τὸν ὕμνον τοῦτόν μέλποντι, διακαοῦς ἐκ πόθου, ὃν πρὸς σὲ ἔχω τὸν ῥύστην μου, ὅθεν δυσωπῶ σε φωτίσαι με.

Ἄγε τοῦ Ἄθω μοναστῶν ὁμήγυρις, ἐπὶ τὴν μνήμην πιστῶς, Νείλου τοῦ τὸν βίον, στίλβοντα ὡς ἔσοπτρον, ἀνύσαντος καὶ χάριτας, ἀρυσόμεθα πόθῳ, τούτου τὸν βίον μιμούμενοι, ἔχοντες αὐτὸν ἀντιλήπτορα.

Ῥητόρων τέχναι καὶ σοφῶν αἱ μέθοδοι, σιγᾶτε πᾶσαι καὶ γάρ, ὄντως θεία χάρις, ἄνωθεν ἐφοίτησε, καὶ Νεῖλον τὸν θεόφρονα, ἐκ χειλέων ἀπείρων, νηπίων ξένως ἐδόξασε, ξένως ἐπὶ γῆς τὸν βιώσαντα.

**Θεοτοκίον**

Ὅτε τὰ ἔθνη ὁ Θεὸς ἐμέριζε, κατὰ Ἀγγέλους αὐτοῦ, τότε σε Παρθένε, προγινώσκων ἔσεσθε, αὐτοῦ Μητέρα ἄχραντον, σοὶ ἀπένειμε τοῦτο, τὸ μέγα ὄρος καὶ κάλλιστον, ὡς κληρονομίαν ἀπόλεκτον.



**Ὠδὴ γ΄**

**Τοὺς σοὺς ὑμνολόγους.**

Ὁλόνυκτον Πάτερ ἱκεσίαν, ἀγρύπνῳ προσφέρων λογισμῷ, Θεῷ τῷ παντοκράτορι, πάθη σαρκὸς ἐκοίμησας, ὅθεν προστάτης ἄγρυπνος, πάντων ἡμῶν ἐχρημάτισας.

Νεκρώσας τὰ μέλη ἐγκρατείᾳ, ἐζώωσας Πάτερ τὴν ψυχήν, ταῖς θείαις ἐπιδόσεσι, τῶν ἀρετῶν νευρούμενος, παντουργικαῖς δυνάμεσι, Νεῖλε τοῦ Ἄθω τὸ καύχημα.

Γευθεὶς τῶν Θεοῦ σοφῶν ῥημάτων, καὶ γνώσεως τούτου μετασχών, ἡσύχως διετέλεσας, τὴν σὴν ζωὴν τοῖς ὄρεσι, καὶ τοῖς σπηλαίοις ὅσιε, ταῖς κακουχίαις θλιβόμενος.

**Θεοτοκίον**

Ἐλέους Κόρη ταῖς ῥανίσι, τοὺς ἄνθρακας σβέσον τῶν παθῶν, Μαρία ἀπειρόγαμε, καὶ ἐσβεσμένον ἄναψον, τὸν λύχνον τῆς καρδίας μου, χρυσῆ λυχνία ἑπτάφωτε.

Ἄλλος. **Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

Ἀπογυμνώσας σεαυτόν, γηΐνων ἀπὸ παντοίων, ἀνεκτήσω τὸν οὐράνιον ὄλβον, τὸν γὰρ τάφον σου σοφέ, τῶν μύρων σου ἐνέπλησας, καλῶν ἀπὸ παντοίων, καταπλουτῶν τοὺς ὑμνοῦντάς σε.

Νῶτα οὐ δέδωκας ἐχθρῷ, ἐν τῷ παλαίειν σε Νεῖλε, ἀλλ᾽ ὤφθης εὐθυβόλως ῥομφαία, καὶ ὀργίλον τὴν αὐτοῦ, καὶ βέβηλον κατέτρωσας, καρδίαν καὶ ἀνδρείως, τοῦτον ποσί σου κατέρραξας.

Ὃν ἐθεώρεις ἀκλινῶς, νοὸς σου τῷ τηλεσκόπῳ, νῦν λυθέντων τῶν ἐσόπτρων παμμάκαρ, καθαρῶς Νεῖλε σοφέ, τὸ κάλλος τὸ ἀμήχανον, ἐπαπολαύων τοῦτο, τοῖς ὑμνηταῖς σου πρυτάνευσον.

**Θεοτοκίον**

Νεύσει σου Μῆτερ τοῦ Θεοῦ, προνοουμένη τὸ ὄρος, τὸ τοῦ Ἄθω σὺ ἐνέπλησας τοῦτο, μοναχῶν τῶν κατ᾽ ἀρχάς, ἁμιλλομένων Δέσποινα, Ἀγγέλοις νῦν δὲ φεῖσαι, τῶν ἀμελῶν Παναγία μου.

Κάθισμα. **Ἦχος δ΄.**

**Ταχὺ προκατάλαβε.**

Ζωῆς ἐφιέμενος τῆς ἀκηράτου σοφέ, τοῦ κόσμου τὴν τερπνότητα, ὥσπερ ἐπίβουλον, παρεῖδες καὶ σκύβαλα, ὅθεν ἐν εὐφροσύνῃ, ὁσιώτατε Νεῖλε, ἦλθες ἐπὶ τὸ ὄρος, τὸ τοῦ Ἄθω προθύμως, ἐν ᾧ τῶν μεμνημένων σου, μέμνησο πάντοτε.

**Δόξα. Ἐπεφάνης σήμερον.**

Ἐν ὁσίοις ὅσιος, ὕστατος ὤφθης, φέρων ὡς ἀρχέτυπα, τὰ τῶν ἀρχαίων ἀληθῶς, τοὺς σοὺς ἀγῶνας καὶ ἔπαθλα, ἐν οἷς εὐφραίνεις τοὺς πίστει τιμῶντάς σε.

**Καὶ νῦν τῆς ἑορτῆς.**

**Ὠδὴ δ΄.**

**Τὴν ἀνεξιχνίαστον.**

Ῥώμῃ τε καὶ χάριτι παντουργικῇ, τοῦ παμβασιλέως Θεοῦ ἡμῶν, τὰς πανουργίας, τῶν ἀσάρκων δυσμενῶν, δολοσχερῶς διέφυγες, Νεῖλε θεοφόρε Πατὴρ ἡμῶν.

Ἀγαλλιασώμεθα πνευματικῶς, μνήμην ἐκτελοῦντες πανέορτον, σημειοφόρου καὶ σεπτοῦ ἡμῶν Πατρός, οὗτινος ταῖς δεήσεσι, πάντων δυσχερῶν ἐκλυτρούμεθα.

Ἴασιν ἀένναον σοῦ ἡ σορός, Νεῖλε ἀναβλύζει μακάριε, τοῖς προσιοῦσι, καὶ καθαίρει μολυσμούς, σαρκὸς ὁμοῦ καὶ πνεύματος, Πάτερ τῶν Πατέρων θεόληπτε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Θεοτοκίον

Ρῦσαι ἡμᾶς ἅγιε ταῖς σαῖς λιταῖς, πάντων τῶν σκανδάλων τοῦ ὄφεως, καὶ τῶν παγίδων, καὶ ἴατρευσον ἡμῶν, τὰ χαλεπὰ νοσήματα, ταῖς πρὸς τὸν Θεὸν ἱκεσίαις σου.

Ἄλλος. **Εἰσακήκοα Κύριε**

Μεμνημένη σου ἅγιε, ἡ πληθὺς τοῦ Ἄθω ἡ θεοσύλλεκτος, ἄγει μνήμην πανευφρόσυνον, καὶ μετρίως ἄγεται πρὸς μίμησιν.

Εἰς ὑπάρχει ὁ πόθος σου, καὶ τοῖς ἐκτελοῦσί σου τὸ μνημόσυνον, πάσης βλάβης ἀπολύτρωσαι, τοῦ δολίου μάκαρ κοσμοκράτορος.

Ἵνα τύχω ἀφέσεως, τῶν ἁμαρτιῶν μου ὁ πολυώδυνος, δός μοι οἶνον κατανύξεως, καὶ ἀγαλλιάσεως τὸ ἔλαιον.

### Θεοτοκίον

Σὺ τοῦ Ἅδου ἡ νέκρωσις, καὶ τοῦ ὄρους Δέσποινα θεία ἔγερσις, τῶν ἐν ᾅδῃ τε ἡ λύτρωσις, καὶ τῶν ἐν τῷ Ἄθῳ ἡ βοήθεια.

### Ὠδὴ ε΄.

### Ἐξέστη τὰ σύμπαντα

Παθῶν καταφρόνησας, σαρκὸς θεομακάριστε, τῇ ὑπερβαλλούσῃ ἐγκρατείᾳ, ὅθεν σοι χάρις θεία δεδώρηται, πάθη θεραπεύειν τῶν πιστῶς, Νεῖλε προσιόντων σοι, καὶ τελούντων τὴν μνήμην σου.

Ἁγίως τὸν βίον σου, παμμάκαρ διατέλεσας, ὅθεν τοῖς ἁγίοις συνετάγης, τοῖς ἀπ᾽ αἰῶνος Θεῷ δουλεύσασι, πάντων ἁγιάζων τὰς ψυχάς, πόθῳ τῶν ὑμνούντων σου, τὰ σεπτὰ κατορθώματα.

Μακάριος γέγονας, τῷ ὄντι Νεῖλε ὅσιε, σὺ γὰρ ἐν ὁδῷ δικαιοσύνης, τοῦ παντεπόπτου Θεοῦ πεπόρευσαι, ἄκακος καὶ πρᾶος γεγονώς, καὶ ταῖς ἀναβάσεσι, ταῖς καλαῖς σεμνυνόμενος.

### Θεοτοκίον

Μακρὰν τὸ ἀνθρώπινον, Θεοῦ Παρθένε γέγονε· σοῦ δὲ συλλαβούσης τὸν Σωτῆρα, ἀνερμηνεύτως θεοχαρίτωτε, πάλιν εἰς παράδεισον μολεῖ, πίστει μακαρίζων σε, Θεοτόκε πανύμνητε.

Ἄλλος. **Ἵνα τί με ἀπώσω**

Οὗ τοῦ κάλλους ἐτρώθης, ᾀσματίζων ἔκραζες, Νεῖλε πανεύφημε, ποῦ ποιμαίνεις Λόγε, ὡς ἀρνία ὁσίων τὰ πνεύματα, οἷς συμποίμανόν με, καὶ ἀρωμάτων τῶν ἐκείνων, τὴν ψυχήν μου Νυμφίε μου πλήρωσον.

Ἵνα τί βοᾷς πρός με; ἔφη ὁ Νυμφίος σου Νεῖλε πανόσιε, ἡ ἀπὸ λιβάνου, σοῦ σπηλαίου καλὴ ἡ πλησίον μου, ἡ περιστερά μου, πτέρυγας εὐχῆς κεχρυσωμένας, συλλαβοῦσα πλησίον πετάσθητι.

Μελῳδοῦμέν σοι Πάτερ, ταπεινοῖς ἐν ᾄσμασι Νεῖλε τὰ τέκνα σου, καὶ ἐκλιπαροῦμεν, ἱκετεύοντες σοῦ κατενώπιον, μὴ ἀποστερήσῃς, τῆς πατρικῆς σου προστασίας, τοὺς ἐσχάτως ἡμᾶς κινδυνεύοντας.

### Θεοτοκίον

Ἐχοντές σε οἱ πόθῳ κλῆρόν σου τὸν ἅγιον οἰκοῦντες Δέσποινα, μετὰ τοῦ ὁσίου, ἀγρυπνόν τε προστάτην καὶ πρύτανιν, φάλαγγας δαιμόνων, ἀνδρειοφρόνως ἀπωθοῦμεν, εὐχαρίστως διό σε δοξάζομεν.

### Ὠδὴ ς΄.

### Τὴν θείαν ταύτην

Ἁγνῶς βιώσας αἱρούμενος, ἐγκράτειαν ὡς ἄσαρκος ἤσκησας, στάσιν παννύχιον, εὐχὴν σοφὲ ἀδιάκοπον, πίστιν ἀληθεστάτην, θείαν ταπείνωσιν.

Καλῶν ἰδέαις κοσμούμενος, ὡς ἄγγελος Θεῷ ἐλειτούργησας, Νεῖλε μακάριε, καὶ μεταστὰς κατεσκήνωσας, μετὰ ἀγγέλων Πάτερ θεομακάριστε.

Ἀγγέλους ἔχων συλλήπτορας, δαιμόνων ἀπεκρούσω φαντάσματα, καὶ ἀπροσκόπτως, τὴν θείαν διώδευσας, Νεῖλε θεόφρον, τρίβον ψυχοσωτήριον.

### Θεοτοκίον

Ῥημάτων Κόρη πανάμωμε, τοῦ θείου Γαβριὴλ ὡς ἀκήκοας, Λόγον συνέλαβες, ἐν τῇ ἀσπόρῳ νηδύϊ σου, καὶ ὑπὲρ Λόγον τοῦτον, Παρθένε τέτοκας.

Ἄλλος. **Ἱλάσθητί μοι Σωτήρ.**

Λειμῶσι τῶν ἀρετῶν, μεμελημένος ἐνέκυψας, σοῖς δάκρυσι δὲ αὐτούς, κατήρδευσας ὅθεν σοι· ἐδόθη τὰ δράγματα, τῆς ἀθανασίας, πρὸς Χριστοῦ Νεῖλε μακάριε.

Ψαλμοῖς καὶ ὕμνοις πιστοί, τοῦ ποταμοῦ τὰ ὁρμήματα, τοῦ Νείλου τοῦ νοητοῦ, τὰ λίαν εὐφραίνοντα, καρδίας ὡς γέγραπται, ἐν ᾠδαῖς αἰνοῦντες, τὴν χαρὰν ἀπαρυσόμεθα.

Ἀνέστης πρὸς οὐρανόν, πυρίνῳ ὥσπερ ἐν ἅρματι, ἰδέαις τῶν ἀρετῶν, Χριστῷ παριστάμενος, ἔνθεν αὐγαζόμενος, τὰς ἐκεῖθεν λάμψεις, καταπέμπεις τοῖς ὑμνοῦσί σε.

### Θεοτοκίον

Ἱλάσθητι καὶ ἡμῖν, τοῖς καταργοῦσι τὸν κλῆρόν σου, καὶ ἀλλοτρίαν ὁδόν, ἁγνὴ τῶν ὁσίων σου, ἀφρόνως ὁδεύουσι, καὶ πρὸς τὴν ἀρχαίαν, βηματίζειν καθοδήγησον.

### Καταβασίαι τῆς ἑορτῆς.



Κοντάκιον, Ἦχος γ΄.

**Ἡ Παρθένος σήμερον.**

Ἡ ἐκ γῆς φανέρωσις, τῶν ἱερῶν σου λειψάνων Νεῖλε συνεξέλαμψε, τῇ τοῦ σταυροῦ ἀναλάμψει, τοῦτον γὰρ ἀεὶ ποθήσας, θερμῶς ἐκ βρέφους, ἔλαβον τὰ σὰ ὀστέα τὴν τούτου χάριν, ὡς Χριστῷ συσταυρωθέντα, τῷ ἀναστάντι, ὡς προαιώνιον Θεῷ.

### Ὁ οἶκος

Ὁ σοφὸς δημιουργήσας τὰ σύμπαντα, καὶ τὴν διὰ παραβάσεως, φθαρεῖσαν φύσιν ἡμῶν, εἰς τὸ ἀρχαῖον κάλλος ἀναμορφώσας διὰ τῆς ἀναστάσεως τῆς ζωηφόρου σαρκὸς αὐτοῦ· ἐν τῷ καιρῷ τούτῳ τοῦ ἔαρος, τῷ καὶ φυσικῶς εἰκονίζοντι τὸν ἀνακαινισμὸν ἡμῶν, καὶ τὴν ἐσομένην ἀνάπλασιν καὶ ἀνάστασιν, ἐν τούτῳ εὐδόκησε φανῆναι ἐν οὐρανοῖς ἐξαστράπτοντα τὸν σταυρὸν αὐτοῦ. Οὗτος πάντως ᾠκονόμησε σήμερον, καὶ τὰ πολλοῖς ἔτεσιν ἐν γῇ κρυπτόμενα λείψανα, τοῦ θεράποντος αὐτοῦ Νείλου ἀναφανῆναι, ἰαμάτων ἀκτῖνας ἐκλάμποντα καὶ θαυμάτων βολὰς ἐξαστράπτοντα καὶ ὡς ἄνθη καὶ ῥόδα τερπνά, ἀτμοὺς εὐρίνοὺς καὶ πανευώδεις, τοῖς πιστοῖς ἐμπνέοντα καὶ σαφῶς προμηνύοντα, ὡς καὶ ἡ ζωηφόρος ἀνάστασις τῆς σαρκὸς τοῦ Κυρίου καὶ ὁ ἐν οὐρανοῖς φανεὶς λαμπρὸς αὐτοῦ σταυρὸς προκαταγγέλλουσι καὶ ὁ φυσικὸς τῆς γῆς ἀνακαινισμὸς ἀφώνως διδάσκει· ὅτι οἱ συσταυρωθέντες καὶ συνταφέντες καὶ μυστικῶς τῷ Χριστῷ συναναστάντες διὰ τοῦ βαπτίσματος, καὶ τὰς τούτων τηροῦντες μορφώσεις ἐν τῇ θνητῇ σαρκὶ αὐτῶν, ὡς ὁ θεοφόρος Νεῖλος διετήρησεν· ἀνακαινισθήσονται καὶ ἐξανθήσουσι καὶ ἐν οὐρανοῖς ἐξαστράψουσιν ὡς φωστῆρες, οἱ πιστῶς δουλεύσαντες Χριστῷ τῷ δημιουργῷ τοῦ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

παντός, ὡς προαιώνων Θεῷ.

Τῷ αὐτῷ μηνὶ ἑβδόμῃ, μνήμη καὶ ἡ ἐν αὐτῇ συμβᾶσα εὕρεσις τῶν λειψάνων τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Νείλου τοῦ μυροβλύτου, τῷ ͵αωια΄ ἔτει.

**Στίχοι**

Νεῖλος ἄρδει νάμασι γῆν Αἰγυ-[πτίων.
Ὁ δὲ μοναστὰς τοῦ Ἄθωνος ἀρ-[δεύει.
Λάμψεν ἐν ἤματ' ἑβδομάτῳ Νειλώϊ-[ος αἴγλη.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄.**

**Οὐκ ἐλάτρευσαν**

Παραπλήσια τὰ μύρα Νεῖλε πάνσοφε, ἐκ τοῦ σοῦ σώματος, ταῖς τῶν ναμάτων ῥοαῖς, ἐξέβλυσαν ῥέοντα καὶ καταρδεύοντα, τοὺς κραυγάζοντας, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἀγαπήσας σε δικαίως ὃν ἠγάπησας, Θεὸς ὁ δίκαιος, διὸ καλῶν ἀμοιβαῖς, ἐνθέως ἠμείψατο Νεῖλε μακάριε, ὡς βοήσαντα, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τῶν δακρύων σου τὰ ῥεύματα δεξάμενος, ὁ παντεπόπτης Θεός, ῥοαῖς σαφῶς ὁ αὐτός, ὁμοίως ἀμείβεται χάριν δωρούμενος, μύρων βλύσεσι, καὶ ἰαμάτων χάρισι, θεραπεύειν τοὺς νοσοῦντας.

**Θεοτοκίον**

Ἐλεήμονα τεκοῦσα μόνη Κύριον, θεοχαρίτωτε, τῇ οὖν αὐτοῦ πανσθενεῖ, δυνάμει με οἴκτειρον, ἁγνὴ θεόνυμφε, τὸν βοῶντά σοι, εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ἄλλος. **Παῖδες ἑβραίων**

Νέος ἐδείχθης Πάτερ Νεῖλος, ἀρετῶν αὐγαῖς φωτίζων μονοτρόποις, ὥσπερ οὗτός ποτε ἐν τῷ Σινᾷ κραυγάζων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Εἷς τῶν φανέντων ἐν τῷ Ἄθῳ, πύργος μέγιστος ἐφάνης φωτοφόρος, τῶν ἐχθρῶν τὰς βουλάς, ἀπείργων ἐν τῷ μέλπειν, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἴασιν δὸς ταῖς σαῖς πρεσβείαις, τοῖς τελοῦσί σου τὴν μνήμην τὴν φωσφόρον, ἐν τῷ τάφῳ τῷ σῷ, ἀγρύπνοις ὑμνῳδίαις, καὶ μελῳδοῦσιν ἄπαυστα, ὁ Θεὸς εὐλογητὸς εἶ.

Λύσιν παράσχου μοι Παρθένε, δουλωθέντα με τοῦ βίου ταῖς ἀπάταις, καὶ πρὸς θείαν ζωήν, ὁδήγησον ὑμνεῖν σε, εὐλογημένος Πάναγνε ὁ καρπὸς τῆς σῆς κοιλίας.

**Ὠδὴ η΄.**

**Παῖδας εὐαγεῖς.**

Ῥώμῃ θεϊκῇ τὰς παρατάξεις, δαιμόνων τὰς ὀλεθρίους ἐξηφάνισας, χάριν τε ἀπείληφας, παύειν ἀρρωστήματα, καὶ ἐκδιώκειν πνεύματα, βοῶν ἀκάθαρτα, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Βιώσας παμμάκαρ θεαρέστως, δικαίοις διὸ τὸν ὀφειλόμενον, ὕπνον νῦν κεκοίμησαι, καὶ πρὸς ἀτελεύτητον, μετεβιβάσθης ὅσιε, βοῶν ἀπόλαυσιν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἱστάμενος ἄνω ἐν σπηλαίῳ, ὡς ἐπὶ λυχνίας λύχνος ὅσιε· πάντων τὰ νοήματα, πίστει κατεφώτιζες, ὑποδεικνύων ἄριστα, Νεῖλε μακάριε, τὴν



τρίβον τῆς ζωῆς καὶ ἀνάγων, τούτους θείῳ λόγῳ, πρὸς ὕψος ἀπαθείας.

Ὅρμῳ γαληνῷ νῦν προσωρμίσθης, τοῦ βίου πάντα τὰ τερπνὰ μισήσας ὅσιε, εἶχες γὰρ ἰθύνοντα, πάσας τὰς πορείας σου, τὸν κυβερνήτην Κύριον, Νεῖλε θεόσοφε, τὸν νεύματι τὸ πᾶν διοικοῦντα, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον**

Νόων οὐρανίων ὑπερτέρα, ἐδείχθης Θεὸν ἁγνὴ κυοφορήσασα, τοῦτον οὖν ἱκέτευε, Δέσποινα πανάμωμε, τῶν σαρκικῶν ἀνώτερον, παθῶν γενέσθαι με· νοὸς ἐν ὑψηλῇ ταπεινώσει, τοῦτον ἀνυμνοῦντα, σὺν σοὶ εἰς τοὺς αἰῶνας.

Ἄλλος. **Ἑπταπλασίως κάμινον.**

Ἐν τῷ σπηλαίῳ ἄσπιλον, τῆς ψυχῆς περιβόλαιον, τὸ καρτερικὸν καὶ ἀπαθὲς σαρκίον σου, ἐφάνη τηρούμενον, κατὰ παθῶν πανόλβιε, καὶ σωματικῶν καὶ ψυχικῶν νοσημάτων, τὴν ῥῶσιν ἐξαστράπτων, τοῖς πιστῶς μελῳδοῦσι, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῶν ἰαμάτων χάριτας, σὴ σορὸς ἀναβλύζουσα, πᾶσαν νοσημάτων καὶ παθῶν ἐπήρειαν, παντοίαν τε κάκωσιν, καὶ μαλακίαν ἅπασαν, πάντων θεραπεύει, τῶν πιστῶς μελῳδούντων· οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀπαλλαγῆναι πρέσβευε, τὸν Σωτῆρα καὶ Κύριον, τοὺς προσπεφευγότας τῷ ναῷ σου ὅσιε· καὶ τάφον τοῖς κυκλοῦσί σου, καὶ τὴν μνήμην τελοῦσι, παντοίων πόνων καὶ θλίψεων, δαιμόνων κακουργίας, καὶ πάσης ἐπηρείας, Χριστὸν ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον**

Μῆτερ Θεὸν καὶ Κύριον, ὑπὲρ λόγον κυήσασα, τοῦτον ὡς Υἱόν σου Παναγία αἴτησαι, ἐν ὥρᾳ τῆς κρίσεως, τῆς καταδίκης καὶ τοῦ πυρός, σκότους ἀφεγγοῦς, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, λυτρώσασθαι τοὺς πίστει, εὐσεβῶς μελῳδοῦντας, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Ὠδὴ θ΄.**

**Ἅπας γηγενής**

Ὄντως οὐρανός, ὕψει πολιτείας σου ὤφθης κατάστερος, θαύμασι πανόλβιε, ὡς ἄλλοις ἄστροις καλλωπιζόμενος, τῶν μοναζόντων ὅσιε καταλαμπρύνων ψυχάς, τῶν τιμώντων, Νεῖλε τοὺς ἀγῶνάς σου, καὶ τελούντων τὴν θείαν σου κοίμησιν.

Ἤδη τῷ Χριστῷ, ἐγγίζων τρανώτερον καὶ καθαρώτερον, μέμνησο τῶν πίστει σου, μνημονευόντων Νεῖλε μακάριε, ἁμαρτιῶν συγχώρησιν ἡμῖν αἰτούμενος, νοσημάτων, πάντων ἀπολύτρωσιν, καὶ Θεοῦ βασιλείας οἰκείωσιν.

Σοῦ τὰ ἱερά, καὶ ἅγια λείψανα, ἐν θήκαις κείμενα, θάπτει τὰ νοσήματα, καὶ φλέγει στίφη δαιμόνων πάντοτε, Νεῖλε θεομακάριστε τῇ θείᾳ χάριτι, ἀναβλύζει, πᾶσι τὰ ἰάματα, τοῖς πιστῶς σε ἀεὶ μακαρίζουσι.

**Θεοτοκίον**

Ἄφες μοι βοῶ, Θεὸν ἡ κυήσασα, ἁμαρτιῶν τὴν πληθύν, νέκρωσον τὸ φρόνημα, τὸ τῆς σαρκός μου σὺ μου τὸ καύχημα, ἰσχύς τε καὶ κραταίωμα οἴκτειρον σῶσόν με, σωτηρία, πάντων σὺ ὑπάρχεις γάρ, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ἄλλος. **Ἐξέστη ἐπὶ τοῦτο**

Ἐνθέου ἀπολαύων Πάτερ ζωῆς, ὑπὲρ ἧς ἠγωνίσω πρὸς δύναμιν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐπὶ τῆς γῆς, βίῳ διαπρέψας ἀγγελικῷ, καὶ μεταβὰς μακάριε, Νεῖλε πρὸς ἀΰλους διαμονάς, σωθῆναι θεοφόρε, δυσώπει τοὺς ἐν πίστει, ἐν τῷ ναῷ σου προσεδρεύοντας.

Λειμῶσι τῶν ἀγγέλων ἐν οὐρανῷ, τῷ τῶν ὅλων Θεῷ παριστάμενος, ἐπὶ τῆς γῆς, βρύει σου ὁ τάφος τὰς δωρεάς, ἐν ᾧ σεπτῶς κατέπαυσας, σῶμά σου τὸ ἅγιον καὶ σεπτόν, τοῖς πόθῳ προσιοῦσι, καὶ φόβῳ ἁπτομένοις, Νεῖλε παμμάκαρ τῶν λειψάνων σου·

Ἡμεῖς ἐν σοὶ καυχώμεθα εὐκλεῶς, οἱ ἐν ὄρει τοῦ Ἄθῳ μονάζοντες, ὅτι ἡμῖν ἔδειξε σε Κύριος ἀληθῶς, προστάτην καὶ ὑπέρμαχον, Νεῖλε θεοφόρε Πατὴρ ἡμῶν· διὸ σε ὡς προστάτην, ἡμῶν καὶ εὐεργέτην, καὶ προμηθέα μεγαλύνομεν.

**Θεοτοκίον**

Ὠδάς σοι εὐχαρίστως, πάντες ἡμεῖς, οἱ τὸ ὄρος οἰκοῦντες προσφέρομεν, Μῆτερ Θεοῦ, ὅτι διασώζεις ἡμᾶς ἀεί, ἐκ πάσης περιστάσεως, τρέφεις τε καὶ θάλπεις καὶ προνοεῖς· ἀλλ' οὖν δεόμεθά σου, καὶ θείας βασιλείας, μετὰ τὸ τέλος καταξίωσον.

Ἐξαποστειλάριον.

**Τοῖς μαθηταῖς συνέλθωμεν**

Ἐκ βρεφικῆς σε ἔλαβεν, ἡλικίας ὁ πλάστης, καὶ Πνεύματος εἰργάσατο, σκήνωμα τοῦ ἁγίου, ὅθεν φωστὴρ ἀνεδείχθης, Νεῖλε τῶν μοναζόντων, ἐκ σκότους παραπτώσεων, ὁδηγῶν πρὸς τὸ φέγγος τῶν τοῦ Θεοῦ· ἐνταλμάτων ὅσιε καὶ προσάγων, Χριστῷ ὃν καθικέτευε, τοὺς ὑμνοῦντάς σε σῶσαι.

**Καὶ τῆς ἑορτῆς**

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Τῆς ἑορτῆς δ'. καὶ δ.' τοῦ Ἁγίου

Ἦχος δ'.

**Ὁ ἐξ ὑψίστου κληθεὶς**

Ὡς θεϊκή τις σαφῶς οἰκονομία· ἡ κλῆσις σου γέγονε Νεῖλε μακάριε· ὡς γὰρ ἐκεῖνος τοῖς νάμασι, τοῦ ἔτους ὅλου, τὴν εὐκαρπίαν διατεκμαίρεται· οὕτω τοῖς ἰάμασι, σὺ ἀναδέδειξαι, φῶς γάρ σε κόσμῳ καὶ ἴασιν, ὡς εὐκαρπίαν, ἡ θεία χάρις ἐναπεφήνατο, λελαμπρυσμένον ταῖς ἀκτῖσι, τοῦ τρισηλίου φωτὸς πανσεβάσμιε, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν Δίς

Ὡς ἐν θαλάμῳ φωτὸς πεπληρωμένῳ, σπηλαίῳ παρέμεινας, ὦ ἱερότατε, κύκλω δὲ τούτου παρέστησας, ὥσπερ ἐνόπλους, ὑπασπιστὰς τὰς πράξεις σου ὅσιε, ἐναποτειχίζοντας παρεμβολὰς τῶν παθῶν, ἐν τῷ νυμφῶνι δὲ ἤλασας, τῷ θείῳ μάκαρ, ᾧ παρρησίᾳ νῦν παριστάμενος, τῷ σῷ νυμφίῳ καὶ Θεῷ ἡμῶν, τῆς αὐτοῦ ἐντρυφῶν ὡραιότητος, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὡς ἐξ ἀλήκτων πηγῶν ἐκ τῶν λειψάνων, ναοῦ καὶ τοῦ μνήματος ἀεὶ τὴν χάριν ἀντλῶν, Νεῖλος ὁ θεῖος προτίθησιν, εἰς εὐωχίαν, τῆς τούτου μνήμης ἐν ᾗ ἠθροίσθημεν, τοὺς πάντας ἐν πνεύματι χαρίτων θείων πληρῶν, δεῦτε λοιπὸν καὶ συνδράμωμεν, καὶ εὐλογίας, ἐκ τῶν τιμίων αὐτοῦ μετάσχομεν· θείων λειψάνων καὶ δοξάσωμεν, τὸν ἐν ἁγίοις Χριστὸν τὸν Θεὸν ἡμῶν, δοξαζόμενον ὄντως, καὶ αὐτοῖς ἀναπαυόμενον.

**Δόξα, Ἦχος πλ. α.'**

Σήμερον συνεξέλαμψεν ἡμῖν, τετρασήμαντος χαρμοσύνως ἐαρινῆς χάριτος, ὡς ἐκ τεσσάρων συγκροτουμένης χαρίτων· τῆς γὰρ πρώτης ἡμῶν χρονικῆς γεννήσεως, καὶ τῆς μελλού-



σης ἀνακαινίσεως, εἰκὼν ἀληθῶς ἐστι τὸ ἔαρ· ἀπαρχὴ δὲ καὶ πρωτότυπον τῆς μελλούσης, ἡ ζωηφόρος τοῦ Σωτῆρος ἀνάστασις, καὶ πᾶσαι αἱ ὑπέρλαμπροι ἡμέραι αὗται τῆς δ' αὖ ἐσομένης δόξης τε καὶ λαμπρότητος, ἡ ἐν οὐρανῷ τοῦ σταυροῦ λαμπρὰ σημαία· μεθ' ὧν τὰ αὐτὰ συνεξεικονίζει σήμερον ἡ ἐκ γῆς φανέρωσις τῶν εὐόσμων καὶ λαμπρῶν, τοῦ θείου Νείλου λειψάνων. Ταῦτα ἡμῖν Θεὸς τὰ καλὰ συνεκλάμπει, ἐν τῇ ἑβδόμῃ ταύτῃ, τοῦ λαμπροτάτου τῶν μηνῶν ἡμέρᾳ· τὴν ἄδυτον καὶ ἀνέσπερον Μωσαϊκὴν ἑβδόμην κηρύττοντα. Δεῦτε οὖν ἀδελφοί, τῆς ἀλήκτου χαρᾶς ἐκείνης τὰ προοίμια, πνευματικῶς εὐφρανθῶμεν καὶ ὑπογραμμὸν ἔχοντες, τὸν εἰς εὐφημίαν προκείμενον ἡμῶν Πατέρα· τοῦτον μιμησάμενοι, εἰς οὐρανὸν ἀνατείνομεν τὸ ὄμμα· ἵνα σὺν αὐτῷ καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν.

**Καὶ νῦν τῆς ἑορτῆς**

Δοξολογία μεγάλη. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς ἀπὸ τὴν κανδήλαν τοῦ ἁγίου Μυροβλύτου. Ἐκτενής· ἡ α'. ὥρα καὶ ἀπόλυσις.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τυπικὰ καὶ ἐκ τῶν Κανόνων τοῦ ἁγίου ᾠδὴ γ.' καὶ ς'.

Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τοῦ ἁγίου Ἀντωνίου τοῦ μεγάλου.

**Μεγαλυνάριον τοῦ ἁγίου.**

Νεῖλον τὸν πηγάσαντα ἀληθῶς, νάματα δακρύων, καὶ κεράσαντα γλυκασμόν, τὴν σεπτὴν Τριάδα, ἐξ ἧς ἀντεκεράσθη τὰ νάματα τῶν μύρων ὕμνοις τιμήσωμεν.

## ΥΠΟΜΝΗΜΑ

Εἰς τὸν ὅσιον καὶ θεοφόρον πατέρα ἡμῶν Νεῖλον τὸν μυροβλύτην τὸν ἐν τῷ ὄρει τοῦ Ἄθω ἀσκήσαντα.

**Εὐλόγησον Πάτερ**

Νεῖλος ὁ μακάριος ὁ νῦν εἰς μνήμην προκείμενος, ὁ ὁμώνυμος καὶ φερώνυμος τῷ πάλαι Νείλῳ τῷ ἀπὸ ἐπάρχων Κωνσταντινουπόλεως, ἀσκήσαντι ἐν Σιναίῳ, οὐκ ἔστιν ἐν τοῖς πάλαι χρόνοις, ἀλλ' ἐν τοῖς ἐσχάτοις καὶ ἡμετέροις ἀνέτειλε, περὶ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἀκμάζων, ὃς ἐν ἀσκήσει, τολμῶ εἰπεῖν, τοὺς πάλαι ἀσκητὰς ὑπερέβη, ὡς ὑπὲρ φύσιν ἀγωνισάμενος. Οὐ γὰρ ἐν χρόνοις περιορίζονται αἱ ἀρεταί, καὶ ἡ πρὸς Θεὸν εὐσέβεια καὶ ἀγάπη, ἀλλ' ἐν τῇ ἡμετέρᾳ κεῖνται προαιρέσει, καθὼς καὶ ὁ ὅσιος οὗτος, καὶ ἕτερος πρὸ τούτου, καὶ μετὰ τοῦτον ἔδειξαν γενναίους ἀγῶνας, καὶ μεγάλα ἀρετῶν κατορθώματα. Οὗτος ἐβλάστησεν ἐν τῇ Τζακωνίᾳ τῆς Πελοποννήσου, εἰς τὸν Ἅγιον Πέτρον, ἥτις ἐστὶν ἀποικία τῶν Ἀθωνιτῶν, βαρβαρωθείσης τῆς φωνῆς Ἀθωνῖται—Τζακωνῖται, κἀντεῦθεν Ἀθωνίτης καὶ κατὰ τὸ σαρκικὸν γένος ὁ Ἅγιος, ὡς ἐκ τῆς ἐν Ἄθῳ γενεᾶς καταγόμενος. Οἱ δὲ Τζακωνῖται πάντες εὐσεβεῖς καὶ ὀρθόδοξοι· ἐκ τοιούτων ἄρα γεννητόρων ἐγεννήθη εὐσεβῶν καὶ ὀρθοδόξων. Τοῦτον ἐκ νεότητος ἔλαβε καὶ καλῶς ἀνέθρεψε, καὶ τὰ ἱερὰ ἐξεπαίδευσε γράμματα καὶ τὰς ἀρετάς, καὶ ἱεροδιάκονον καὶ πρεσβύτερον ἐποίησεν ὁ θεῖος αὐτοῦ ἱερομόναχος Μακάριος, ὡς ἐν τῇ τούτου δείκνυται διαθήκῃ· θειοτέραν δὲ ζωὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ἁγιωτέραν ἐπιποθοῦντες εὑρεῖν, καταλιμπάνουσι τὴν πατρίδα καὶ πρὸς τὴν εἰκόνα τῆς οὐρανίου πατρίδος τὸ ὄρος Ἄθω παραγίνονται ἀμφότεροι, ὅ,τε θεῖος ἱερὸς Μακάριος καὶ ὁ ἀνεψιὸς Νεῖλος ὁ τρισόλβιος. Πάντα δὲ περιελθόντες τὰ ἐν τῷ ὄρει ἱερὰ καταγώγια, μοναστήρια καὶ Σκήτας, τόπον ζητοῦντες ἐρημικόν, καὶ πρὸς ἀσκητικοὺς ἀγῶνας ἁρμόδιον, ἐπὶ τὸν ἱερὸν ἔρχονται τοῦτον τόπον, ἁγία Πέτρα τότε καλούμενον· ὡς πάλαι μὲν παρὰ πολλῶν ἁγίων οἰκούμενον τότε δὲ πανέρημον ὄντα καὶ ἀκατοίκητον διὰ τὸ τραχὺ τοῦ τόπου καὶ ἄνυδρον· οὐδὲ γὰρ ἦν τὸ ἤδη ἐρχόμενον ὕδωρ τότε, ὅπερ καὶ νῦν πολλάκις ἐκλείπει, δι' αὐτοσχεδίου ἐρχόμενον αὔλακος σχεδὸν ὥρας ὁλοκλήρου διάστημα· οὕτω τὸν τόπον ἰδόντες ἁρμόδιον καὶ ἐρημικὸν καὶ δύσβατον, διότι οὐκ ἦν τότε ἡ ὁδός, ἡ ἔπειτα ἐκ τῆς συστηθείσης τῷ 1745 Σκήτης Καυσοκαλυβίων γενομένη, οὐδ' ἦσαν πλησίον κελλία, πλὴν τοῦ ἁγίου Πέτρου καὶ ἁγίου Συμεών, καὶ ταῦτα κατὰ τῆς τότε ὁδοῦ τὸ μῆκος ἦσαν μακρὰν ἀπέχοντα. Ἐχάρησαν ὡς οἱ εὑρίσκοντες θησαυρὸν καὶ ἀπελθόντες εἰς τὴν ἁγίαν Λαύραν ἠγόρασαν τὸν τόπον διὰ δύο χρυσᾶ νομίσματα. Ὅσους δὲ κόπους κατέβαλον, τὰς ὕλας ἐκείνας τὰς ἀγρίας καὶ ἀκανθώδεις ἀνακαθάραντες, ὁ ἱερὸς Μακάριος ἐν τῇ διαθήκῃ παρίστησιν. Ἱερωμένοι δὲ ὄντες καὶ λειτουργοὶ τοῦ Θεοῦ, ἐπειδὴ ὁ τόπος ἐκαλεῖτο ἁγία Πέτρα τῆς Παναγίας, ἐπ' ὀνόματι τῆς σωτηρίου Ὑπαπαντῆς, τὸν εἰσέτι σωζόμενον ναΐσκον ἀνήγειραν, καὶ τὴν ζωγραφικὴν τέχνην ἐπιστάμενοι ἐζωγράφισαν καὶ ἱεροῖς σκεύεσι, καὶ ἀμφίοις, καὶ βιβλίοις ἐπλούτισαν, ὡς ἐν τῇ Διαθήκῃ τοῦ μακαρίου ὁρᾶται, ἐν ᾗ ὁ Μακάριος, διάδοχον τὸν Νεῖλον καταλιμπάνει ὡς τότε νεώτερον. Ὁ μακάριος Νεῖλος ἔρωτι θείῳ φλεγόμενος, καὶ μόνος μόνῳ Θεῷ προσανέχειν αἱρούμενος, οὐδὲ ἡ ἐρημία αὕτη ἡ τόσον σκληρὰ ἐξήρκει αὐτῷ πρὸς τοῦ πόθου τὸ φίλτρον. Ὅθεν ἐζήτει τόπον ἐρημικώτερον. Ὁρᾶτε δὲ οἵα ἡ κατὰ Θεὸν ἀγάπη καὶ ὁ ἔνθεος ἀληθὴς ἔρως ποιοῦσιν ἐν τοῖς ἀληθῶς αὐτὸν ἀγαπῶσι. Σπήλαιόν ἐστι πλησίον τοῦ ἱεροῦ τούτου τόπου ἐξ ἑκατέρων μερῶν καὶ πλαγίων, καὶ ἄνω καὶ κάτω κατάκρημνον, καὶ κάτω τις ὁρῶν, χάος ὁρᾷ φρίκης καὶ τρόμου μεστόν· καὶ οὐ μόνον προσεγγίσαι, ἀλλὰ καὶ ἁπλῶς κατανοῆσαι δειλιᾷ ἄνθρωπος, καὶ ὑπότρομος γίνεται. Τοῦτο ἰδὼν ὁ θεῖος Νεῖλος τοῦ πόθου αὐτοῦ ἁρμόδιον οἰκητήριον, τίσι μηχαναῖς κατὰ πρῶτον ἐχρήσατο καὶ κατῆλθεν, αὐτὸς οἶδε καὶ Θεὸς ὁ τοῦτον ἐν ἐκείνῳ ὁδηγήσας· πάντως οὐκ ἄνευ κινδύνων κατῆλθεν, ἀλλ' ὁ ἔρως ὁ ἀληθὴς τῆς πρὸς Θεὸν αὐτοῦ ἀγάπης, πάντα κίνδυνον ἐνίκα· τὶ δὲ ἄλλο τὸ ἐκεῖσε κατελθεῖν ἐκίνει, ὄντος καὶ τοῦ ἀνωτέρου τόπου ἐρημικωτάτου, ὡς εἴπομεν; ἢ ὅτι ἐκεῖσε ἐνίοτέ τινες ἤρχοντο χάριν εὐλαβείας, καὶ μὴ βουλόμενος γινώσκειν, οὔτε τὸν θεῖον αὐτοῦ τὰς πρὸς Θεὸν αὐτοῦ οἰμωγὰς καὶ τὰ δάκρυα. Κρύπτουσι γὰρ οἱ κατὰ Θεὸν βιοῦντες, τοὺς θρήνους αὐτῶν καὶ τὰς ἀρετάς, φοβούμενοι τὸ δοξάριον τῆς κενοδοξίας, καὶ ὁ θεῖος ἔρως ἄπαυστος ἐγγίνεται αὐτοῖς, οὖσιν ἐκτὸς πάσης βιωτικῆς εἰκαίας τύρβης. Ὄντος λοιπὸν τοῦ μακαρίου Νείλου τῷ Θεῷ ἀνακειμένου, ὁ τόπος οὗτος ὡς ἀπροσπέλαστος, ἐδόκει αὐτῷ ἐπιτήδειος. Οὔτε γὰρ αἱ πρὸς Θεὸν αὐτοῦ ἱκεσίαι καὶ τὰ δάκρυα ἐκόπτοντο, οὔτε αἱ θεωρίαι καὶ ἀναβάσεις τῆς ψυχῆς συνεστέλλοντο, μεμονωμένου ὄντος, καὶ μηδεμίαν αἰτίαν ἔχοντος κωλυθῆναι παρά τινος πώποτε· οὐδὲ



γὰρ ἠδύνατό τις ἐκεῖσε ἐλθεῖν καὶ διασεῖσαι αὐτὸν ἐπὶ τῇ ἀδιαλείπτῳ εὐχῇ καὶ οὐρανίῳ μελέτῃ σχολάζοντα. Τοσοῦτον ὁ τόπος οὗτος τοῦ σπηλαίου ἔδοξε τοῖς πᾶσι στυγερός, ὥστε οὐδεὶς μετὰ τὸν ὅσιον ἐκεῖσε κατῴκησε. Καὶ νῦν μετὰ τὴν τῶν ἱερῶν λειψάνων ἐκείνου φανέρωσιν τὴν περὶ τὸ χιλιοστὸν ὀκτακοσιοστὸν δέκατον πέμπτον ἔτος γενομένην, ἐν μηνὶ Μαΐῳ ἑβδόμῃ, ναοῦ περικαλλεστάτου οἰκοδομηθέντος, καὶ τῆς ὁδοῦ λαξευθείσης καὶ ὁμαλῆς κατασκευασθείσης καὶ ἀνυπόπτου πρὸς τὴν ἐν τῷ σπηλαίῳ κατάβασιν καὶ ἀνάβασιν, οὐδεὶς ἀφόβως προσέρχεται καὶ οἱ πλείους μακρὰν ὁρῶντες καὶ δειλιῶντες οὔτε προσεγγίζουσι, καίτοι ποθοῦντες καὶ εὐλαβούμενοι τὸ ἄντρον ἰδεῖν, καὶ τὸν περικαλλέστατον ναὸν ἐκεῖνον καὶ τὸν τάφον προσκυνῆσαι καὶ κατασπάσασθαι, ὑπὸ μόνης τῆς φρικαλέας ταύτης ὁράσεως, πάντα ταῦτα τὰ ποθούμενα ἱερὰ ἀποφεύγουσιν. Ὅθεν οὐδεὶς πλὴν τοῦ θείου Νείλου μόνον ἐν τούτῳ τῷ ἄντρῳ κατῴκησεν ἄχρι τῆς σήμερον. Ὁπόσης ἄρα ἀρετῆς ἦν ὁ ὅσιος οὗτος, ποταπὸς δὲ θεῖος ἔρως, τὴν ἐκείνου ψυχὴν καὶ καρδίαν ἐκράτει καταφλέγων, καὶ πρὸς μόνωσιν ἕλκων, ἀνθρωπίνης παραμυθίας παντελῶς ἀλλότριον; Ὢ οἵους εἶδεν ἀγῶνας τοῦτο τὸ σπήλαιον, τοῦ γενναιοτάτου ἐκείνου ἀγωνιστοῦ! ποταπὰ ποταμηδὸν ῥέοντα ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ δάκρυα! Πόσα κατὰ τούτου τῶν δαιμόνων φαντάσματα ἵνα αὐτὸν ἐξώσωσι τοῦ σπηλαίου! οἷαι δὲ μετὰ τὴν κατὰ τῶν δαιμόνων νίκην, οὐράνιαι ὀπτασίαι, καὶ ἀγγέλων χοροστασίαι ἐν τούτῳ ἐφάνησαν τὸν ἰσάγγελον παραμυθῆσαι πρὸς τὸν ὑπὲρ ἄνθρωπον τοῦτον ἀγῶνα! μόνος ὁ τόπος γίνεται τοῖς νουνεχέσι διδάσκαλος ἄφωνος. Τὶ δὲ Θεὸς ποιεῖ ὁ μεγαλόδωρος μισθαποδότης ὁ τὴν καρτερίαν ἰδὼν τοῦ ἀγωνιστοῦ, καὶ τὰ κρυπτὰ ἡμῶν ἐπιστάμενος; ἔδει τὸν Νεῖλον λειτουργήσοντα τὸ χρεὼν ἀπελθεῖν, πρὸς ὅν ἐπόθει Θεόν· κατέλιπε δὲ τὸ πολύαθλον καὶ καρτερικώτατον ἐκεῖνο σῶμα ἐν τῷ σπηλαίῳ κείμενον. Θεὸς δὲ ὁ δοξάζων τοὺς αὐτὸν δοξάζοντας, κρήνην ἀνέδειξε ποταμηδὸν μῦρα βλύζουσαν εὐώδη, καὶ ἄνωθεν ἐκ τοῦ σπηλαίου καταρρέοντα διὰ τοῦ κρημνοῦ ἄχρι θαλάσσης χεόμενα κατέρρεον, τῆς φήμης δὲ διαδραμούσης, μετὰ πλοίων ἤρχοντο, καὶ ἐλάμβανον ἄνθρωποι, ὡς ἀπὸ κρήνης ἀρυόμενοι· ὅθεν καὶ καραβοστάσιον τὸν τόπον ὠνόμασαν τὸν κάτωθεν τοῦ σπηλαίου, καὶ κηρύττει ὁ τόπος τὰ γινόμενα ἄχρι τῆς σήμερον, οὕτω καλούμενος· μαρτυρεῖ δὲ ἀμυδρῶς τὴν ῥοὴν τοῦ μύρου καὶ ὁ τόπος δι' οὗ ἔρρεε τὸ μῦρον πρὸς τὴν θάλασσαν, καὶ ἐλάμβανον οἱ τότε εὐσεβεῖς, ὅθεν καὶ μυροβλύτην γράφουσι, καὶ λέγουσι τὸν ὅσιον ἅπαντες. Πῶς ἔπειτα ἠγνοήθη ὁ τάφος; πάντες εἶχον ἐκ παραδόσεως ὅτι ὁ τάφος τοῦ ὁσίου ἐν τῷ σπηλαίῳ ἐστί, καὶ τὸ λείψανον αὐτοῦ, καὶ ἔβλεπον μίαν μικρὰν καμάραν, ἀλλ' οὐδεὶς ἔλαβέ ποτε περιέργειαν ἄν εἶνε ἐκεῖ τὸ ἅγιον λείψανον. Ὅτε δὲ ἠθέλησεν ὁ Θεὸς ἀποκαλυφθῆναι ἐν τῇ τοῦ ναοῦ οἰκοδομῇ, τότε εὐθέως εὐωδία ἐξῆλθεν ἐκ τοῦ τόπου ἐκείνου, καὶ ἀνοίξαντες εὗρον τὴν εὐωδίαν ἐξερχομένην ἐκ τῶν ἱερῶν λειψάνων. Μαθόντες εἰς τὴν ἁγίαν Λαύραν τὰ γινόμενα, ἐν ᾗ τότε ὑπῆρχε καὶ ὁ Πατριάρχης πρῴην Κωνσταντινουπόλεως Κύριος Γρηγόριος, ἔστειλαν ἱερωμένους, καὶ ἔλαβον αὐτὰ ἐντίμως. μετὰ φώτων, καὶ θυμιαμάτων καὶ ἔφερον ἐν τῇ ἁγίᾳ Λαύρᾳ καὶ ἔθηκαν ἐν ἰδίῳ κιβωτίῳ πάντα, ἀφέντες ἐν τῷ ναῷ τοῦ ἁγίου τὴν ἱερὰν αὐτοῦ σιαγόνα, πρὸς ἁγιασμὸν τῶν προσερχομένων ἐν αὐτῷ χάριν εὐλαβείας· ὁ δὲ τάφος ἐκαλλωπίσθη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὄπισθεν τοῦ ἱεροῦ βήματος τοῦ ναοῦ.

Αὕτη ἐν συντομίᾳ ἡ διήγησις τῆς ζωῆς τοῦ ὁσίου· ἐλειτούργησε πιστῶς τῷ Θεῷ, καὶ ἐδόξασεν αὐτὸν ἐν τοῖς μέλεσιν αὐτοῦ· νεκρώσας τὰ πάθη καὶ νικήσας σὺν τοῖς παθήμασι καὶ τὰς ἐπιθυμίας τῆς σαρκὸς καὶ ἀπάταις τοῦ βίου καὶ ἀλαζωνείαις· εἰκότως καὶ ὁ Θεὸς ἐδόξασε τὸ σῶμα ἐκεῖνο καὶ τὰ τούτου λείψανα τὰ δεξάμενα τὸν ἁγιασμὸν καὶ τὴν χάριν τοῦ παναγίου Πνεύματος. Δοξάζεται δὲ μᾶλλον ἐν οὐρανοῖς τὸ πνεῦμα αὐτοῦ μετὰ πάντων τῶν ἱερῶν πνευμάτων συναγαλλόμενον, ἔνθα ἐποπτεύει τὰ ἡμέτερα καὶ ὡς ἱερεὺς καὶ ἅγιος, μεσίτης ἡμῶν ἐστι πρὸς τὸν Θεόν. Πρεσβεύων διηνεκῶς, ἐξαιρέτως δὲ τὴν σήμερον ἡμέραν ἐν τῇ μνήμῃ αὐτοῦ, ἐν ᾗ νοερῶς μετὰ πάντων τῶν ἁγίων τὰ τάγματα, τὰ τὴν μνήμην αὐτοῦ πανηγυρίζοντα, ᾧδε πάρεστιν ἀοράτως ὑλικοῖς ἐν ὄμμασιν παρ' ἡμῶν μὴ βλεπόμενος, ἡμᾶς δὲ βλέπει καὶ τῶν ὕμνων ἀκούει τῶν ἡμετέρων, καὶ τὰ διανοήματα ἑκάστου ἡμῶν καὶ τὸν πρὸς αὐτὸν πόθον ἡμῶν καὶ εὐλάβειαν ἀμείβεται πολλαπλασίως. Πάρεσο νῦν Πάτερ ἁγιώτατε, καὶ δὸς ἡμῖν κατὰ τὰ αἰτήματα· εἰ καὶ ἀνάξιοί ἐσμεν τυχεῖν· σὺ ὡς μαθητὴς τοῦ πανοικτίρμονος Θεοῦ τοῦ ἀνατέλλοντος τὸν ἥλιον καὶ πέμποντος ἐπίσης τὸν ὑετὸν ἐπὶ δικαίους καὶ ἀδίκους καὶ ἀγαθοὺς καὶ πονηρούς, ἀμνησικάκως πρόσδεξαι ἡμῶν τὰς δεήσεις καὶ ἀξίωσον διὰ τῶν θεοδέκτων ἱκεσιῶν σου γενέσθαι παραστάτας τῆς δεξιᾶς μερίδος, καὶ τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ἐπίγραμμα διὰ στίχων Ἰάμβων*

**Χάρις ᾧ πρέπει πᾶσα δόξα καὶ χάρις,**
**Οὗ τῇ συνάρσει τόδε γέγραπται πάντως**
**Παρὰ μελανείμονος ἀνδρὸς ἀγύρτου,**
**Οὗ ἡ κλῆσις· εὔδηλος τῷ παντ' εἰδότι,**
**Ἐν τῇ ἱερᾷ καὶ Σεβασμίᾳ Σκήτῃ,**
**τῆς θεοπρομήτορος ἁγίας Ἄννης**
**Καὶ οἱ ἐντυχάνοντες ἔρρωσθε πάντες.**
**Ἐν ἔτει σωτηρίῳ αωιθ' κατὰ μῆνα Μάϊον.**

**Διαδόσατε τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην».**

ΙΩ. ΣΠΑΘΑΡΗ ΚΑΘΗΓΗΤΟΥ (1)

## ΠΕΡΙ ΕΥΣΕΒΕΙΑΣ

**Μακάριος ἀνήρ, ὅς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθησεν, ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ καὶ ἐν τῷ Νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.**

Ὅπως ὁ ναυτιλλόμενος διαπλέων τὰ ἀχανῆ τῆς θαλάσσης σκότη αἰσθάνεται ἀνακούφισιν ἅμα τῇ ἐμφανίσει τοῦ φάρου, μὲ τὴν λάμψιν τοῦ ὁποίου φωτίζεται ὁλόκληρος ὁ ψυχικός του κόσμος ἐπὶ τῇ ἀναμνήσει τῶν ἀγαπητῶν του οἰκετῶν, οἱ ὁποῖοι ὄπισθεν τῶν ἀποκρήμνων ἀκτῶν τὸν ἀναμένουν, οὕτω καὶ ὁ ποντοπόρος τῆς πλήρους σκοπέλων ζωῆς ἀναλαμβάνει θάρρος, ἀντλῶν παρηγορίαν καὶ δύναμιν ὁσημέραι ἀπὸ τὸν φωστῆρα, τὸν ὁποῖον ὁ Κύριος ἔθηκεν ἐντὸς τῆς ψυχῆς τῶν ἀνθρώπων, ἵνα τὸν καθοδηγῇ καὶ κατευθύνῃ τὰ διαβήματα αὐτοῦ εἰς τὸ πέλαγος τοῦ περὶ ὑπάρξεως ἀγῶνος.

(1) Ἡ «Ἁγιορειτικὴ Βιβλιοθήκη» δεχομένη τὴν συνεργασίαν τοῦ Καθηγητοῦ ἐν τῷ ἐνταῦθα Πρακτικῷ Λυκείῳ κ. Ἰω. Σπαθάρη, θεωρεῖ ἑαυτὴν λίαν εὐτυχῆ.

Ὁ κ. Ἰω. Σπαθάρης, πλὴν τῆς ἐμβριθοῦς ἐγκύψεως περὶ τὴν ἐπιστήμην του, κατέχει πληθὺν γνώσεων τῶν ἁγιορειτικῶν ζητημάτων ἀπὸ διαφόρους μελέτας, ἀλλὰ καὶ ἀπὸ πρόσφατον ἐπίσκεψίν του εἰς τὸ ἅγιον Ὄρος.



Ἡ εὐσέβεια, ἡ κατ' ἐξοχὴν διακρίνουσα τὸν ἀληθῶς ἄνθρωπον ἀπὸ τοῦ μή, δίδει πτερὰ εἰς αὐτόν, ὅστις λαμβάνει γνῶσιν τῆς ἀνωτέρας του ἐπὶ τῆς γῆς ἀποστολῆς, ὡς κορωνίδος τῶν δημιουργημάτων, τείνει νὰ συμμορφώσῃ ἑαυτὸν πρὸς τὸν Νόμον τοῦ Θεοῦ καὶ ἀποτελέσῃ τὸ χαρίεν ὄν, περὶ οὗ ὁ Πλάτων ὡμίλησεν, ἀλλ' ὂν τοιοῦτον, μόνον ἡ χριστιανικὴ πίστις καὶ εὐλάβεια εἶναι δυνατὸν νὰ ἀπεργασθῇ. Τοιαύτης οὔσης τῆς εὐσεβείας, ἐξεταστέον τὴν σχέσιν αὐτῆς πρὸς τὸ δόγμα. Οἱ Πατέρες ἔκαμον σαφῆ διάκρισιν μεταξὺ δόγματος καὶ κηρύγματος, τοῦ τελευταίου τούτου σημαίνοντος τὴν ἐπίσημον ἀναγγελίαν, τὴν δημοσίαν διδασκαλίαν. Ἀπὸ τῆς ἀπόψεως ταύτης τὸ δόγμα εἶναι τὸ ἀντικείμενον ἀφώνου σκέψεως, ἐργασίας ἐπιστημονικῆς, ἐν ᾧ τὸ κήρυγμα εἶναι τὸ δόγμα, τὸ ἀναγγελλόμενον εἰς τὴν Ἐκκλησίαν, τὸ ἐξηγούμενον εἰς τὴν δημοσίαν διδασκαλίαν «ἄλλο γὰρ δόγμα καὶ ἄλλο κήρυγμα, τὸ μὲν γὰρ δόγμα σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται».

Ἐπειδὴ ὅμως ἡ χριστιανικὴ ἀλήθεια ἀπεκαλύφθη μὲ ἀντικειμενικὸν σκοπὸν τὴν χριστιανικὴν ζωήν, τὸ περιεχόμενον τῶν δογμάτων ὀφείλει νὰ διαβιβάζηται εἰς τὴν ζωὴν καὶ νὰ ἐκφράζηται δι' αὐτῆς. Οὕτω, τὰ δόγματα εἶναι ἐν στενωτάτῃ σχέσει πρὸς τὴν εὐσέβειαν, ἥτις εἶναι ὁ σκοπὸς αὐτῶν, διὰ τοῦτο καὶ καλοῦνται δόγματα τῆς εὐσεβείας ἢ δόγματα εὐσεβῆ. Ἡ σχέσις αὕτη ἦτο τόσον στενὴ εἰς τὰ ὄμματα τῶν Πατέρων, ὥστε οὐδέποτε ἐχώριζον τὴν δογματικὴν ἀπὸ τῆς ἠθικῆς, ἂν καὶ διέκρινον σαφῶς τὴν ἰδέαν τῆς ἠθικῆς ἀπὸ τὴν καθ' αὑτὸ ἰδέαν τῆς δογματικῆς «περὶ δόγματος διαλέγεσθαι ὑπερέθετο (ἀνέβαλε) μόνην τὴν ἠθικὴν διδασκαλίαν τοῖς ἀκροαταῖς προσήκειν.» Ὁ Ἅγ. Γρηγόριος ὁ Νύσσης λέγει, προκειμένου περὶ τοῦ κατὰ Ματθαῖον χωρίου 28, 19, 20 «διαιρῶν γὰρ εἰς δύο τὴν τῶν χριστιανῶν πολιτείαν, εἴς τε τὸ ἠθικὸν μέρος καὶ τὴν τῶν δογμάτων ἀκρίβειαν·» ὁ χριστιανισμὸς μετὰ τῆς τῶν δογμάτων ὀρθότητος καὶ πολιτείαν ὑγιαίνουσαν ἀπαιτεῖ· ὁ δὲ Κύριλλος ὁ Ἱεροσολύμων «ὁ τῆς θεοσεβείας τρόπος ἐκ τῶν δύο τούτων συνέστηκε, δογμάτων εὐσεβῶν ἀκριβείας καὶ πράξεων ἀγαθῶν» οἱ θεολόγοι, οἵτινες ἀργότερον ἐχώρισαν ἐν τῇ χριστιανικῇ διδασκαλίᾳ τὴν δογματικὴν καὶ τὴν ἠθικήν, δὲν εἶχον βεβαίως πρόθεσιν νὰ διασπάσουν τὴν σχέσιν ταύτην καὶ δὲν καθιέρωσαν τὴν διάκρισιν εἰμὴ τυπικῶς καὶ διὰ τὴν εὐκολίαν τῆς ἐπιστημονικῆς ἐκθέσεως, διότι εἶναι ὠφέλιμον νὰ θεωρῇ τις μίαν καὶ τὴν αὐτὴν ἀλήθειαν, ἄλλοτε ἀπὸ δογματικῆς καὶ πνευματικῆς ἀπόψεως, ἄλλοτε δὲ ἀπὸ πρακτικῆς καὶ ἠθικῆς. Πᾶσα ἀποκεκαλυμμένη ἀλήθεια ἔχει τὴν διπλῆν αὐτῆς ὄψιν. Ἐντεῦθεν λοιπὸν καὶ ἡ ἀρχαιοτάτη διάκρισις μεταξὺ τῶν θεωρητικῶν ἢ γνωστικῶν δογμάτων καὶ τῶν πρακτικῶν ἢ τῆς δράσεως, δογμάτων, ἤτοι, πίστεως καὶ δογμάτων ἠθῶν. Τὸ δόγμα πάλιν τῆς πίστεως μεταμορφούμενον εἰς δόγμα ἠθικόν, καθίσταται ὁ νόμος τῶν πράξεων, νόμος τόσον θεῖος, ἅγιος καὶ αἰώνιος ἅμα δὲ καὶ ἀναλλοίωτος ὡς τὸ δόγμα. Αἱ ἀλήθειαι ἄρα τῆς πίστεως γίνονται οἱ θεῖοι νόμοι τῆς ἀνθρωπίνης ζωῆς ἀμέσως ἢ ἐμμέσως, πᾶσα δὲ νομοθετικὴ πρᾶξις εἶναι οὕτως εἰσήγησις τῆς ἀληθείας καὶ τοῦ θείου Νόμου ἐν γένει. Ὅλα τὰ δόγματα, τὰ ὁποῖα σχετίζονται μὲ τὴν θρησκείαν καὶ τὸ ἠθικῶς πράττειν καὶ πάντα χαρακτηρίζονται διὰ τῆς τοιαύτης σχέσεως, ἀφυπνίζουν ἐν ἡμῖν τὴν ἰδέαν, ἧς ἐκεῖνα εἰ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ναι μεταμόρφωσις. «Ὅθεν, ὡς ἐν τῷ νῷ, ἡ σκέψις καὶ ἡ βούλησις εἶναι ἡνωμέναι, ἐν τῷ δόγματι ἡ σκέψις ταυτίζεται πρὸς τὴν βούλησιν· ὅ,τι πιστεύομεν βουλόμεθα, καὶ ὁ σκοπὸς τοῦ δόγματος ἐπιτυγχάνεται μόνον ὅταν ἡ ἀλήθεια γίνῃ ζωή, ὅταν ἡ πίστις ἐκδηλωθῇ ἐν τοῖς ἔργοις, ἐν ᾧ εἶναι προφανὲς ὅτι ἡ ἠθικὴ ἰδέα βασίζεται ἐπὶ τῆς δογματικῆς. Ὁ Κάντιος ἰσχυρίσθη ὅτι θὰ ἀνέτρεπε τὴν τάξιν συνάγων τὴν θρησκευτικὴν ἐπιστήμην ἐκ τῆς ἠθικῆς, ἐπιχείρημα ἀτυχὲς καθ' ἑαυτὸ εἰς ὅ ἤχθη ἐκ τῆς ἀπελπιστικῆς θέσεως τῆς ἐπιστήμης, ἥτις ἀρνουμένη τὴν ἐλευθερίαν κατήντησεν εἰς σφάλματα τερατώδη.

Οὕτω τεθέντος τοῦ ζητήματος τῆς εὐσεβείας ἥτις ἐκδηλοῦται διὰ τῆς ἐν παντὶ τάσεως πρὸς ἐφαρμογὴν τοῦ θείου Νόμου εἰς τὴν καθ' ἡμέραν ζωήν, ἄς προβῶμεν ἔτι περαιτέρω καθορίζοντες αὐτὴν ὡς τὴν εἰς Χριστὸν καὶ τὸ θέλημά του πίστιν καὶ ὑπακοήν, ἥτις πρὸς πάντα εἶναι ὠφέλιμος κατὰ τὸν Ἀπ. Παῦλον, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης δηλ. ἐνῷ παρέχει εἰς τὴν παροῦσαν ζωὴν πᾶσαν δυνατὴν εὐδαιμονίαν, ἀφ' ἑτέρου μᾶς ἑτοιμάζει μέλλον εὐτυχὲς εἰς τὴν ἄλλην ζωὴν καὶ ἀγαλλίασιν, ἥτις δὲν θὰ ἔχῃ πέρας. Εἶναι λοιπὸν καὶ ἀπὸ ἀπόψεως πρακτικῆς χρησιμότητος ἀπαραίτητος ἡ εὐσέβεια, διότι ὁ Θεὸς μᾶς ἐβεβαίωσεν, ὅτι ἐκεῖνοι, οἱ ὁποῖοι περιβάλλονται μὲ τὸ ἱμάτιον τῆς εὐσεβείας δὲν ἔχουν ποτὲ νὰ δυστυχήσουν, οὔτε νὰ παραπέσουν εἰς τὰς δυσκόλους στιγμὰς τῆς ζωῆς των. Συνέβη κἄτι ἀπευκταῖον εἰς τὸν δύσκολον δρόμον, τὸν ὁποῖον διανύει ὁ χριστιανὸς ἐπὶ τῆς γῆς, ἀμέσως θὰ ἴδῃ κατὰ τρόπον ὄντως θαυματουργὸν νὰ τὸν σώζῃ ἡ χεὶρ τοῦ Ὑψίστου, ἀπὸ τὸ χεῖλος τῆς ἀβύσσου καὶ νὰ τὸν φέρῃ εἰς τόπον ἀναψυχῆς, ὁπόθεν γαλήνιος καὶ ἥσυχος πάλιν θὰ ἐξακολουθήσῃ τὴν σταδιοδρομίαν του μὲ τὴν ἀπόλυτον βεβαίωσιν, ὅτι ἡ Ἀνωτέρα Δύναμις ἀγρυπνεῖ ἑτοίμη νὰ τὸν σώσῃ. Τί δὲ θὰ φοβηθῇ ὁ ἄνθρωπος ὅταν τοιοῦτος βοηθὸς παρίσταται πάντοτε πλησίον του; «Ἐὰν πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φοβηθήσομαι κακὰ ὅτι Σὺ μετ' ἐμοῦ εἶ». Ἀλλὰ μήπως ἡ θεία Πρόνοια δὲν ἐξασφαλίζῃ κατὰ τρόπον μόνιμον καὶ ἀδιαμφισβήτητον τὰ πρὸς συντήρησιν ἑνὸς ἑκάστου ἀναγκαῖα; Ἐὰν ρίψῃ κανεὶς τὸ βλέμμα του εἰς τὴν γύρω φύσιν θὰ ἴδῃ τὰς μυριάδας τῶν ὀργανικῶν ὄντων ν' ἀναμένουν τὴν τροφήν των τὴν ἐνδυμασίαν των, τὴν συνέχισιν τῆς ὑπάρξεως των ἀπὸ τὴν ζωοποιὸν τοῦ Θεοῦ ἐπέμβασιν, θὰ ἀμελήσῃ ἄραγε οὗτος τὰ πλάσματα τῆς χειρός του τὰ ὁποῖα ἔταξεν ὡς βασιλεῖς τῆς δημιουργίας του; Βεβαίως ὄχι. Ἀλλὰ ὑπάρχει πάντως μία προϋπόθεσις, ὅτι ἵνα καταστῇ τὸ πλᾶσμα ἀντάξιον τῶν εὐεργετημάτων τοῦ Δημιουργοῦ ἔχει τὴν ὑποχρέωσιν νὰ περεύηται ἐν ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, ἐκτελοῦν τὰ θελήματα τοῦ οὐρανίου Πατρός του. Εἶναι δυνατόν ποτε αὐτός, ὁ ὁποῖος ἀνατέλλει τὸν Ἥλιόν του ἐπὶ δικαίους καὶ ἀδίκους, βρέχει δὲ ἐπὶ τοὺς ἁμαρτωλοὺς καὶ εὐλαβεῖς νὰ λησμονήσῃ τὸν προσπαθοῦντα παντὶ σθένει νὰ συντελέσῃ τὸ ἐπ' αὐτῷ εἰς τὴν παγίωσιν καὶ στερέωσιν ἐπὶ τῆς γῆς τῆς Βασιλείας τῶν οὐρανῶν;

Πῶς δὲ ἔχει τὸ πρᾶγμα μᾶς τὸ βεβαιώνει ὁ προφητάναξ Δαυῒδ λέγων: «Νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους». Ἔζησα ἀνακράζει τόσα ἔτη μέχρι βαθυτάτου γήρατος καὶ ὅμως δὲν εἶδον εὐσεβῆ ἄνθρωπον νὰ ἐγκαταλειφθῇ εἰς τὴν τύχην του, οὐδὲ τοὺς ἀπογόνους του νὰ ζητοῦν ἄρτον πρὸς συντήρησίν των. Δὲν πρέπει



ὅμως νὰ φαντάζεται ὁ εὐσεβὴς ὅτι, τὰ τόσα πάθη τὰ ὁποῖα ἐμφωλεύουν εἰς τὸν κόσμον θὰ τὸν ἀφήσουν ἄτρωτον, καὶ ὅτι θὰ διανύῃ τὸν δρόμον του ἐν πλήρει ἀνέσει καὶ ἡσυχίᾳ, διότι αὐτὸ τὸ παράδειγμα τοῦ Κυρίου ἡμῶν καὶ ἐκείνων οἵτινες κατ' ἀπομίμησιν αὐτοῦ, ἐπροτίμησαν τὴν στενὴν ρύμην τὴν ἄγουσαν εἰς τὴν σωτηρίαν, παρὰ τὴν πλατεῖαν ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν ἀπώλειαν, μαρτυροῦσιν ὅτι ὁ Χριστιανὸς ὡς καὶ πᾶς θέλων εὐσεβῶς ζῆν διωχθήσεται, διότι αὐτὸς εἶναι ὁ κλῆρος ὁ ἐπιφυλασσόμενος εἰς πάντα, ὅστις προθύμως ὑποδύεται τὴν πανοπλίαν τοῦ χριστιανοῦ ὁπλίτου. Διὰ νὰ καταστῇ ὅμως ἄξιος τῆς ἀποστολῆς του δὲν πρέπει ν' ἀποβάλῃ ἀπὸ τῶν ὀφθαλμῶν του τὸ ψαλμικὸν ρητόν, ὅπερ ἐν προμετωπίδι τῆς παρούσης πραγματείας ἡμῶν ἐτέθη ἐπὶ τούτῳ, ἵνα δείξῃ ποῖοί τινες εἶναι οἱ ὅροι τοῦ ἠθικῶς ζῆν. Εἶναι μακάριος κατὰ τὴν ρῆσιν ταύτην ἐκεῖνος, ὅστις δὲν ἠκολούθησε τὰ φρονήματα τῶν ἀσεβῶν καὶ δὲν ἐπεδοκίμασε τὰς ἕξεις τοῦ ἁμαρτωλοῦ των βίου, καὶ δὲν ἐστάθη εἰς τὸν δρόμον τῶν ἁμαρτωλῶν, δὲν τοῦ ἐκινήθη δηλ. ἡ περιέργεια νὰ ἐξετάσῃ τὴν πολιτείαν των καὶ τὰς πράξεις των μὲ τὴν πρόθεσιν νὰ τοὺς μιμηθῇ, οὔτε ἐκάθησεν ἐπάνω εἰς τὸ κάθισμα τῶν ἀνθρώπων, οἱ ὁποῖοι ἀποτελοῦν τὴν κατωτάτην κοινωνικὴν ὑποστάθμην, δηλ. δὲν τοὺς συνανεστράφη οὔτε ἐπεδοκίμασε τὰς ἀντιλήψεις των καὶ ὄχι μόνον τοῦτο δὲν ἔπραξεν, ἀλλ' οὔτε, ὅπερ καὶ σπουδαιότερον, συνεκυλίσθη μετ' αὐτῶν εἰς τὸν βόρβορον τῆς ἁμαρτίας, τῆς ὁποίας αἱ ἀναθυμιάσεις μολύνουν πᾶσαν ψυχὴν διὰ νὰ ἐπιφέρουν τὸν ἠθικόν της θάνατον. Μετὰ τὰς ἀπαγορεύσεις δὲ ταύτας ἐπιφέρει τὴν σωστικὴν ἐκείνην διὰ πᾶσαν ψυχήν ἀπόφανσιν, ὅτι μακάριος θὰ εἶναι ὁ ἄνθρωπος ἐκεῖνος, ὅστις φοβούμενος τὸν Θεὸν θὰ φροντίζῃ νὰ κανονίζῃ τὰς σκέψεις του καὶ τὰς πράξεις του πρὸς τὸν Νόμον τοῦ Κυρίου μελετῶν πρὸς τοῦτο ἀδιαλείπτως αὐτὸν ἡμέρας καὶ νυκτός, τοῦθ' ὅπερ εἶναι διακριτικὸν τῆς εὐσεβείας γνώρισμα, ἣν ὀρθῶς ἡ τῶν αἰώνων σοφία ὠνόμασεν ἡγεμόνα τῶν ἀρετῶν.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

**Εἰς τὸν ἠγαπημένον τοῦ Χριστοῦ Ἀπόστολον Ἰωάννην τὸν Θεολόγον, τοιαύτῃ μεθόδῳ κατασκευασμένος. Διὰ τοῦ α΄. τροπαρίου δέονται τοῦ Θεολόγου οἱ νεωκόροι· διὰ τοῦ β΄. δέεται ὁ Θεολόγος τοῦ Κυρίου· διὰ τοῦ γ΄. ἀποκρίνεται ὁ Κύριος πρὸς τὸν Θεολόγον· διὰ δὲ τοῦ δ΄. ἀποκρίνεται ὁ Θεολόγος πρὸς τοὺς νεοκούρους αὐτοῦ.**

Εὐλογήσαντος τοῦ ἱερέως, λέγομεν τὸ Κύριε εἰσάκουσον, εἶτα τὸ τροπάριον.

**Ἦχος δ΄.**

**Τῇ Θεοτόκῳ ἐκτενῶς**

Τοῦ Θεολόγου τῷ ναῷ νῦν προσδράμωμεν, καὶ τῇ εἰκόνι τῇ αὐτοῦ προσκυνήσωμεν, ἀπὸ καρδίας κράζοντες ἐκ βάθους ψυχῆς· φίλε ἐπιστήθιε, τοῦ Χριστοῦ Ἰωάννη, πάσης περιστάσεως, καὶ κινδύνων παντοίων τοὺς σοὺς οἰκέτας λύτρωσαι ἡμᾶς· ἵνα σε πόθῳ ἀεὶ μεγαλύνωμεν.

**Ὁ Κανών. Ὠδὴ α΄. Ἦχος πλ. δ΄.**

**Ἁρματηλάτην Φαραώ.**

Ἠγαπημένε τῷ Χριστῷ ἀπόστολε καὶ θεολόγε σοφέ, τὰς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

αἰτήσεις δέχου, ἃς ποιήσειν μέλλομεν, ἡμεῖς οἱ νεωκόροι σου, καὶ προσάγαγε ταύτας τῷ ποθητῷ Διδασκάλῳ σου, καὶ πληρῶσαι ταύτας ἱκέτευσον.

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δέξαι ὦ Λόγε καὶ ἐμὲ Διδάσκαλε, ἐμοῦ τοῦ σοῦ μαθητοῦ, τὴν πρεσβείαν ταύτην, καὶ πάντα αἰτήματα, τῶν οἰκετῶν μου πλήρωσον, τουτωνὶ σὺ γὰρ εἶπας, αἰτεῖτε πάντες καὶ λήψεσθε, καὶ ἐὰν ζητῆτε εὑρήσετε.

**Δόξα**

Ναί, ἐκπληρῶσαι τὰς αἰτήσεις βούλομαι τῶν νεωκόρων τῶν σῶν, μυστικέ μου φίλε, ἀλλ' ἐὰν αἰτήσωνται, ἐκ πόθου τε καὶ πίστεως, τὴν ἐμὴν βασιλείαν, δικαιοσύνην τε ἅπασαν, ὡς αὐτοῖς ἐγὼ διατάσσομαι.

**Καὶ νῦν Θεοτοκίον.**

Τῆς τοῦ Δεσπότου γλυκερᾶς ἠκούσατε, φωνῆς οἰκέται ἐμοί, καὶ λοιπὸν αἰτεῖτε, πάντα τὰ σωτήρια, μεσίτην προβαλλόμενοι, αἰτημάτων ἁπάντων, τὴν τοῦ Κυρίου γεννήτριαν, καὶ ἐμὴν Μητέρα καὶ Δέσποιναν.

**Ὠδὴ γ'.**

**Οὐρανίας ἁψῖδος**

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὀρθοδόξου λατρείας σὺ πρῶτος εἶ θεμέθλος, πίστεως τὰ δόγματα γνῶναι, Κυρίῳ πρέσβευε, καὶ παραδόσεσι, τῆς Ἐκκλησίας ἐμμένειν, ἡμᾶς τοὺς οἰκέτας σου μάκαρ ἱκέτευε.

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ προείρηκας Λόγε, αὕτη ζωὴ πέφυκεν, ἵνα σὲ εἰδῶσι τὸν μόνον Θεὸν καὶ Κύριον, ὅν περ ἀπέστειλας, τοὺς οὖν οἰκέτας μου τούτους, ταῦτα καταξίωσον γνῶναι φιλάνθρωπε.

**Δόξα**

Εἰ ποθοῦσιν εἰδέναι, τὰ ἱερὰ δόγματα, οὗτοι ὧν εἰδέναι προσήκει ἐκκαθαρθήτωσαν, νοΐ καρδίᾳ τε, καὶ γὰρ δοχεῖον σαπρίας, γέμον οὐ πιστεύεται μύρον πολύτιμον.

**Καὶ νῦν. Θεοτοκίον**

Ἀκηκόατε τούτων, ἐμοῦ ναοῦ φύλακες· ὅθεν εἰ ποθεῖτε τελείαν γνῶσιν τῆς πίστεως, καὶ ἔργα πράττετε, σύμφωνα πίστει τῇ θείᾳ συνεργοῦσαν ἔχοντες τὴν Θεομήτορα.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεολόγε, ὅτι σὲ ἐν πειρασμοῖς ἀεὶ προβαλλόμεθα, μεσίτην πρὸς τὸν Θεὸν καὶ Σωτῆρα.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ ἱερεὺς καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον.

Κάθισμα. **Ἦχος β'.**

**Τὰ ἄνω ζητῶν**

Πολλοῖς ἐν δεινοῖς κυκλούμενοι οἱ δοῦλοί σου, πρὸς σὲ τὸν ἡμῶν προστάτην καταφεύγομεν, Ἰωάννη θεῖε ἀπόστολε, δράμε πρόσπεπον Χριστῷ τῷ Θεῷ, καὶ ἵλεων αὐτὸν ἡμῖν ποίησον.

**Δόξα καὶ νῦν.**

Τὰ μεγαλεῖά σου, παρθένε, τὶς διηγήσεται; βρύεις γὰρ θαύ-



ματα καὶ πηγάζεις ἰάματα καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

**Ὠδὴ δ.'**

**Σύ μου ἰσχὺς Κύριε**

Σῶμα καὶ νοῦν, ἡμᾶς παρθένους φυλάττεσθαι, ἐκδυσώπει τὸν Χριστὸν ἀπόστολε, σὺ γὰρ παρθένος σῶμα καὶ νοῦν, καὶ πάσας αἰσθήσεις, κατ' ἐξοχὴν ἀναδέδειξαι· διὸ καὶ παῖς παρθένου, ἀδελφός τε Παρθένου, Μαριὰμ καὶ Χριστοῦ ἐχρημάτισας.

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λόγε Θεοῦ, τῶν οἰκετῶν μου ἐπάκουσον, καὶ παρθένους τούτους διαφύλαξον, κατά τε σῶμα καὶ τὴν ψυχήν, ῥυόμενος πάσης, ἀκαθαρσίας φιλάνθρωπε, καὶ γὰρ διὰ σὲ οὗτοι, καὶ τὴν σὴν βασιλείαν, ἑαυτοὺς ὡς σὺ εἶπας εὐνούχισαν.

**Δόξα**

Ἀγγελικήν, δεῖ πολιτείαν μετέρχεσθαι, τοὺς ἀγγέλων, τὸ σχῆμα φορέσαντας· εἰ οὖν καὶ οὗτοι παρθενικόν, ἠγάπησαν βίον, πρὸς πᾶν αἰσχρὸν ἀσυνδύαστον, τὸν νοῦν δεῖ αὐτοὺς ἔχειν, ἐγκρατείᾳ καὶ πόνοις, τῆς σαρκὸς χαλινοῦντας σκιρτήματα.

**Καὶ νῦν. Θεοτοκίον**

Δοῦλοι ἐμοί, τῶν λεγομένων ἠκούσατε, τὰς αἰσθήσεις πάσας συνφυλάττετε, δι' ὧν ὁ θάνατος τῆς ψυχῆς, καὶ τῆς παρθενίας διαφθορὰ ὑπεισέρχεται, θαρροῦντες τῆς Παρθένου καὶ παρθένων ἐφόρου, τῇ θερμῇ μεσιτείᾳ καὶ χάριτι.

**Ὠδὴ ε'.**

**Ἵνα τί με ἀπώσω**

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸ ποτήριον ὥσπερ, τοῦ δηλητηρίου ἀτρόμως σὺ ἔπιες, μάκαρ Ἰωάννη, οὕτω πίνειν Χριστὸν καθικέτευε, ἡμᾶς πᾶσαν θλῖψιν, καὶ εὐχαρίστως ὑπέμειναν, πειρασμῶν πολυτρόπων τὴν ἔφοδον.

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν τῷ κόσμῳ σὺ εἶπας, Λόγε τοῦ Θεοῦ θλῖψιν ἕξετε ἅπαντες, οἱ ἐμοὶ οἰκεῖοι· ἀλλ' ἐγὼ πάντα κόσμον νενίκηκα· ὅθεν νικᾶν πάσας, τὰς περιστάσεις τε καὶ θλίψεις, τοὺς οἰκέτας μου τούτους ἐνίσχυσον.

**Δόξα**

Ταπεινώσεως δεῖται, ὁ τοὺς πειρασμοὺς ὑπομένειν βουλόμενος, καὶ αὐτομεμψίας, ὅτι τούτων αὐτός ἐστιν αἴτιος· ἐγὼ γὰρ οὐδένα, ἀδίκως φίλε μου πειράζω, παρ' αὐτοῦ δὲ πειράζεται ἕκαστος.

**Καὶ νῦν. Θεοτοκίον**

Ὑπομένετε ἄρα, καὶ χάριν ἡγεῖσθε ἐὰν περιπέσητε, πειρασμοῖς ὦ παῖδες, ἐξ ἀνθρώπων δαιμόνων καὶ φύσεως, ἐπεγειρομένους, μέγα προπύργιον εὑρόντες, τὰς λιτὰς τῆς ἁγνῆς Θεομήτορος.

**Ὠδὴ ς'.**

**Τὴν δέησιν ἐκχεῶ**

Ὡς κύνωπα, τὸν δεινὸν ἐνέκρωσας, προσευχῇ σου Ἰωάννη τὸ πρώην, οὕτως ἡμῶν, νεκρωθῆναι τὰ πάθη, ταῖς σαῖς πρεσβείαις Χριστὸν ἐκδυσώπησον, καὶ μάλιστα τρόπου παντός, φιλαδικοῦ ῥυσθῆναι ἱκέτευε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ Δέσποτα, τὸν Σταυρὸν καὶ θάνατον, καὶ τὰ πάθη καθυπέμεινας πάντα, ἵνα βροτούς, τῶν παθῶν ἀπαλλάξῃς· ὅθεν καὶ τούτους τοὺς δούλους μου δέομαι, ἀπάλλαξον πάντων παθῶν, τοῦ νοός, τῆς ψυχῆς καὶ τοῦ σώματος.

**Δόξα**

Πανάληθες, τοῦτο φίλε εἴρηκας· ὅθεν ἕτοιμός εἰμι τοὺς σοὺς παῖδας, λῦσαι παθῶν, ἀλλ' ἐάν περ καὶ οὗτοι, πάσας αἰτίας παθῶν περικόπτωσι, τὴν δόξαν τὸν πλοῦτον τὰς ἡδονάς, ἅ ἐστι τῶν παθῶν ὑπεκκαύματα.

**Καὶ νῦν. Θεοτοκίον**

Συνίετε, τῶν ῥημάτων παῖδές μου, καὶ τὸν νοῦν τῆς προσπαθείας γυμνοῦτε· τὴν δὲ ψυχήν, πάσης ἡδυπαθείας, τὸ σῶμα ἀνώτερον φυλάττετε, ἵνα εὐχαῖς, τῆς Μητρός μου ἀπάθειαν κτήσασθε.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεολόγε ὅτι σὲ ἐν πειρασμοῖς ἀεὶ προβαλλόμεθα, μεσίτην πρὸς τὸν Θεὸν καὶ Σωτῆρα.

Ἄχραντε, ἡ διὰ Λόγου τὸν Λόγον ἀνερμηνεύτως ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Ὁ ἱερεὺς μνημονεύει ὡς δεδήλωται. Μετὰ δὲ τὴν ἐκφώνησιν τὸ Κοντάκιον.

**Ἦχος β'.**

**Προστασία τῶν χριστιανῶν**

Ἰατρὲ τῆς ψυχῆς καὶ τοῦ σώματος ἄμισθε, τῶν ἐν ζάλῃ λιμὴν γαληνὲ καὶ ἀχείμαστε, Ἰωάννη Ἀπόστολε, οἰκέτας σου ἡμᾶς σπεῦσον θεράπευσον ταχύ, τοὺς κατ' ἄμφω ἀσθενεῖς, καὶ πρὸς σὲ καταφεύγοντας· πράϋνον τρικυμίας, στῆσον τὰς καταιγίδας, τῶν ἐπερχομένων δεινῶν, Θεολόγε κατὰ τῆς ποίμνης σου.

Προκείμενον. **Ἦχος δ'.**

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Τὸ Εὐαγγέλιον. Δόξα. Ταῖς τοῦ Θεολόγου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον.

**Ἦχος πλ. β'.**

**Ὅλην ἀποθέμενοι**

Πρόκριτον ἀπόστολον, ἠγαπημένον παρθένον, φίλον ἐπιστήθιον, υἱὸν τῆς θεόπαιδος καὶ θεάδελφον, τῆς βροντῆς γόνον τε, εὐαγγελιστῶν τε, Θεολόγον πάντων πρώτιστον, καὶ πανεξαίρετον σὲ παρακαλῶ καὶ σοῦ δέομαι, πασῶν σου τούτων κλήσεων, χάριτας ψυχῆς μου δωρήσασθαι· ἵνα σε δοξάζω, ἐν ὅλῃ τῇ ζωῇ μου καὶ πνοῇ, γλυκύ μου πρᾶγμα καὶ ὄνομα, Ἰωάννη ἔνδοξε.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Κύριε ἐλέησον ιβ'. μετὰ δὲ τὸ : ἐλέει καὶ οἰκτιρμοῖς.

**Ὠδὴ ζ'.**

**Οἱ ἐκ τῆς Ἰουδαίας**

Μετανοίας τὴν χάριν, παρασχεῖν ἐκδυσώπει Χριστὸν ἀπόστολε, ἡμῖν τοῖς σοῖς οἰκέταις, ὡς πάλαι τῷ λῃστάρχῳ πάντων μάκαρ δεδώρησαι· ἵνα τιμῶμεν θερμῶς, τὸ θεῖον ὄνομά σου.



Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὦ Θεάνθρωπε Λόγε, σὺ ἐκήρυξας κόσμῳ μετανοεῖτε εἰπών, διὸ ἐμοῖς οἰκέταις μετάνοιαν παράσχου, ἀληθῆ τε καὶ ἔμμονον, ὧνπερ ἐν βίῳ κακῶν, ἐξήμαρτον ἀφρόνως.

**Δόξα**

Ἀληθοῦς μετανοίας, μαθητά μου ὑπάρχει ἐξομολόγησις, συχνὴ πταισμάτων πάντων, τὰ δάκρυα τὸ πένθος καὶ ἡ ἱκανοποίησις, τὸ μεριμνᾶν ἐσαεί, ὑπὲρ τῆς ἁμαρτίας.

**Καὶ νῦν. Θεοτοκίον**

Καὶ λοιπὸν ἐμοὶ δοῦλοι, καθ' ἡμέραν ἐφ' οἷσπερ νῷ ἁμαρτάνετε, καὶ ἔργῳ τε καὶ λόγῳ, εὐθὺς μετανοεῖτε, καὶ αἰτεῖσθε συγχώρησιν, παρὰ Χριστοῦ δι' εὐχῶν, τῆς μόνης Θεοτόκου.

**Ὠδὴ η'.**

**Τὸν ἐν ὄρει ἁγίῳ**

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς ἀγάπης διδάσκαλος ὑπάρχων, Ἰωάννη ἀγάπης πρὸς Θεόν τε, καὶ τὸν πλησίον Κύριον ἱκέτευε, φύλακας ὀφθῆναι, ἡμᾶς τοὺς σοὺς δούλους, τοὺς σὲ ἠγαπηκότας.

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ ἀγάπη ὑπάρχεις Θεοῦ Λόγε, καὶ ἀγάπῃ τῆς σῆς ἠξίωσάς με, διαφερόντως· ὅθεν τὴν ἀγάπην μου τούτους μου τοὺς δούλους, νῦξον γλυκυτάτῳ, τῆς σῆς ἀγάπης βέλει.

**Δόξα**

Τὴν ἀγάπην τὴν πρὸς ἐμὲ ὦ φίλος, εἰ ποθοῦσι κτήσασθαι οἱ σοὶ παῖδες, τὴν ἑαυτῶν καρδίαν ὅλην δότωσαν, ἐμοὶ καὶ τὸ πνεῦμα, πάντων τῶν γηΐνων, ὑφ' ἓν καταφρονοῦντες.

**Καὶ νῦν Θεοτοκίον**

Πειθαρχεῖτε, λοιπὸν ἐμοὶ οἰκέται, τῷ Δεσπότῃ καὶ τούτου τῇ ἀγάπῃ, ὁλοκαρδίως πάντοτε ἐμμένετε, σύμμαχον πλουτοῦντες, τῆς ἠγαπημένης Μητρός μου τὴν πρεσβείαν.

**Ὠδὴ θ'.**

**Ἐξέστη ἐπὶ τούτῳ**

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ἔσωσας ἀπόστολε τοῦ Χριστοῦ, Ἰωάννη πολλοὺς τῷ κηρύγματι, μάκαρ τῷ σῷ, οὕτως ἡμᾶς σῶσαι σοὺς οἰκουρούς, πρὸς τὸν Σωτῆρα πρέσβευε, διὰ μόνον ἔλεος τὸ αὐτοῦ· καὶ γὰρ καλῶν ἁπάντων, ἐσμὲν ἠπορημένοι, καὶ ἀρετῆς ἁπάσης ἔρημοι.

Ἅγιε ἔνδοξε ἀπόστολε τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Προσάγω εἰς πρεσβείαν Λόγε Θεοῦ, τὰ σὰ πάθη σταυρόν τε καὶ θάνατον καὶ τὴν ταφήν, ἅπερ κατεδέξω ὑπὲρ ἡμῶν, καὶ τούτους τοὺς οἰκέτας μου, σῶσον διὰ ἔλεος δωρεάν, καμφθεὶς ἐπὶ τοὺς θρήνους, οὕς περ ἐποιησάμην, ἐν τῷ σταυρῷ σου παριστάμενος.

**Δόξα**

Ναί, ἕτοιμος ὑπάρχω σῶσαι αὐτούς, μαθητά μου καὶ φίλε μου γνήσιε, καὶ γὰρ ἐγώ, διὰ τοῦτο ἦλθον ἐπὶ τῆς γῆς, καὶ πέπονθα ὡς ἄνθρωπος, ἵνα διασώσω πάντας βροτούς, ἀλλὰ ἐὰν καὶ οὗτοι, ἐκπληρωταὶ φανῶσι, τῶν ἐντολῶν μου καθ' ἃ δύνανται.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Καὶ νῦν. Θεοτοκίον

Σπουδάσατε ὦ τέκνα μου τὸ λοιπόν, ἐντολὰς τοῦ Κυρίου ἐργάζεσθαι ὡς δυνατόν, ἵνα λυτρωθῆτε ἐκ τοῦ πυρός, καὶ βασιλείας τύχητε, σὺν ἐμοὶ καὶ πᾶσι τοῖς ἐκλεκτοῖς, πρεσβείαις Θεοτόκου. δοξάζοντες ἀπαύστως, Πατέρα Λόγον Πνεῦμα ἅγιον.

### Μεγαλυνάρια

Τῆς θεολογίας τὸν ἀρχηγόν, τὸν ἠγαπημένον Ἰωάννην καὶ μαθητήν, τὸν ἐπὶ τὸ στῆθος Χριστοῦ ἀναπεσόντα, τὸν μέγαν Θεολόγον πάντες ὑμνήσωμεν.

### Νικοδήμου

Αἴτησαι εἰρήνην παρὰ Θεοῦ, ὁμόνοιαν σκέπην· μέχρι τέλους ὑπομονήν, ψυχῶν σωτηρίαν, ἡμῖν τοῖς σοῖς οἰκέταις,εἰς δόξαν τοῦ Κυρίου θεῖε ἀπόστολε.

### Θεοδωρήτου

Σάλπιγγα τοῦ Λόγου τὴν φαεινήν, μύστην τε καὶ φίλον καὶ ἀγάπης ὑπογραμμόν καὶ τῆς παρθενίας τὸ καθαρὸν δοχεῖον, πιστοὶ μεγαλοφώνως ἀνευφημήσωμεν.

Γόνον τῆς ἐξ ὕψους θείας βροντῆς, ὑπὸ τοῦ Δεσπότου τὸν καλούμενον μαθητήν, τὸν ἐπιπεσόντα τῷ στήθει τοῦ Κυρίου, καὶ τῶν πιστῶν δειχθέντα,θερμότατον προστάτην δοξολογήσωμεν.

Ἔχεις παρρησίαν πρὸς τὸν Θεόν, ὡς ἠγαπημένος, ἐπιφάνηθι βοηθός, ῥύστης καὶ προστάτης, ἡμῶν τοῖς ἐν ἀνάγκαις, καὶ λύτρωσαι κινδύνων καὶ περιστάσεων.

Ῥύπον τῶν παθῶν μου τῶν χαλεπῶν, σκότος διανοίας, καὶ πταισμάτων μου τὰς οὐλάς, ἐξάλειψον μάκαρ ταῖς λιταῖς σου, καὶ καθαρόν με τούτων, ὅπως δοξάζω σε.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα τὸ τρισάγιον καὶ τὰ τροπάρια ταῦτα.

### Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς Κύριε....

Δόξα. Κύριε ἐλέησον ἡμᾶς....

Καὶ νῦν. Τῆς εὐσπλαγχνίας.

Ἐν δὲ τῇ προσκυνήσει τῆς ἁγίας εἰκόνος, ψάλλομεν τὸ παρὸν τροπάριον.

### Ἦχος β΄.

**Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν**

Φίλε ἐπιστήθιε Χριστοῦ, τοὺς τὴν σεβασμίαν εἰκόνα, σοῦ προσκυνοῦντας ἡμᾶς, πάσης ἀπολύτρωσαι βλάβης καὶ θλίψεως, ὁρατῶν ἀοράτων τε, ἐχθρῶν καὶ παντοίων, νόσων ἐλευθέρωσον, ψυχῆς καὶ σώματος, ἵνα εὐχαρίστως ἐν ὕμνοις, ὡς παντοδαπὸν εὐεργέτην, καὶ θερμὸν προστάτην σὲ γεραίρωμεν.

**Καὶ τῆς Θεοτόκου**

**Πάντων προστατεύεις ἀγαθὴ ...**

Καὶ ἀπόλυσις

---

## ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΑΙ ΛΟΓΟΙ
## *ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ*

**(Ἐκ τοῦ Κώδικος Λ 197)**

**(Συνέχεια ἐκ τοῦ ὑπ' ἀριθ. 14 τεύχους)**

### Κατὰ τῶν φιλοχρύσων

Εἰ φιλεῖς χρυσόν, οὐ φιλεῖς Χριστόν· εἰ δὲ Χριστὸν οὐ φιλεῖς, φιλεῖς δὲ χρυσόν, ὅρα τίνι σε ὁ τύραννος ἐξομοιοῦσθαι παρασκευάζει. Ἐκείνῳ τῷ μαθητῇ μέν, ἀλλ' ἀπίστῳ φίλῳ ἀλλ' ἐπιβούλῳ φανέντι, κακῶς εἰς τὸν κοινὸν Δεσπότην ἐμπαροινήσαντι, καὶ ἀθλίως ἐκπεσόντι πίστεως ἅμα καὶ τῆς πρὸς ἐκεῖνον ἀγάπης, καὶ εἰς βυθὸν ἐγκυβιστήσαντι ἀπογνώσεως· οὐ σὺ δεδιὼς τὸ ὑπόδειγμα φεῦγε χρυσόν, ἐμοὶ πειθόμενος, καὶ τὴν τούτου φιλίαν, ἵνα δυνηθῇς κερδῆσαι Χριστὸν ἐν τῷ φιλεῖν σε αὐτόν· εἰ δ' οὖν, ἀλλ' οἶδας τὸν τόπον τοῦ ἐκπεπτωκότος τὸν ἴδιον.

Τρεῖς οἶδεν ὁ λόγος καταστάσεις τοῦ βίου σαρκικήν, ψυχικήν, καὶ πνευματικήν. Τούτων ἑκάστη τὴν οἰκείαν ἔχει διάθεσιν τῆς ζωῆς διακεκριμένην πρὸς ἑαυτήν, καὶ τῶν ἄλλων ἀνόμοιον.

Ἡ σαρκικὴ τοῦ βίου κατάστασις ὅλη καθόλου, πρὸς ἡδονὰς καὶ ἀπολαύσεις τῆς παρούσης ζωῆς καταγίνεται· μηδέν, ἢ ἀπὸ τῆς ψυχικῆς καταστάσεως ἢ ἀπὸ τῆς πνευματικῆς πρὸς ἑαυτὴν ἔχουσα· ἤ κἂν ὅλως προσκτήσασθαι βουλομένη. Ἡ δὲ ψυχική, μεθόριός τις οὖσα κακίας καὶ ἀρετῆς, καὶ τὴν τοῦ σώματος ἐπιμέλειαν καὶ ῥῶσιν ὁρᾷ καὶ πρὸς τὸν ἔπαινον τῶν ἀνθρώπων· ἐπίσης τούς τε πόνους ἀποσειομένη τῆς ἀρετῆς, καὶ τὰς πράξεις φέρουσα τῆς σαρκός, μὴ προσκειμένη κακίᾳ ἢ ἀρετὴ διὰ τὰς ἐν αὐταῖς ἀντιθέτους αἰτίας· ἀρετῇ μὲν διὰ τὸ τραχὺ ταύτης ὁμοῦ καὶ ἐπίπονον· κακίᾳ δὲ διὰ τὸ μὴ προσαπολέσαι τοὺς τῶν ἀνθρώπων ἐπαίνους.

Ἡ δὲ πνευματικὴ τοῦ βίου κατάστασις; τούτων μὲν οὐδὲν ἔχειν αἱρεῖται, οὔτε πρὸς οὕτω κακὰ καταγίνεσθαι τὰ ἀμφότερα· ἀλλ' ὅλη δι' ὅλου ἐλεύθερός ἐστι ταύτης κἀκείνης πτέρυξι περιηργυρωμέναις ἀγάπης καὶ ἀπαθείας ὑπεριπταμένη τῶν ἀμφοτέρων, μήτε πράττουσά τι τῶν ἀπηγορευμένων, καὶ τὴν ἀργίαν φεύγουσα τῶν καλῶν.

### Εἰς φίλον συμβουλὴ ἵνα ἐπιστρέψῃ πρὸς τὴν ἡσυχίαν του.

Ἐμάκρυνας φυγαδεύων, καὶ ἀφῆκας ἡμᾶς ὀρφανούς, ὥστε ἐκκαῆναι τῷ δίψει τῆς γλυκυτάτης σου θέας, καὶ τὴν ψυχὴν ἀναφλεχθῆναι τῷ πόθῳ τῆς ὄψεως· πότε ἄρά γε ἐμφανίσῃς ἑαυτὸν τοῖς ποθοῦσί σε; πότε ἄρά γε ὁ ποθούμενος τὸν ποθοῦντα καταλήψεται, καὶ τὸ ἐμὸν παραμυθήσεται δίψος; μὴ οὖν ἐπιλάθου τῆς μετανοίας σου, καὶ τῆς ἀγαθῆς κλίσεως· μὴ χρονίσῃς εἰς τὰ αὐτόθι, ἵνα μὴ προλάβῃ τῆς καλῆς ἐργασίας ὁ θάνατος· ἄδηλος γάρ ἐστιν ἡ τοῦ βίου ἔκβασις ἡμῶν· οὐ καιρὸν δεχομένη, οὐ χρόνῳ τεταμένη ὑφ' ἡμῶν ἀλλ' ἡνίκα δ' ἂν κελεύσῃ ὁ δεδωκὼς πᾶσι πνοήν, τότε ἡ ψυχὴ ἀποπτάσα ἀπὸ τοῦ σώματος καταλιμνάνει αὐτὸ ἔρημον. Εἰδὼς τοίνυν, ἀδελφέ, τῆς ἐξόδου τὸ ἄδηλον, περιμένωμεν τὸν νυμφίον Χριστόν, πότε ἐπανέλθῃ ἀπὸ τῶν πνευματικῶν γάμων, καὶ κρούσαντος αὐτοῦ τὴν θύραν ἀνάψωμεν αὐτῷ τῶν ἀρετῶν τὰς λαμπάδας. καὶ συνεισέλθωμεν τῷ νυμφίῳ· μήποτε καὶ ἡμεῖς μετὰ τῶν πέντε μωρῶν ἔξω εὑρεθῶμεν τοῦ ἀφθάρτου νυμφῶνος.

### Πρὸς Πατριάρχην

Πάλιν τῇ τῆς ἀγάπης σειρᾷ σφίγξωμεν ἑαυτοὺς καὶ τὸν ζυγὸν τῆς ὑπακοῆς τῆς ἐντολῆς τοῦ Κυρίου της, ἵν' ἀγαπῶμεν ἀλλήλους βαστάσωμεν· καὶ εὐλόγησον ἡμᾶς, καὶ ἐν ταῖς θείαις σου εὐχαῖς παράθου καὶ ἡμᾶς τῷ Κυρίῳ καθάρσιον τὰς θεοπειθεῖς αὐτῆς εὐχὰς τῶν ἐν ἡμῖν πεπραγμένων κακῶν πορήσας παναγιώτατε Πάτερ καὶ Δέσποτα.

### Συμβουλὴ περὶ τοῦ ματαίου βίου

Μικρὸν καὶ λυθήσεται τῆς ζωῆς ἡμῶν ἡ πανήγυρις· αὔριον παρελεύσεται τοῦ βίου τὸ θέατρον· μὴ παραβλέψωμεν οὖν τὸν καιρὸν τῶν συναλλαγμάτων, καὶ τὴν

« ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ »
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ
ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΚΔΙΔΟΜΕΝΟΝ ΕΝ ΒΟΛΩ

Γραφεῖα καὶ τυπογραφεῖα : Κοραῆ 47

ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ

Ἐσωτερικοῦ δρ. 100
Ἐξωτερικοῦ σελίνια 7
Ἀμερικῆς δολλ. 3
Τὸ τεῦχος δρχ. 10

Ἐπιστολαὶ συνδρομαὶ καὶ δωρεαὶ ἀποστέλλονται πρὸς τὸν κ. Σωτ. Σχοινᾶν - Κοραῆ 47 Βόλον.

Χειρόγραφα δημοσιευόμενα ἤ μή, δὲν ἐπιστρέφονται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐπίδειξιν τῶν ζητουμένων ἔργων προθεωρήσωμεν τὸν κίνδυνον τῆς ἐν κόσμῳ περιφορᾶς καὶ τοῦ παρόντος αἰῶνος· φροντίσωμεν τῆς φρικιῆς ἀπαντήσεως· σπεύσωμεν πρὸ τοῦ κλεισθῆναι τὰς θύρας, καὶ προαποθέσωμεν τὸ ἔλαιον τῆς μετανοίας· ἵνα οὕτω ἕξωμεν τὴν ἀσφάλειαν καὶ τὸ φῶς τῆς μετανοίας διαμένει ἄσβεστον μέχρι τῆς ἡμέρας ἐκείνης τῆς ἐπιφανοῦς τοῦ Κυρίου.

## Εὐχαριστία πρὸς διδάσκαλον

Πολλάς σοι ὁμολογοῦμεν τὰς χάριτας ὅτι τοῦ κλαυθμυρισμοῦ με κατέπαυσας, καὶ τὸ λογικὸν γάλα τοῦ λόγου τοῖς ἀπεκδεχομένοις ἡμῖν καὶ τὴν θηλὴν τῆς σῆς σοφίας ἐχάλασας καὶ ἔθρεψας ἡμᾶς, τοὺς ἀπόρους καὶ πένητας τῷ λόγῳ καὶ τῇ ἀρετῇ καὶ τὸν πόθον σὺν τῷ καύσωνι ἔπαυσας.

## Ἱκετηρία πρὸς πλούσιον

Καθὼς ἐξ ἀρχῆς οὕτω καὶ εἰς τὸ ἑξῆς οἰκτείρησον καὶ ἐλέησον τοὺς πτωχοὺς καὶ ἀπόρους τούτους μοναχούς, ἵνα διὰ πολλῶν καὶ ποικίλων εὐχῶν τὴν ἐπωφελῆ καὶ πᾶσι χρήσιμόν σου ζωὴν ἄσειστον καὶ γαληνιῶσαν διατηρήσοι ὁ Κύριος.

— Τὶ ἐστὶ νέος; ὁ τὴν γνώμην ἄστατον κεκτημένος, καὶ ταῖς αὔραις τῆς νεότητος ῥιπιζόμενος· ἡ μὲν φύσις Πατέρα γνωρίζει τὸν πλάσαντα, ἡ δὲ προαίρεσις οὐ τιμᾷ τὸν ποιήσαντα.

## Εὐχὴ

Ὁ εἰδὼς τοὺς ἐκ βάθους καρδίας ἱκετεύοντας, ὁ βλέπων πλημμελοῦντας καὶ παραβλέπων ἁμαρτάνοντας, καὶ περιμένων αὐτῶν τὴν μετάνοιαν, συγχωρήσοι ὡς ἐζήτησας.

## Πρὸς φίλον ἵνα συγχωρήσῃ

Προσαγόρευσις

Ἀπλήστως σὲ καταφιλῶ τὸν πάλαι καὶ νῦν μοι ποθούμενον, καὶ συμβουλεύω σοι, ἵνα δώσῃς τὴν ἀγάπην τοῖς πλεῖστά σοι ἀδικήσασι, καὶ καταλλαγῇς τοῖς μετανοοῦσι πρὸς σέ, τὸν εὐκατάλλακτον Θεὸν ἐκμιμούμενος. Ἀσπάζομαί σε μετὰ τοῦ πρέποντος σχήματος, καὶ παρακαλῶ ἵνα συγχωρήσεως τεύξομαι παρὰ τῆς σῆς ἀδελφότητος καὶ ἀνεξικάκου ψυχῆς, ἐν οἷς σοι προσέκρουσα κατὰ περίστασιν ἀνθρώπινον· ἰδοὺ αὐτὸς ἐμαυτὸν ἀνακηρύττω, ἐμαυτὸν κατακρίνω, κατ᾽ ἐμαυτοῦ ἀποφαίνομαι.

Πάνυ ὀδυνῶμαι καὶ ἱδρῶτι περιρρέομαι, ἔχων μὲν τὴν προαίρεσιν πολλὴν πρὸς μικρὰν ἀμοιβὴν τῶν πρὸς ἐμὲ δωρημάτων σου καὶ ἡπλωμένην, τὴν δύναμιν δὲ ὁρῶν ἀσθενῆ καὶ κωλυομένην ὑπὸ τῆς τῶν προσηκόντων ἐλλείψεως.

Πανταχοῦ ὁ Θεὸς οὐ τόποις προσέχων ἀλλὰ γνώμαις εὐσεβῶν, καὶ ἐν κώμῃ καὶ ἐν πόλει καὶ ἐν ὄρεσιν οἰκεῖ, πάντα ἐφορᾷ.

## Λόγος ἐγκωμιαστικὸς πρὸς εὐχήν.

Ὥσπερ κεραμέως παρόντος, δυνατὸν ἐστι τὸ διαπεσὸν σκεῦος πάλιν ἀναπλασθῆναι, ὁ ἐκ τῆς Παναγίας Παρθένου δι᾽ ἣν βουληθεὶς προελθῆναι εἰς τὸν κόσμον διὰ φιλανθρωπίαν ὡς ἄνθρωπος, καὶ ἐν τῇ παρθενικῇ νηδύϊ τὸ γένος τῶν ἀνθρώπων ἀνανεώσας καὶ συγκαταβατικῶς ἣν ἔπλασεν ἀναχωνεύσας εἰκόνα καὶ καινῇ πλάσει θελήσας θεραπεῦσαι τὴν ἀρχαίαν διάπλασιν.

(Ἀκολουθεῖ)

---

ΕΚ ΤΗΣ ΣΥΛΛΟΓΗΣ ΣΠΥΡΙΔ. ΛΑΥΡΙΩΤΟΥ ΜΟΝΑΧΟΥ-ΙΑΤΡΟΥ

## ΑΠΟΦΘΕΓΜΑΤΑ ΦΙΛΟΣΟΦΙΚΑ

### Περί ἔρωτος καὶ περὶ μέθης

(Συνέχεια έκ τοῦ προηγουμένου)

—Ἡ τοῦ ἐραστοῦ ψυχὴ ἐν τῷ σώματί ἐστι τοῦ ἐρωμένου.

—Ἅδης καὶ ἔρως γυναικός, καὶ γῆ οὐκ ἐμπιμπλαμένη ὕδατος, καὶ ὕδωρ καὶ πῦρ οὐ μὴ εἴπωσιν ἀρκεῖ.

—Ἐὰν κάλλος σώματος ἑλκύσῃ τὴν καρδίαν σου, μνήσθητι τῆς δυσωδίας αὐτοῦ ὅταν ἀποθάνῃ καὶ ἀναπαύῃ.

—Ἔρως, μέθη, ζῆλος καὶ δαίμων ἴσα, οἷς ἂν προσέλθῃ, τὸ φρονεῖν ἀπέκλεισε. Μεθύων κυβερνήτης καὶ πᾶς παντὸς ἄρχων, ἀνατρέπει πάντα εἴτε ὅ,τι ποτὲ εἴη τὸ κυβερνώμενον ὑπ᾽ αὐτοῦ.

— Μέτρον ἄριστον τῆς χρήσεως τοῦ οἴνου ἡ χρεία τοῦ σώματος. Καθάπερ



πυρετοῦ παρελθόντος, ἡ ἐκ τοῦ πυρετοῦ μένει λύμη, οὕτω καὶ μέθης ἀπελθούσης, ἡ τῆς μέθης ζάλη καὶ ἐν τῇ ψυχῇ καὶ ἐν τῷ σώματι στρέφεται.

Τὰς ἑορτὰς μὴ οἰνοποσίαις ἐκτελεῖν ἐνοοῦ, ἀλλ᾽ ἀνακαινίσει νοὸς καὶ ψυχῆς καθαρότητι· γαστριζόμενος δὲ καὶ οἰνοποτῶν παροργίζεις μᾶλλον τὸν προεξάρχοντα τῆς πανηγύρεως.

### Περὶ παιδεύσεως

— Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται. Οἱ ἀπαίδευτοι μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρουσιν. Οὐκ ἔστιν ἀντάλαγμα πεπαιδευμένης ψυχῆς. Οὐδὲν ἐν ζώοις κάλλιστόν ἐστιν ὡς ἄνθρωπος παιδείᾳ κεκοσμημένος. Οὔτε ἐν ἰχθύσι, φυσίν, οὔτε ἐν ἀπαιδεύτοις ἀρετὴν δεῖ ζητεῖν.

### Περὶ ἐντολῆς

— Καλόν ἐστι μετὰ ὀλίγων συνετῶν ποιούντων τὸ θέλημα τοῦ Θεοῦ οἰκεῖν, καὶ μὴ μετὰ πολλῶν ἀσυνέτων καὶ καταφρονούντων τῶν ἐντολῶν τοῦ Κυρίου. Τέλος μὲν ἁμαρτίας θάνατος, τέλος δὲ ἐντολῆς Θεοῦ, ζῶν ὑπάρχει αἰών. Αἱ τοῦ Θεοῦ ἐντολαὶ ὑπὲρ πάντας τοὺς θησαυροὺς τοῦ κόσμου, καὶ ὁ ταύτης κτησάμενος ἐντὸς αὐτοῦ εὑρήσει τὸν Κύριον. Νοῦς πεφωτισμένος, λόγους προφέρει σοφούς, καὶ ψυχὴ καθαρὰ λογισμοὺς γεωργεῖ θείους. Σῶμα μεγάλως ἀσθενοῦν τὰ λιπώδη τῶν βρωμάτων ἀποστρέφεται καὶ μυσᾶται· καὶ νοῦς ἐν κοσμικοῖς πράγμασι ἀσχολούμενος, οὐ δύναται προσεγγίσαι τῇ ἐξερευνήσει τῶν θείων. Νοῦς ἐγκρατοῦς ναὸς ἁγίου Πνεύματος, ὁ δὲ νοῦς γαστριμάργου, κατοικητήριον κοράκων. Διὰ τοῦ νοῦ τὸν Θεὸν καὶ χωρεῖν καὶ ἰδεῖν δυνάμεθα. Ἐν θορυβουμένῳ καὶ ἀγωνίως ἔχοντι νῷ, οὔτε ἔννοιά τις τῶν καλῶν οὔτε Θεοῦ χάρις ἐγγίνεται. Ὥσπερ ὁ κηπουρὸς μὴ ἐπαίρων τὰς ἀγρίας βοτάνας ἀποπνίγει τὰ ἥμερα λάχανα, οὕτω καὶ ὁ νοῦς μὴ καθαίρων τοὺς λογισμούς, ἀπόλλυσι τοὺς πόνους.

### Περὶ γήρως

Τοὺς αἰῶνα πολὺν ζήσαντας δίχα καλοκαγαθίας, πολυχρονίους παῖδας λεκτέον,

Γῆρας ἐπὰν μὲν ἀπῇ πᾶς εὔχεται· ἐάν σού ποτε ἔλθῃ μέμφεται, ἔστι δὲ ἀεὶ κρεῖσσον ὀφειλόμενον. Θρὶξ λελευκαμένη, τὴν ἐντεῦθεν ἀποδημίαν βοᾷ καὶ διαμαρτύρεται.

### Περὶ παίδων

Φίλα πατέρων τὰ τῶν νηπίων ψελλίσματα. Ἄρχεσθαι μᾶλλον ἢ ἄρχειν τῷ νέῳ λυσιτελέστερον. Ἀλλότριον κτῆμα θυγάτηρ πατρί.

Θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον.

Γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υἱόν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ τὴν θυγατέρα του.

Προὶξ πολλὴ τέκνα βελτίονα οὐ ποιεῖ.

### Περὶ ἁμαρτίας

Βαρὺ γὰρ βαρὺ ἡ ἁμαρτία καὶ φορτικόν, ἢ μολύβδου παντὸς φορτικώτερον.

Ἁμαρτάνων μακρὰ γίνεται τοῦ Θεοῦ οὐ τόπῳ ἀλλὰ τρόπῳ. Οἱ ἐν ἁμαρτίαις ζῶντες, κἂν ζῶσιν ἀπέθανον· οἱ δὲ ἐν δικαιοσύνῃ κοιμηθέντες, κἂν ἀπέθανον ζῶσι.

Οὐδεὶς θέλει ἁμαρτῆσαι εἰς Θεόν, ἀλλὰ πάντες ἀπατώμεθα. Ὥσπερ τὰς μελίσσας καπνὸς φυγαδεύει καὶ τὰς περιστερὰς ἐξελαύνει δυσωδία· οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον, ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία. Τὸ μὲν ἀγαπᾶν τοὺς μισοῦντας ἀρετῆς καὶ θεῖον, τὸ δὲ τοὺς ἀγαπῶντας ἀνθρώπινον καὶ κοινόν, τὸ δὲ μισεῖν καὶ τοὺς ἀγαπῶντας, οὐδὲ θηρίων.

### Περὶ ἀγάπης

Ὁ ἀγαπῶν τὸν Θεὸν ἀγγελικὸν βίον ἐπὶ γῆς ζῇ. νηστεύων καὶ ἀγρυπνῶν καὶ ψάλλων καὶ προσευχόμενος καὶ περὶ παντὸς ἀνθρώπου καλὰ λογιζόμενος πάντοτε.

Ὁ τῆς ἀγάπης ἐστερημένος ἐστέρηται τοῦ Θεοῦ εἴπερ ὁ Θεὸς ἐστὶν ἡ ἀγάπη. Ἐν μὲν τοῖς ἄλλοις πᾶν μέτρον ἄριστον, ἐν δὲ τῇ ἀγάπῃ ὁ τὸ πλοῖον ἔχων θεοφιλέστατος. Ὥσπερ μνήμη πυρὸς οὐ θερμαίνει τὸ σῶμα, οὕτω πίστις ἄνευ ἀγάπης οὐκ ἐνεργεῖ εἰς τὴν ψυχὴν τὸν τῆς γνώσεως φωτισμόν. Ὥσπερ ἀπὸ τῶν ὑγιαινόντων ἀπαιτεῖ ὁ Θεὸς τὴν νηστείαν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀπὸ δὲ τῶν νοσούντων τὴν εὐχαριστίαν, οὕτω καὶ ἀπὸ μὲν τῶν ἐχόντων τὴν μετάδοσιν, ἀπὸ δὲ τῶν μὴ ἐχόντων τὴν ἀγάπην. Ἀγάπησον τοὺς ἁμαρτωλούς, μίσησον δὲ τὰ ἔργα αὐτῶν, καὶ μὴ καταφρονήσῃς αὐτῶν διὰ τὰ ἐλαττώματα αὐτῶν, μήποτε καὶ σὺ πειρασθῇς, ἐν οἷς εἰσὶν οὗτοι. Ὥσπερ γὰρ ψυχὴ ἄνευ σώματος οὐ καλεῖται ἄνθρωπος, οὐδ᾿ αὖ σῶμα ἄνευ ψυχῆς· οὕτως οὐδὲ ἀγάπη πρὸς Θεὸν ἐὰν μὴ ἔχῃ ἀκόλουθον καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην.

(Ἀκολουθεῖ)

---

ΣΑΒΒΑ ΜΟΝΑΧΟΥ ΦΙΛΟΘΕΪΤΟΥ(1)

## ΠΕΡΙ ΤΑΞΕΩΣ

### Τί εἶναι τάξις;

Τάξις εἶναι ἡ κατὰ σειρὰν κατάταξις καὶ τοποθέτησις οἱουδήτινος ἔργου, τὸ ὁποῖον ὑποβάλλει ἡ καλαισθησία, ἡ λογικότης, καὶ προσδιορίζει ὁ ἁρμόδιος καιρός, εἰς ὃν δέον νὰ ἐκτελῆται πᾶσα ἁρμόζουσα ἐργασία. «καιρὸς παντὶ πράγματι, τῷ ὑπὸ τὸν οὐρανόν». (Ἐκκλησιαστής).

(1) Εἶναι λίαν τιμητικὸν διὰ τοὺς Ἁγιορείτας, ἔχοντας εἰς τὴν στρατιάν των τοιούτους μοναχούς, οὐχὶ λογίους, ἀλλὰ ἐργάτας τοῦ Χριστοῦ. Οἱ λόγιοι εἶναι πολλοί, δὲν ἔχουν ὅμως ὄρεξιν καὶ θέλησιν νὰ ἐργασθοῦν. Λόγιοι, ὡς ὁ Σπυρίδων Λαυριώτης, Σάββας Φιλοθεΐτης καὶ μερικοὶ ἄλλοι, πρέπει νὰ εἶναι τὸ καύχημα εἰς ὅλον τὸ μοναχικὸν Ἁγιορειτικὸν τάγμα. Ἐὰν καὶ ἄλλοι μοναχοὶ ἢ κληρικοὶ εἰργάζοντο κατ᾿ αὐτὸν τὸν τρόπον, δὲν θὰ εὑρίσκοντο ἔνιοι τῶν ἐν τῷ κόσμῳ ἀνθρώπων νὰ καταφέρωνται ἐναντίον τῆς ὁλότητος τῶν μοναχῶν, κακοβούλως καὶ σατανικῶς βέβαια, καὶ νὰ κατηγοροῦν αὐτοὺς ὡς ῥαθύμους καὶ ἀμελεῖς, ἐλθόντας εἰς ἅγιον ὄρος διὰ κάθε ἄλλον σκοπὸν παρὰ διὰ τὴν σωτηρίαν τῆς ψυχῆς των.

### Εἰς ποίους ἁρμόζει καὶ ἐπιβάλλεται ἡ τάξις.

Ἡ τάξις ἁρμόζει εἰς τὰ Βασίλεια, εἰς τὰ Ὑπουργεῖα, εἰς τὰ Δικαστήρια, εἰς τὸν Στρατόν, εἰς τὰ Σχολεῖα, εἰς τὰς Ἐκκλησίας, εἰς τὰς τέχνας, εἰς τὴν οἰκογένειαν, καὶ ἐν γένει εἰς ὅλην τὴν κοινωνίαν.

Ἐὰν θὰ λείψῃ ἡ τάξις ἀπὸ οἱονδήποτε ἐξ ὅσων ἀνεφέραμεν, εἴτε ἐκ τοῦ Στρατοῦ, εἴτε ἐκ τοῦ Σχολείου, εἴτε ἐκ τῆς Ἐκκλησίας, εἴτε ἔκ τινος Κοινότητος, τὴν τάξιν θὰ διαδεχθῇ ἡ ἀταξία, ἡ χασμωδία, ἡ ταραχή, ἡ χαλαρότης καὶ ἐπὶ τέλους ἡ διάλυσις αὐτοῦ τοῦ ἔργου τῆς οἱασδήποτε Κοινότητος.

Διὰ τοῦτο ὁ Πάνσοφος Ἀρχιτέκτων Θεὸς ἐν τῇ πανσόφῳ Αὐτοῦ δημιουργίᾳ, θέλων νὰ διδάξῃ εἰς τὸν ἄνθρωπον, τὸ τελειότερον πάντων τῶν δημιουργημάτων Αὐτοῦ, ὅτι πᾶν ἔργον αὐτοῦ (τοῦ ἀνθρώπου) εἴτε διανοητικὸν εἴτε σωματικόν, δέον νὰ διευθύνηται διὰ τῆς ὑπὸ τοῦ λογικοῦ διευθυνούσης εὐταξίας, ἐδημιούργησε τὸν κόσμον μετὰ τοσαύτης σοφίας, συνέσεως καὶ εὐταξίας.

Ποιεῖ πρῶτον τὸν οὐρανὸν καὶ διακοσμεῖ τοῦτον διὰ πάντων τῶν φεγγοβόλων οὐρανίων σωμάτων, τοῦ ἡλίου, τῆς σελήνης καὶ τῶν ἀναριθμήτων ἀστέρων. Δημιουργεῖ τοὺς Ἀγγέλους, τὰ φωτεινὰ καὶ ἄϋλα ταῦτα πνεύματα, καὶ κατατάσσει αὐτοὺς εἰς διάφορα τάγματα.

Δημιουργεῖ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτῇ· δημιουργεῖ τὰ ζῷα, τὰ φυτά, τὰ δένδρα καὶ πᾶσαν τὴν φύσιν μετὰ τοσαύτης σοφίας καὶ τάξεως· τελευταῖον



πάντων τῶν κτισμάτων πλάττει τὸν ἄνθρωπον, τὸ τελειότερον καὶ θαυμασιώτερον τοῦτο ποίημα πάντων τῶν ἐπὶ γῆς ποιημάτων Αὐτοῦ. Τελευταῖον δὲ πάντων ποιεῖ αὐτόν, ἵνα ἀτενίζων τοῖς ὀφθαλμοῖς αὐτοῦ εἰς πάντα τὰ κτίσματα τά τε οὐράνια καὶ ἐπίγεια καὶ στοχαζόμενος τὴν θαυμασίαν καὶ ἐξαισίαν διακόσμησιν πάντων τῶν ὄντων (ποιημάτων) δοξάζῃ καὶ εὐλογῇ τὸ ὄνομα τοῦ Πανσόφου καὶ Ὑπερτελείου Ποιητοῦ καὶ Δημιουργοῦ Θεοῦ. Πλάττει τὸν ἄνθρωπον μετὰ τοσαύτης σοφίας καὶ τελειότητος· προικίζει αὐτὸν μὲ τόσα ἄφθονα χαρίσματα καὶ πλουτίζει αὐτὸν μὲ τόσα ἀναρίθμητα προσόντα καὶ προτερήματα ἔμφυτα καὶ ἐπίκτητα. Θέτει ἐν αὐτῷ ψυχὴν ἄϋλον καὶ ἀθάνατον, κατ᾿ εἰκόνα Αὐτοῦ καὶ ὁμοίωσιν.

Ποιεῖ τοῦτον βασιλέα καὶ ἐξουσιαστὴν πάσης τῆς ὁρατῆς ταύτης κτίσεως, ἵνα ἐξουσιάζῃ καὶ διακυβερνᾷ ἅπαντα τὸν ὁρατὸν τοῦτον κόσμον. Τώρα ἀτένισον εἰς τὸν ἄνθρωπον, οὐχὶ εἰς τὴν πνευματικὴν αὐτοῦ διακόσμησιν διότι αὕτη χρῄζει νοεροὺς ὀφθαλμοὺς καὶ ἐπιστημονικὰς γνώσεις, ἀλλὰ μόνον εἰς τὴν σωματικὴν αὐτοῦ εὐαρμοστίαν καὶ ὡραιότητα καὶ ἴδε τὴν θαυμαστὴν ἀρτιότητα πάντων τῶν μελῶν τοῦ σώματος. Εἰς τὸ ἄνω μέρος τοῦ σώματος, ἐν τῇ κεφαλῇ δηλαδή, θέτει τὰ κυριώτερα ὄργανα· τοὺς ὀφθαλμοὺς διὰ νὰ βλέπῃ, οὓς περιφρουρεῖ καὶ προφυλάττει διὰ τόσων προφυλακτικῶν μέσων, τὰ ὦτα διὰ νὰ ἀκούῃ, τὸ στόμα διὰ νὰ ὁμιλῇ καὶ ἐκφράζηται τὰ ὑπὸ τοῦ νοός προστασσόμενα. Εἶτα τὰς χεῖρας νὰ ἐργάζηται, τοὺς πόδας νὰ περιπατῇ καὶ ἄλλα τόσα χρήσιμα μέλη, ἅπερ δὲν εἶναι τῆς παρούσης ὑποθέσεως ν᾿ ἀπαριθμῶμεν καὶ ἐξετάζωμεν καὶ ἐπὶ πᾶσι τούτοις τὸν νοῦν ἐπὶ τῆς κεφαλῆς ὡς ἡγεμόνα καὶ κυβερνήτην, ἵνα διατάσσῃ μετὰ λογικότητος καὶ εὐταξίας πρὸς ἐνέργειαν πάντα τὰ μέλη τοῦ σώματος. «Ὢ βάθος πλούτου, σοφίας καὶ γνώσεως Θεοῦ!» Καὶ μετὰ τὸ τέλος τῆς δημιουργίας του «εἶδεν ὁ Θεὸς καὶ ἰδοὺ τὰ πάντα καλὰ λίαν». Ὕψωσον τώρα σύ, ὦ φίλε, τοὺς ὀφθαλμούς σου πρῶτον εἰς τὸν οὐρανὸν καὶ ἴδε τὴν ἄπειρον σοφίαν τοῦ Δημιουργοῦ διὰ τὴν ἀνερμήνευτον καὶ θαυμασιωτάτην κατάταξιν ἑνὸς ἑκάστου ἐκ τῶν οὐρανίων ὑπερλάμπρων καὶ φεγγοβόλων σωμάτων, ἡλίου, λέγω, σελήνης καὶ ἀστέρων· πῶς ὄντα ἑκατομμύρια (ἀστέρες) τῷ πλήθει καὶ ἕκαστον ἐξ αὐτῶν ποιεῖ τὴν τροχιὰν καὶ κίνησιν αὐτοῦ τακτικῶς καὶ ἀπαρεγκλίτως, ἄνευ τινὸς συγκρούσεως ἀλλήλων ἐπὶ τόσους αἰῶνας· (ἀφίνομεν τὴν ἑρμηνευτικὴν ἐξέτασιν ἑνὸς ἑκάστου ἐξ αὐτῶν εἰς τοὺς φυσικοεπιστήμονας τοὺς εἰς τὰ τοιαῦτα ἀσχολουμένους).

Καταβίβασον τώρα τοὺς ὀφθαλμούς σου ἐπὶ τῆς γῆς, καὶ ἐξέτασον ταύτην διὰ τοῦ νοός σου ὑφ᾿ ὅλας τὰς ὄψεις καὶ ἰδιότητας αὐτῆς, καὶ ὑπὸ τὰς τέσσαρας ὥρας τοῦ ἔτους· ἀνοίξεως, θέρους, φθινοπώρου καὶ χειμῶνος. Ἡ ἄνοιξις, ἐμφανιζομένη μὲ τὰ ποικιλόχρωμα καὶ εὐωδέστατα ἄνθη, εὐωδιάζει καὶ τέρπει τὸν ὁρατὸν τοῦτον Κόσμον. Τὸ θέρος μὲ τοὺς ὡραιοτάτους καὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γλυκυτάτους καρποὺς ἀνακουφίζει καὶ εὐφραίνει πάντα τὰ ἐν τῇ ζωῇ ὄντα. Τὸ φθινόπωρον μὲ τὴν δροσερότητα καὶ ἑσπεριδοειδεῖς καρποὺς καταγλυκαίνει τοὺς μεταλαμβάνοντας· ὁ χειμὼν μὲ τὴν μελαγχολίαν, τοὺς παγετοὺς καὶ τὸ χιονοσκεπὲς τῶν ὀρέων παρέχει θέαμα λαμπρότατον. Ποῦ βλέπεις ἀνωμαλίαν; τὰ πάντα τέρψιν, τὰ πάντα χαράν, τὰ πάντα θαυμασμόν, τὰ πάντα ἔκπληξιν ποιοῦσι, καὶ παρακινοῦσι τὸν θεατὴν ἵνα μετὰ τοῦ Προφητάνακτος ἀναφωνήσῃ «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν Αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα». καὶ «ὡς ἐμεγαλύνθη τὰ ἔργα Σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.» (Ψαλμ. ΡΓ'. 26).

Ὅθεν, ὦ φίλε, βλέπων τὴν θαυμασιωτάτην ταύτην εὐταξίαν τὴν ὑπὸ τοῦ Δημιουργοῦ ἐντεθεῖσαν εἰς πάντα τὰ ποιήματά του, εὐλαβούμενος τὴν πανσοφίαν Αὐτοῦ, ἐξ ὅλης τῆς καρδίας σου ἀγάπησον καὶ σὺ τὴν εὐταξίαν, καὶ βάλε τάξιν καὶ σειρὰν εἰς πάσας τὰς ἐργασίας σου· πολὺ δὲ περισσότερον εἰς τὴν ἐκκλησίαν. τὸν ναὸν τοῦ Κυρίου· ἐὰν μὲν τυγχάνῃς ἐκκλησιάρχης ὑπηρετῶν καὶ φιλοκαλῶν τοῦτον διὰ τῆς τακτικῆς καὶ θεαρέστου ὑπηρεσίας σου, εἰ δὲ ἱερεὺς λειτουργῶν καὶ ἐκτελῶν τὰ θεῖα Μυστήρια μετὰ πάσης εὐταξίας καὶ φόβου Θεοῦ, ἵνα ἵλεων ποιήσῃς τὸν πολυεύσπλαγχνον καὶ Πανικτοίρμονα Θεὸν διὰ τὰς ἁμαρτίας σου, καὶ ἀκούσῃς καὶ σὺ παρ' Αὐτοῦ τό, «εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σὲ καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου». Ἀμήν. (Ματθ. ΚΕ' 21, 23).

ΤΟ ΔΙΗΓΗΜΑ ΜΑΣ

## Η ΡΟΖΑ ΤΟΥ ΤΑΝΝΑΝΒΟΥΡΓΟΥ

### ΚΕΦΑΛΑΙΟΝ Α.'

### Η ΡΟΖΑ ΑΝΑΤΡΕΦΟΜΕΝΗ ΥΠΟ ΚΑΛΗΣ ΜΗΤΡΟΣ

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

Ὅταν αὕτη δὲν ἠδύνατο νὰ ἐπιτρέψῃ τι πρὸς τὴν Ῥόζαν της, τὸ ἠρνεῖτο εἰς αὐτὴν μὲ τρόπον σύντομον καὶ ἀποφασιστικόν. Καθὼς ὅλα τὰ παιδία δοκιμάζουσι νὰ ἀποκτήσωσι τὸ ἀντικείμενον τῶν ἐπιθυμιῶν των μετὰ δακρύων καὶ παρακλήσεων, οὕτω καὶ ἡ μικρὰ Ῥόζα ἐφέρετο· ἀλλὰ πάραυτα παρατηροῦσα ὅτι μία ἄρνησις τῆς μητρός της ἰσοδυνάμει μὲ πολλὰς αὐτῆς παρακλήσεις, ἀνεγνώριζεν ὅτι τὰ δάκρυα καὶ αἱ παρακλήσεις ἦταν ἀνωφελεῖς, καὶ ἔπαυε νὰ καταφεύγῃ εἰς ταῦτα Καθ' ἑκάστην ἡ μήτηρ της τὴν ἐσυνείθιζε διὰ μικρῶν δοκιμῶν νὰ ὑποκούῃ καὶ νὰ νικᾷ τὰς ὁρμάς της. Πᾶν ὅ,τι διέταττεν ἔπρεπε νὰ ἐκτελῆται τὴν ἰδίαν στιγμήν· πᾶσα ἄλλη ἀσχολία, πᾶν παιγνίδιον ἀνεβάλλετο· ἄνευ τῆς συγκαταθέσεώς της οὔτε ἄνθος, οὔτε καρπὸς ἠδύναντο νὰ συναχθῶσιν ἐκ τοῦ κήπου· ἀλλ' ἀφ' ἑτέρου, ἡ Ματθίλδη ἐφρόντιζε νὰ μὴ ἐπαναλαμβάνῃ πολλάκις τὰς ἀπαγορεύσεις καὶ τὰς προσταγάς της πρὸς τὴν Ῥόζαν. Δὲν ἠδύνατο νὰ ὑποφέρῃ τὴν σταθερὰν θέλησιν, τὴν ἐπιμονὴν καὶ τὴν ἐπανάληψιν τῶν παιδίων εἰς τὸ ἀρέσκον αὐτοῖς, καθ' ὅσον ἡ τοιαύτη ἄσκεπτος ἀπαίτησις ἐξησθένει τὸ ἀποτέλεσμα τῶν προτροπῶν, τὰς ὁποίας τις διευθύνει τις. «Ὀλίγαι διαταγαί, εἶπεν, ἀλλ' ἀκριβῶς νὰ ἐκτελῶνται. Διὰ νὰ καταστήσῃ τοὺς ἀνθρώπους καλοὺς καὶ εὐτυχεῖς ὁ Θεός, τοῖς ἔδωκε μόνον δέκα ἐντολάς, τὰς ὁποίας ἂν ἠκολούθουν σταθερῶς, ἤθελον δυνηθῆ νὰ διέλθωσι πολλοὺς ἄλλους νόμους».

Ἡ σοφὴ αὕτη μήτηρ Ματθίλδη εἶδε καλῶς ὅτι ἀνταμοιβαὶ καὶ τιμωρίαι ἦσαν ἀναγκαῖαι διὰ νὰ ἐγκαρδιώσωσι τὰ



παιδία εἰς τὴν ὑπακοὴν καὶ διὰ νὰ τὰ ἀποτρέψωσιν ἀπὸ τὴν ἀπείθειαν. Αὕτη ἐστοχάζετο ὅτι ὁ Θεὸς ἐνεργεῖ ὁμοίως καὶ εἰς ἡμᾶς τοὺς κρίσιν ἔχοντας. Ἦτο εὐτυχὴς ὅταν ἠδύνατο νὰ δώσῃ εἰς τὴν προσφιλῆ αὐτῆς Ῥόζαν τοὺς ὡραιοτέρους καρποὺς τοῦ κήπου, ἀλλ' ἔπρεπε νὰ φαίνεται ἀξία αὐτῶν. Διὸ ἡ Ματθίλδη ἔλεγεν: «Ἰδὲ τὰ ὡραῖα ταῦτα κεράσια, θύγατέρ μου, ἀνήκουσιν εἰς σὲ ἐὰν ἠξεύρῃς νὰ ἐκστηθήσῃς ἀλανθάστως τοὺς στίχους, τοὺς ὁποίους μέλλω νὰ σοὶ ἀναγνώσω· ἢ μᾶλλον ἀσχολουμένη πλέκουσα, θέλεις ἔχει τὴν σταφυλὴν ταύτην ἅμα τὸ ἔργον σου ἀποπερατώσῃς».

(Ἀκολουθεῖ)

---

Οἱ ἀποστείλαντες ἐσχάτως τὰς συνδρομάς των.

**Τοῦ α'. ἔτους**

Μητροπολίτης Κασσανδρείας κ. κ. ΕΙΡΗΝΑΙΟΣ 3 συνδρομάς. Πολύγυρος
Ἀρχιμανδρίτης κ. Σπυρίδων Κροκίδας Κέρκυρα
Ι. Μονὴ Ἀπεζανῶν Κρήτη
Ι. » Ἀρσανίου »
Ι. » Ἁγίας Τριάδος Καλαμπάκα
Ι. Ναὸς Τιμίου Προδρόμου Νιάου

**Τοῦ β'. ἔτους**

Παναγιώτης Σκαρπέτης Βλωβοκᾶ—Αἰγιαλείας.

---

## ΔΗΛΩΣΙΣ

Εἰς τοὺς ζητοῦντας τεύχη ἀπὸ 1 Ἰανουαρίου διὰ νὰ ἔχωσι σειρὰν ἀπὸ τὴν 1ην τοῦ ἔτους, δηλοῦμεν ὅτι ἡ πρωτοχρονιὰ διὰ τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην», ὡς περιοδικοῦ κατ' ἐξοχὴν Ἐκκλησιαστικοῦ, εἶναι ἡ ἀρχὴ τῆς Ἰνδίκτου, 1ης Σεπτεμβρίου.

Ὡσαύτως τὰ τεύχη ἀπὸ τοῦ Σεπτεμβρίου 1936 μέχρι τοῦ Φεβρουαρίου 1937 ἔχουν ἐξαντληθῆ, πλὴν ὀλίγων σειρῶν, ἃς ἔχομεν δεδεμένας καὶ τὰς ὁποίας βλέπει ὁ ἀναγνώστης εἰς τὸν ὄπισθεν τοῦ τεύχους κατάλογον.

## ΠΑΡΑΚΛΗΣΙΣ

Παρακαλοῦνται καὶ αὖθις οἱ κ. κ. συνδρομηταί, ὅπως ἀποστείλωσιν ἡμῖν τὴν συνδρομήν των τοῦ πρώτου ἔτους ἐκ δραχμῶν 120. Μᾶς καθυστεροῦνται πλέον τῶν 3)4 τῶν συνδρομῶν, ὥστε εὐκόλως δύναταί τις νὰ ἐννοήσῃ ὅτι δυσχεραίνεται πολὺ τὸ ἔργον τῆς ἐκδόσεως.

Εἶναι ἀληθὲς ὅτι οἱ κ. κ. συνδρομηταὶ φαντάζονται ὅτι θὰ σταλῇ ἀντιπρόσωπος ἡμῶν πρὸς εἴσπραξιν τῶν συνδρομῶν των, ὅπως γίνεται σχεδὸν εἰς ὅλα τὰ περιοδικά. Δυστυχῶς ὅμως δι' ἡμᾶς δὲν εἶναι εὔκολον τοῦτο, διότι ἡ διάδοσις τούτου εἶναι ἀκόμη πολὺ μικρά, σχεδὸν εἰς τὰ σπάργανα, ὥστε νὰ μὴ δυνάμεθα νὰ πέμψωμεν τοιοῦτον ἀντιπρόσωπον. Πλὴν αὐτῶν, κινούμεθα ἀπὸ τὸν ζῆλον τοῦ νὰ φέρωμεν εἰς φῶς τοὺς θησαυροὺς τοῦ ἁγίου Ὄρους, χωρὶς νὰ ἔχωμεν οὐδεμίαν χρηματικὴν ἐπιχορήγησιν ἀπὸ οὐδένα, ἀλλὰ περιμένομεν πρωτίστως ἀπὸ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἀπὸ τὴν συνδρομὴν τῶν ὀλίγων συνδρομητῶν, οἵτινες, ἐὰν ἀρνηθοῦν νὰ μᾶς πληρώσουν, θὰ φέρουν ὅλην τὴν εὐθύνην ἀπέναντι τοῦ Θεοῦ, ἀφ' ἑνὸς μὲν διὰ τὴν ζημίαν ἡμῶν, ἀφ' ἑτέρου δὲ διὰ τὴν διακοπὴν τῆς ἐκδόσεως.

Περιμένομεν λοιπὸν ἀπὸ ὑμᾶς, ὄχι μόνον τὴν ἀποστολὴν τῆς συνδρομῆς σας, ἀλλὰ καὶ πᾶσαν τὴν δυνατὴν ἐνίσχυσιν διὰ τὴν ἀπρόσκοπτον ἔκδοσιν τοῦ περιοδικοῦ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης».

**Ἡ Διεύθυνσις**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΙΜΟΚΑΤΑΛΟΓΟΣ ΒΙΒΛΙΩΝ

Εὑρισκομένων παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Ν. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλομένων ἐλευθέρων ταχυδρομικῶν τελῶν.

**“ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ„**

ΕΤΟΣ Α.΄

Ὑπάρχουν μόνον 15 τόμοι συμπεπληρωμένοι πανόδετοι δραχ. 250
Ἀπὸ τὸ τεῦχος τοῦ Ν)βρίου-Αὐγούστου τόμοι 12 ἄδετοι » 150
Ἀπὸ τὸ τεῦχος τοῦ Δ)βρίου-Αὐγούστου τόμοι 6 ἄδετοι » 130
Ἀπὸ τὸ τεῦχος τοῦ Ἰαν)ρίου-Αὐγούστου τόμοι 19 ἄδετοι » 120
Ἀπὸ τὸ τεῦχος τοῦ Φ)ρίου-Αὐγούστου τόμοι 7 ἄδετοι » 1 0
Μάρτιος. Κανόνες Χρυσοστόμου » 10
Ἀπρίλιος. Ἀκολουθία Ἁγ. Λέοντος καὶ Ζωοδόχου Πηγῆς » 10
Μάϊος. Ἀκολουθία Ἁγ. Βενιαμὶν τοῦ Πέρσου » 10
Ἰούνιος. Κανόνες Ἰω. Προδρόμου » 10
Ἰούλιος. Ἀκολουθία Συμεὼν τοῦ Θεοδόχου » 10
Αὔγουστος. Ἀκολουθία Ἁγ. Παρασκευῆς » 10
Θέατρον Πολιτικὸν ὑπὸ Ν. Μαυροκορδάτου σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 75
πανόδετον » 100
δερμάτινον » 125
(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)
Ἐγκόλπιον Χριστιανοῦ ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 15
Συμβουλευτικὸν ἐγχειρίδιον ὑπὸ Νικοδήμου Ἁγιορείτου
ἄδετον » 50
πανόδετον » 70
Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ ὑπὸ Ἰωάν. Δαμασκηνοῦ
ἄδετον » 40
πανόδετον » 60
Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς ὑπὸ Φιλοθέου Ζερβάκου Ἀρχιμανδρίτου » 15
Ἀκολουθία τοῦ Ἁγίου Γερασίμου τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10
Ἱστορικὴ μελέτη τῆς Ἱ. Μονῆς Ἁγ. Παντελεήμονος ὑπὸ Δανιὴλ μοναχοῦ » 10
Ἐκκλησιαστικοὶ Νόμοι. Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησιαστικοὺς ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 50
Ἑρμηνεία τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 256
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 400
Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ Ἑορτοδρομίου τοῦ αὐτοῦ τόμοι 3 » 150
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 300
Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ, Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον » 28
Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ. ὑπὸ στεφάνου Παπαδημητρίου » 25
Ἡ Ζωὴ τῆς ψυχῆς τοῦ αὐτοῦ (ἄρτι ἐκδοθὲν) » 12
Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ, Ι. Βουνιάνου » 25
Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας » 20
Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ: Τὸ περίφημον δραματικὸν ἔργον τῆς γερμανίδος συγγραφέως Καρλόττας Pfeiffer, μεταφρασμένον μὲ πολλὴν εὐσυνειδησίαν. Βιβλίον ἐξόχως διδακτικὸν καὶ ἀριστούργημα ἀπὸ λογοτεχνικῆς ἀπόψεως » 15
δεδεμένον » 25
Μαργαρῖται Χρυσοστόμου » 60
πανόδετον » 80
δερμάτινον » 105
Ἀποστολικὴ Σαγήνη ἄδετον » 65
πανόδετον » 95
δερμάτινον » 120
Ἀκολουθία τῆς Θείας Μεταλήψεως » 3

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία.

ΣΗΜ. Δεχόμεθα παντὸς εἴδους θρησκευτικὰ βιβλία πρὸς πώλησιν.



ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΤΟΣ Β.΄ ΑΡΙΘ. 16
ΙΔΡΥΤΗΣ: ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ - ΙΑΤΡΟΣ


# ΚΑΝΟΝΕΣ ΚΑΤ' ΗΧΟΝ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΚΑΙ ΙΑΜΑΤΙΚΟΝ
# ΠΑΝΤΕΛΕΗΜΟΝΑ

ΠΟΙΗΜΑ ΙΩΣΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ

ΜΕΤΑ ΧΑΙΡΕΤΙΣΜΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ

Ἀντιγραφέντες ἐκ τοῦ Κώδικος Β4 τοῦ ἑνδεκάτου αἰῶνος τῆς Λαυρεωτικῆς βιβλιοθήκης καὶ ἀποσταλέντες ἡμῖν πρὸς ἔκδοσιν ὑπὸ τοῦ μοναχοῦ

ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ ΛΑΥΡΙΩΤΟΥ

ΒΙΒΛΙΟΦΥΛΑΚΟΣ ΤΗΣ ΜΟΝΗΣ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται


ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΔΕΚΕΜΒΡΙΟΣ 1937

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

Οἱ παρόντες ὀκτὼ κανόνες τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος, ἀντιγραφέντες ἐκ τοῦ κώδικος Β4 τοῦ ἑνδεκάτου αἰῶνος τῆς Λαυριωτικῆς Βιβλιοθήκης, φέρουσιν ἅπαντες ἀκροστιχίδα ὡς ἕπεται:

Οἱ μὲν ἓξ φέρουσιν ἀκροστιχίδα τὰ 24 γράμματα τοῦ Ἀλφαβήτου, εἰς τὸ τέλος τοῦ ὁποίου, ὁ εἰς ἦχον α΄. «Αὕτη ᾠδὴ Ἰωσήφ». Ὁ εἰς ἦχον β΄ μετὰ τὸ τέλος τοῦ Ἀλφαβήτου «Ἆσμα Ἰωσήφ». Ὁ εἰς ἦχον γ΄. «Ἔπος Ἰωσήφ». Ὁ εἰς ἦχον δ΄. «Δέησιν οἰκ(τ)ρὰν Πα[ντελεῆμο]ν δέχου. Ἰωσήφ». Τῶν ἐντὸς παρενθέσεων στοιχείων ἐλλείπουσι τὰ τροπάρια, ἐλλείποντος ἑνὸς φύλλου ἐκ τοῦ κώδικος. Ὁ εἰς ἦχον πλ. α΄. λήγοντος τοῦ ἀλφαβήτου «Ἆσμα Ἰωσήφ». Ὁ εἰς πλ. β΄. «Ἔπος Ἰωσήφ». Ὁ εἰς ἦχον βαρὺν «Ἔπος Ἰωσήφ». Καὶ ὁ εἰς ἦχον πλ. δ΄. «Αὕτη δέησις ὀ(γ)δόη σοι παμμάκαρ· τοῦ Ἰωσήφ».

Προσετέθησαν καὶ δύο κανόνες ἀδήλου ποιητοῦ (1), εἰς τὸν Αὐτοκράτορα Νικηφόρον Φωκᾶν, κτίτορα τῆς ἐν Ἄθῳ Ἱερᾶς Μονῆς Μεγίστης Λαύρας, ἐκ τοῦ αὐτοῦ κώδικος ἀντιγραφέντες μετὰ προσομοίων κλπ.

Ἐν τῇ Ἱερᾷ καὶ Σεβασμίᾳ Μονῇ Μεγίστης Λαύρας τοῦ ἁγ. Ἀθανασίου, τῇ 1ῃ Ἰουνίου 1937.

**Γέρων Παντελεήμων Λαυριώτης.**

(1) Ἢ μᾶλλον ποιητῶν, πληθυντικῶς, καθότι εἰς δύο ποιητὰς ἀνήκουσι καὶ οὐχὶ εἰς ἕνα, ὡσαύτως καὶ τὰ προσόμοια. Πάντως οἱ ποιηταὶ τῶν κανόνων τούτων θὰ ἦσαν μοναχοὶ τῆς Λαύρας, κινηθέντες πρὸς τοῦτο ἐξ εὐγνωμοσύνης πρὸς τὸν εὐεργέτην Νικηφόρον, ἄριστον φίλον τοῦ ὁσίου Ἀθανασίου.

Ἡ Α. Μ. ὁ Βασιλεὺς Γεώργιος Β΄. εὐηρεστήθη νὰ πέμψῃ ἡμῖν διὰ τοῦ πολιτικοῦ Του Γραφείου, τὴν κάτωθι εὐχαριστήριον ἐπιστολὴν ἐπὶ τῇ λήψει τοῦ ἀφιερωθέντος εἰς Αὐτὸν τεύχους τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» ἔχουσαν οὕτω:

ΠΟΛΙΤΙΚΟΝ ΓΡΑΦΕΙΟΝ
ΤΗΣ Α. Μ. ΤΟΥ ΒΑΣΙΛΕΩΣ

Ἐν Ἀθήναις τῇ 18ῃ Ἰανουαρίου 1938

Κύριον
Σωτήριον Ν. Σχοινᾶν
Ὁδὸς Κοραῆ ἀριθ. 47
Βόλον

Τὸ Πολιτικὸν Γραφεῖον τῆς Αὐτοῦ Μεγαλειότητος τοῦ Βασιλέως ἔχει τὴν τιμὴν νὰ διαβιβάσῃ ὑμῖν τὰς εὐχαριστίας τῆς Αὐτοῦ Μεγαλειότητος διὰ τὰ ἐν τῇ ὑμετέρᾳ ἐπιστολῇ ἐκδηλούμενα αἰσθήματα ἀφοσιώσεως ὡς καὶ διὰ τὸ ὑποβληθὲν ἀντίτυπον τοῦ ἀφιερωθέντος Αὐτῷ τεύχους τῆς ὑφ' ὑμῶν ἐκδιδομένης «Ἁγιορειτικῆς Βιβλιοθήκης»

Κ. Α. ΑΓΓΕΛΟΠΟΥΛΟΣ

(Τ. Σ.)

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΚΑΝΟΝΕΣ ΚΑΤ' ΗΧΟΝ

Εἰς τὸν ἅγιον Μεγαλομάρτυρα καὶ ἰαματικὸν Παντελεήμονα, ποιηθέντες ὑπὸ Ἰωσὴφ τοῦ ὑμνογράφου.

## ΗΧΟΣ Α'

### Ὠδὴ α'.

**Ὠδὴν ἐπινίκιον**

Ἀεὶ παριστάμενος σὺν παρρησίᾳ, τῷ θρόνῳ τῆς χάριτος ἀθλητὰ μακάριε, καταπεμφθῆναι ἡμῖν, ἁμαρτημάτων ἱλασμόν, Χριστὸν ἱκέτευε.

Βασάνους ὑπέμεινας Παντελεῆμον, τῷ θείῳ φλεγόμενος τοῦ Δεσπότου ἔρωτι, ὃν καθικέτευε, πάσης στενώσεως ἡμᾶς, ἀπολυτρώσασθαι.

Γνωρίσας τὸν κτίσαντα τῇ ἐπικλήσει, τῇ τούτου θεόληπτε νεκρὸν ἐξανέστησας, ὅθεν κραυγάζω σοι, τὴν νεκρωθεῖσάν μου ψυχήν, εὐχαῖς σου ζώωσον.

**Θεοτοκίον**

Δεσπότην κυήσασα καὶ Βασιλέα, ἁπάσης τῆς κτίσεως Παναγία Δέσποινα, ἐπιτυχεῖν ἡμᾶς, τῆς βασιλείας τοῦ Θεοῦ, ἀεὶ ἱκέτευε.

### Ὠδὴ β'.

**Πρόσεχε οὐρανὲ**

Ἐνέκρωσας τὸν ἀρχέκακον ὄφιν, νεκρὸς γενόμενος, διὰ Κύριον μάκαρ, τὸν μόνον φιλάνθρωπον.

Ζάλης τε καὶ τρικυμίας πταισμάτων, ἡμᾶς διάσωζε, Ἰησοῦν ἱκετεύων, παμμάκαρ τὸν εὔσπλαγχνον.

Ἤθλησας καὶ νομίμως ἐστέφθης, Παντελεῆμον σοφέ, καὶ Ἀγγέλων χορείαις, συνήφθης γηθόμενος.

**Θεοτοκίον**

Θηλάσασα τοῦ παντὸς τὸν τροφέα, Θεοχαρίτωτε, τοῦ ψυχοφθόρου λιμοῦ με, πρεσβείαις σου λύτρωσαι.

### Ὠδὴ γ'.

**Στερεωθήτω ἡ καρδία μου**

Ἰσχύϊ μάρτυς τοῦ Θεοῦ ἡμῶν, τῆς σαρκὸς ξεσμοὺς ἐκαρτέρησας, καὶ ἀναπτόμενος πυρί, τῆς αὐτοῦ ἀγαπήσεως, τῶν λαμπάδων πυρακτώσεις, χαλεπὰς καθυπέμεινας.

Κατατεινόμενον ταῖς μάστιγξι, καὶ ἀνηλεῶς σπαραττόμενον, ἐπιφανεὶς ὁ Λυτρωτής, ἐνίσχυέ σε ἔνδοξε, ὃν ἱκέτευε φωτίζεσθαι, ἡμῶν τὰ νοήματα.

Λαμπτὴρ ὁλόφωτος γενόμενος, ἰαμάτων θείαις λαμπρότησι, φωταγωγεῖς τοὺς ἐν νυκτί, νοσημάτων ὑπάρχοντας, καὶ διώκεις τῶν δαιμόνων, τὴν ἀχλὺν ἀξιάγαστε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Θεοτοκίον

Μετὰ τὸν τόκον ἀδιάφθορος, ὡς πρὸ τόκου μένεις Πανύμνητε, τὸν ποιητὴν γὰρ τοῦ παντός, ὑπὲρ νοῦν ἐσωμάτωσας, διασώζοντα ἡμᾶς, ταῖς μητρικαῖς ἱκεσίαις σου.

### Ὠδὴ δ΄.

**Ἐν πνεύματι προβλέπων**

Νοΐ λελαμπρυσμένος, ἐπέβης τῇ πυρᾷ δροσισμῷ τῆς χάριτος εὑρὼν ἀναψυχήν, Παντελεῆμον διὸ πηγάζεις ἀπαύστως, ῥεῖθρα θαυμάτων καὶ φλογμὸν ἀρρωστημάτων, παύεις τῇ δυνάμει τοῦ Πνεύματος.

Ξεόμενος τὰς σάρκας, ὑπέφερες σοφέ, καὶ τηγανιζόμενος ἐνθέῳ δροσισμῷ, ἔμεινας σῶος ἀπαρασάλευτος μάκαρ, διὸ βοῶμεν ἀπὸ πάσης ἡμᾶς ῥῦσαι, θλίψεως εὐχαῖς σου πανόλβιε.

Οὐκ ἔσεισε τὸν πύργον, τῆς θείας σου ψυχῆς, πονηραῖς προσρήξεσιν ὁ δόλιος ἐχθρός, Παντελεῆμον, ἀλλ᾽ ὥσπερ πάσχοντος ἄλλου, τὰς τῶν βασάνων ἐκαρτέρεις τρικυμίας, χάριτι Θεοῦ κρατυνόμενος.

### Θεοτοκίον

Παλάτιον ἐδείχθης, καὶ θρόνος Θεοῦ, καὶ σκηνὴ ἀμόλυντος καὶ πύλη νοητή, δι᾽ ἧς διῆλθεν ὡς οἶδεν, ὁ μόνος Λόγος Θεοκυῆτορ, καὶ ἐξῆλθεν ἀπορρήτως, σώζων διὰ σοῦ τὸ ἀνθρώπινον.

### Ὠδὴ ε΄.

**Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον**

Ῥεῦσαν ἐν γῇ τὸ σῶμά σου ἅγιε, ταύτην ἡγίασεν, ἀλλ᾽ ἱκέτευε τὸν ὑπεράγαθον καθαγιᾶσαι, νῦν τοὺς ἐν ἁγίῳ σε, ναῷ μακαρίζοντας.

Στρατὸς οὐράνιος ἐπεκρότησε, τῇ τελειώσει σου, μεθ᾽ οὗ αἴτησαι ἡμῖν δεόμεθα, Παντελεῆμον χάριν τε καὶ ἔλεος, καὶ βίου διόρθωσιν,

Τὸν ἐσβεσμένον μου λύχνον ἄναψον, ταῖς παρακλήσεσι, καὶ μεσιτείαις σου, θεομακάριστε Παντελεῆμον, ὅπως ὡς προστάτην μου, ἀεὶ μακαρίζω σε.

### Θεοτοκίον

Ὑμνολογίαις σε θείαις γεραίρομεν, ἄχραντε Δέσποινα, καὶ δεόμεθα φρούρει περίσωζε, παντοίας βλάβης καὶ τῆς ἀμαυρώσεως, ἡμᾶς μεσιτείαις σου.

### Ὠδὴ ς΄.

**Τὸν προφήτην Ἰωνᾶν**

Φωτισμοῦ πνευματικοῦ, ἐν μυήσει τοῦ Χριστοῦ, γεγονὼς φωταγωγεῖς, τὸν τυφλὸν ἐκ γενετῆς, πανόλβιε, μαρτύρων κλέος, ἀναδησάμενος.

Χαριστήριον ᾠδήν, ἀπεδίδως τῷ Θεῷ, εἰς βυθὸν ἀπορριφείς, καὶ σωθεὶς ἀγγελικαῖς, πανεύφημε, ἐπιστασίαις, ὅθεν τιμῶμέν σε.

Ψυχοφθόρων ἐκ παθῶν, καὶ ἀνθρώπων πονηρῶν, τρικυμίας λογισμῶν, καὶ γεέννης τοῦ πυρός, πανόλβιε, Παντελεῆμων, ἡμᾶς διάσωσον.

### Θεοτοκίον

Ὡς ὡραία καὶ καλή, ἀληθῶς, ἐν γυναιξίν, ὑπὲρ πάντας τοὺς βροτούς, τὸν ὡραῖον ἐν γαστρί, συνέλαβες, καὶ ὑπὲρ λόγον, ἁγνὴ ἐκύησας.

### Ὠδὴ ζ΄.

**Τοὺς ἐν καμίνῳ παῖδας**

Ἀγαλλομένη ἔνδοξε ψυχῇ, τεινόμενος ἔφερες, τροχῶν τὰ δυσχερῆ, ἐξ ὧν Θεός σε παραδόξως σώζει, εἰς πιστῶν βεβαίωσιν, τῶν καθορώντων τὰ σὰ ἀνδραγαθήματα.

Ὑπὲρ Χριστοῦ θηρίοις ἐμβληθείς, διέμεινας, ὦ Παντελεῆμον ἀσινής, ἀλλ᾽ ἐκτενῶς ὑπὲρ ἡμῶν δυσώπει



μάρτυς, ὅπως λυτρωθείημεν, ἀπὸ ἐχθρῶν πονηρῶν τῶν πειραζόντων ἡμᾶς.

Τῶν προσταγμάτων φύλαξ τοῦ Χριστοῦ, γενόμενος, μάρτυς φυλακαῖς προσομιλεῖς, καὶ θλίψεσι καὶ πολυτρόποις ἀλγηδόσιν· ὅθεν χάριν εἴληφας, πάθη ἰᾶσθαι ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

### Θεοτοκίον

Ἡ ἀπὸ γῆς μετάγουσα ἡμᾶς, πρὸς οὐρανόν, κλίμαξ μυστικὴ περιφανῶς, σὺ εἶ ἁγνὴ εὐλογημένη Θεοτόκε· ὅθεν ἀνυμνοῦμέν σου, τὰ μεγαλεῖα ἁγνὴ εἰς τοὺς αἰῶνας ἀεί.

### Ὠδὴ η΄.

**Ὃν φρίττουσιν Ἄγγελοι**

Ὡς ὄρθρος ὡς ἥλιος, ἀνέτειλας σοφέ, φωτίζων τὰ πέρατα ἀκτῖσι μυστικαῖς, καὶ λύων τὸ σκότος, τῆς δεινῆς ἀληθῶς, εἰδωλομανίας, Παντελεῆμον μάκαρ.

Δεσμώτης γενόμενος, διέλυσας ἐχθροῦ, τὴν πλάνην ἐν χάριτι· διὸ σε δυσωπῶ διάλυσον δέσιν, τῶν πολλῶν μου κακῶν, ταῖς σαῖς μεσιτείαις, σοφὲ Παντελεῆμον.

Ἡρπάγης ἐν ἅρματι, ὀχούμενος σαφῶς, τῷ θείῳ σου αἵματι, καὶ χαίρων τῷ Χριστῷ, παρέστης στεφάνους, ἀφθαρσίας λαβών, ὦ Παντελεῆμον, μαρτύρων ὡραιότης.

### Θεοτοκίον

Ἰᾶσω τὸ σύντριμμα, ἡμῶν ὡς ἀληθῶς, τεκοῦσα Πανάμωμε, τὸν πάντων ἰατρόν, διό σε συμφώνως, μακαρίζομεν, ἐν ἀγαλλιάσει, ψυχῆς Θεογεννῆτορ.

### Ὠδὴ θ΄.

**Τὴν φωτοφόρον νεφέλην**

Ὡραιοτάταις εὐκλείαις, τοῦ ἱεροῦ μαρτυρίου, ὡραιωθεὶς περιφανῶς, μάρτυς Παντελεῆμον, τῷ Βασιλεῖ τῶν οὐρανῶν, ὡραίως παρίστασαι, μεθέξεσιν, ἐλλαμπόμενος θείαις καὶ πρεσβεύων, ἐκτενῶς ὑπὲρ ἡμῶν.

Σὺ στερροτάτῃ καρδίᾳ, τοῦ μαρτυρίου τὰς τρίβους, Παντελεῆμον ἀθλητά, ἀκλινῶς διοδεύσας, φυτῷ ἐλαίας ἐκτμηθείς, τὴν κάραν γεγένησαι, πανόλβιε, συμπαθὴς ἐλεήμων ἰατρεύων, πᾶσαν νόσον ἐν Χριστῷ.

Ἤνθησας εὔοσμον ῥόδον, ἀθλητικοῖς ἐν λειμῶσι, καὶ εὐωδίασας τὴν γῆν, εὐωδίᾳ θαυμάτων, διὸ βοῶμέν σοι σοφέ, παθῶν ἡμᾶς λύτρωσαι, πρεσβείαις σου, δυσωδίας ἀτόπου καὶ παντοίων, θλιβερῶν ἐπιφορᾶς.

### Θεοτοκίον

Φρενοβλαβῶς ἁμαρτάνων, καὶ ῥαθυμίᾳ ἀπαύστῳ, κατακρατούμενος δεινῶς, εἰς τὸ χεῖρον προκόπτω, ἀλλὰ ἀνάνηψίν μοι δός, Θεὲ Πολυέλεε δεήσεσι, τῆς Ἀχράντου Μητρός σου, ὅπως λάβω, τὴν αἰώνιον ζωήν.

## ΗΧΟΣ Β΄.

### Ὠδὴ α΄.

**Δεῦτε λαοί**

Ἁγιασμόν, καὶ φωτισμὸν ἡμῖν αἴτησαι, παρὰ Θεοῦ πανόλβιε τοῖς εὐφημοῦσί σε, ἱεραῖς μελῳδίαις, καὶ θεῖόν σε πρόστάτην καταπλουτήσασι.

Βασιλικῶν, καὶ παρανόμων προσταξέων, καταφρονήσας ἔσπευσας τὴν ἀδιάδοχον, οὐρανῶν βασιλείαν, λαβεῖν Παντελεῆμον ἀγωνισάμενος.

Γένος σοφέ, καὶ κοσμικὴν περιφάνειαν, σαφῶς ἀπαρνησάμενος, στερρῶς ἐνήθλησας, δυσωπῶν τὸν Σωτῆρα, τοὺς πίστει σε τιμῶντας πάντοτε σώζεσθαι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Θεοτοκίον

Δόξα πιστῶν, Θεογεννῆτορ ὑπάρχουσα, τοὺς σὲ πιστῶς δοξάζοντας, μελλούσης ποίησον, κοινωνοὺς εὐφροσύνης, καὶ δόξης αἰωνίου ταῖς προστασίαις σου.

### Ὠδὴ γ΄.

**Στερέωσον ἡμᾶς**

Ἐπίστευσας Θεῷ καὶ ἐπικλήσεσιν, ἁγίαις νεκρὸν ἐξήγειρας μάκαρ, ἀλλ᾽ ἱκέτευε σωθῆναί με, νεκρωθέντα παντοίοις πλημμελήμασι.

Ζωὴν ἀληθινὴν ποθῶν ὑπέμεινας, παμμάκαρ βασάνων τὰς τρικυμίας, ἐπὶ ξύλου ἀναρτώμενος, καὶ τὰς σάρκας σιδήρῳ δαπανώμενος.

Ἡ κρίσις ἐπὶ θύραις ἤδη πάρεστι, γρηγόρει ψυχή μου ἀναβοῶσα, σῶσον οἴκτειρόν με Δέσποτα, ἱκεσίαις τοῦ θείου ἀθλοφόρου σου.

### Θεοτοκίον

Θεὸν σεσαρκωμένον ἀπεγέννησας, Παρθένε ὃν ἀπαύστως ἐκδυσώπει, ὑπὲρ πάντων τῶν ὑμνούντων σε, προστασία τοῦ κόσμου ἀκαταίσχυντε.

### Ὠδὴ δ.΄

**Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν**

Ἱερεῖον ὡς ἄμωμον, τῷ δι᾽ ἡμᾶς, τυθέντι προσηνέχθης, ὦ Παντελεῆμον μάρτυς πολύαθλε.

Κατεφλέχθης τὰς σάρκας σου, ἀνηλεῶς παμμάκαρ ταῖς λαμπάσιν, οὐρανόθεν θείαν δρόσον δεχόμενος.

Λάμψον φῶς μετανοίας μοι, φωτιστικαῖς εὐχαῖς σου ἀθλοφόρε, καὶ τῶν αἰωνίων βασάνων ῥῦσαί με.

### Θεοτοκίον

Μολυσμῶν ἀποκάθαρον, πάντας ἡμᾶς παθῶν Θεογεννῆτορ, τὴν τῆς ἀπαθείας πηγὴν κυήσασα.

### Ὠδὴ ε΄.

**Ὁ τοῦ φωτὸς χορηγὸς**

Νόμον κρατύνων Θεοῦ, παρανομούντων τὰς βουλὰς ᾔσχυνας, καὶ ἐμβληθεὶς εἰς πέλαγος, μάρτυς παλάμῃ κραταιᾷ, Χριστοῦ διεσώθης, τοῦ μόνου Θεοῦ ἡμῶν.

Ξενοπρεπῶς ἐναθλῶν, κατῳκειώθης τῷ Θεῷ ἔνδοξε, τοὺς ὀφθαλμοὺς τῆς ἐμῆς καρδίας, ἀπομαυρωθέντας, πάθεσι τοῦ βίου, σοφὲ φωταγώγησον ([1]).

### Θεοτοκίον

Παρθενομῆτορ Ἁγνή, τῶν ἀθλοφόρων καλλονὴ πάντοτε, καταφυγὴ τῶν ἁμαρτανόντων, βοήθησον ἡμῖν, πελάγει τοῦ βίου, δεινῶς κινδυνεύουσιν.

### Ὠδὴ ϛ΄.

**Ἐν ἀβύσσῳ πταισμάτων...**

Ῥώμῃ θείᾳ παμμάκαρ καὶ χάριτι, μέσον τῶν θηρῶν ἐμβληθεὶς μένεις ἄτρωτος, Παντελεῆμον ἔνδοξε, ὑπὸ πάντων πιστῶς θαυμαζόμενος.

Σὲ προστάτην καὶ πρέσβυν θερμότατον, ὦ Παντελεῆμον πλουτοῦντες ῥυσθείημεν, θανατηφόρων θλίψεων, καὶ παθῶν ἀτιμίας πρεσβείαις σου.

Τὰ ἐν σοὶ θεωροῦντες θαυμάσια, πλήθη τῷ Χριστῷ ἀθλοφόρε ἐπίστευσαν, καὶ μαρτυρίου αἵματι, τὰς ἐκεῖσε μονὰς ἐκληρώσαντο.

### Θεοτοκίον

Ὑπὲρ πάντων ἡμῶν τὸν Πανάγαθον, Λόγον καθικέτευε Θεοχαρίτωτε, ὅπως πταισμάτων ἄφεσιν, καὶ ζωὴν ἀτελεύτητον λάβωμεν.

### Ὠδὴ ζ.΄

**Ῥήτορες ἀνεδείχθησαν Παῖδες,**

Φλέγεσθαι δεδοκὼς σου τὰ μέλη, ὑπὲρ Κυρίου ἀθλητά, τροχῷ ταθείς τε ἀδίκως, ἀγγελικῇ χειρὶ κραταιούμενος, καὶ τροπούμενος τοὺς ἀσάρκους δυσμενεῖς, μετὰ σαρκὸς παμμάκαρ.

Χάριτι τοῦ Χριστοῦ καὶ ἰσχύϊ, νόσους διώκεις χαλεπάς, Παντελεῆμον θεόφρον· ὅθεν βοῶ τὰ πάθη ἰάτρευσον τῆς καρδίας μου, δυσωπῶν τὸν ἀγαθόν, καὶ μόνον εὐεργέτην.

Ψυχήν μου παρειθεῖσαν παντοίαις, ἐπιβουλαῖς τῶν δυσμενῶν, Παντελεῆμον ὡς πάλαι, ἐκδυσωπῶ σοφὲ τὸν παράλυτον, νῦν θεράπευσον καὶ βαδίζειν εὐσεβῶς, εὐόδωσον εὐχαῖς σου.

### Θεοτοκίον

Ὡς θρόνος Βασιλέως τῶν ὅλων, πύρινος γέγονας σεμνή, ἐν ᾧ καθίσας ἀρχαίου, τοὺς γηγενεῖς ἐξέγειρε πτώματος, καὶ ἀνέπλασε, συντριβέντας χαλεπῶς, ὑπὸ τῆς ἁμαρτίας.

### Ὠδὴ η΄

**Τὸν ἐν καμίνῳ τοῦ πυρός,**

Ἀγαλλομένῳ λογισμῷ, ἐν τηγάνῳ ἐμβληθεὶς οὐ κατεφλέχθης, πυρπολούμενος μάρτυς, τῇ ἀγαπήσει Χριστοῦ, καὶ δρόσον ἐξ ὕψους δεχόμενος· ὅθεν σε τιμῶμεν, σοφὲ Παντελεῆμον.

Στήσας ἐν πέτρᾳ ἀσφαλῶς, ἐπιγνώσεως Χριστοῦ τοὺς πόδας μάρτυς, πολυτρόπων βασάνων, οὐκ ἐσαλεύθης σοφέ, δολίαις προσρήξεσιν ὅθεν σε, ἀνυμνολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας ([1]).

### Θεοτοκίον

Ἀπαγωγῆς με πονηρᾶς, καὶ ἀκάρπων λογισμῶν καὶ πάσης ἄλλης, ψυχοφθόρου ἀπάτης, Θεογεννῆτορ Ἁγνή, ῥυσθῆναι ἀπαύστως ἱκέτευε, ὅπως σε ὑμνῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

### Ὠδὴ θ΄.

**Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον,**

Ἵνα κερδήσῃς τὸν πλοῦτον, τὸν οὐράνιον μάρτυς, ἡγήσω τὰ ἡδέα καὶ τερπνά, τούτου τοῦ κόσμου τὰ σκύβαλα, καὶ μεγίσταις ὀδύναις, σαρκὸς προσομιλήσας ἀνδρικῶς, τῷ τῶν ὅλων Δεσπότῃ, ὁσίως εὐηρέστησας.

Ὡς μιμησάμενος μάρτυς, τὸν δοτῆρα ἐλέους, Χριστὸν Παντελεῆμον παρ᾽ αὐτοῦ, μετωνομάσθης τὸν ἔλεον, ἐπὶ πάντας ἀνθρώπους, προχέων καὶ ἰώμενος σαφῶς, πᾶσαν νόσον θεόφρον, τῶν πίστει προσιόντων σοι.

Ταῖς προσευχαῖς ἡμᾶς μάρτυς, πειρασμῶν πολυτρόπων, καὶ νόσων χαλεπῶν καὶ μοχθηρῶν, Παντελεῆμον ἐξάρπασον, δυσχερῶν τε τοῦ βίου, καὶ τοῦ διαιωνίζοντος πυρός, τοὺς προστρέχοντας πίστει, τῇ σκέπῃ σου πανόλβιε.

Ἡ φοβερὰ τοῦ Δεσπότου, παρουσία ἐγγίζει, τί οὐ πενθεῖς ταλαίπωρε ψυχή, σπεῦσον ἀνάνηψον βόησον, Ἰησοῦ ὁ Θεός μου, οἰκτείρησόν με σῶσον προσευχαῖς, τοῦ σοφοῦ ἀθλοφόρου, ὡς μόνος ὑπεράγαθος.

### Θεοτοκίον

Φιλαμαρτήμων ὑπάρχω, καὶ τὴν κρίσιν πτοοῦμαι, καὶ τὰς ἀποκειμένας μοι ἐκεῖ, Θεοκυῆτορ Πανάμωμε, χαλεπὰς τιμωρίας· διὸ σε ἀενάως δυσωπῶ, μητρικαῖς σου πρεσβείαις, οἰκτείρησον καὶ σῶσόν με.

---

## ΗΧΟΣ Γ΄.

### Ὠδὴ α΄.

**Τεμνομένην θάλασσαν,**

Ἀληθῆ σε μάρτυρα, τοῦ Σωτῆρος Παντελεῆμον, ἔνδοξε πεφυκότα,

(1) Ἐλλείπει ἓν τροπάριον (Ο)

(1) Ἐλλείπει ἓν τροπάριον (Μ)



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γνόντες πιστοὶ πάντες εὐσεβῶς, ὑπὸ τὴν σκέπην σου τὴν θερμήν, προστρέχομεν καὶ βοῶμεν· πάσης ἡμᾶς ῥῦσαι κακώσεως πρεσβείαις σου.

Βασιλέα ᾔσχυνας, ἀνομοῦντα καὶ βασιλείαν, εὕρηκας τὴν ἀγήρω, ὑπὲρ Χριστοῦ πόνους ἐνεγκών, μάρτυς ἀήττητε· ὃν δυσώπει πάντοτε, πάντα πόνον ἀποκροῦσαι, ἔνδοξε τῶν καρδιῶν ἡμῶν.

Γεγηθῶς ἐχώρησας, πρὸς βασάνους Παντελεῆμον, ἔνδοξε καὶ καθεῖλες, τοῦ δυσμενοῦς πᾶσαν τὴν ἰσχύν, τὴν ψυχολέτειραν, οὗ τῆς βλάβης λύτρωσαι, καὶ ἐνέδρας πάντας ἡμᾶς πρεσβείαις σου θεομακάριστε.

**Θεοτοκίον**

Δανιήλ σε ἔβλεψεν, ὄρος πάλαι Θεοκυῆτορ, Δέσποινα ἐξ οὗ λίθος ἀποτμηθείς, πᾶσαν συντριβὴν σαφῶς εἰργάσατο, τῶν ξοάνων Ἄχραντε τῆς ἀπάτης καὶ συντριβέντας ἅπαντας, ἡμᾶς ἀνέπλασεν.

**Ὠδὴ γ΄.**

**Τόξον ἔθραυσας ἐχθρῶν,**

Ἐπικλήσει θεϊκῇ, νεκρὸν σοφὲ ἐξήγειρας, καὶ προσῆλθες χαίρων τῷ Χριστῷ ἀδιστάκτῳ λογισμῷ, μάρτυς ἀξιάγαστε.

Ζάλης λύτρωσαι ἡμᾶς, ἁμαρτιῶν καὶ θλίψεων καὶ κινδύνων, μάρτυς τοῦ Χριστοῦ, τοὺς πλουτοῦντάς σε ἀεί, πρέσβυν ἀκαταίσχυντον.

Ἤμβλυνας τοῦ πονηροῦ, τὰ τῆς κακίας ἔνδοξε μάρτυς βέλη, πόνοις ἱεροῖς, ἐξ ὧν λύτρωσαι ἡμᾶς, πίστει δυσωποῦντάς σε.

**Θεοτοκίον**

Θέλων ᾤκησε τὴν σήν, ὁ Παντοκράτωρ Κύριος Θεοτόκε, μήτραν καὶ τεχθείς, ἀναγέννησιν ἡμῖν, θείαν ἐδωρήσατο.

**Ὠδὴ δ΄.**

**Ἔθου πρὸς ἡμᾶς.**

Ἴασαι ἡμῶν, τὰς ψυχὰς Χριστὲ καὶ τὰ σώματα ταῖς Παντελήμονος εὐχαῖς, τοῦ σοῦ γνησίου Λόγε θεράποντος, καὶ τυχεῖν εὐόδωσον τῶν ἀγαθῶν σου, μόνε Πολυέλεε.

Κόσμος ἀθλητῶν, ἀληθῶς ἐδείχθης καὶ καύχημα, τοὺς γὰρ σπαραγμοὺς τῶν σῶν μελῶν, Παντελεῆμον χαίρων ὑπέμεινας, νευρούμενος χάριτι τοῦ ἀθλοθέτου· ὅθεν εὐφημοῦμέν σε.

Λύτρωσαι ἡμᾶς, κοσμικῶν σκανδάλων πρεσβείαις σου, αἴτησαι ἡμῖν ἁμαρτιῶν, παντοδαπῶν παμμάκαρ συγχώρησιν, καὶ βίου διόρθωσιν τοὺς σὲ προστάτην, μέγιστον πλουτήσαντας.

**Θεοτοκίον**

Μόνη γυναικῶν, μετὰ τόκον ἄφθορος μείνασα, μόνη τὸν τροφέα τοῦ παντός, Παρθενομῆτορ γάλακτι ἔθρεψας· ὅθεν σε δοξάζομεν καὶ κατὰ χρέος, πίστει μακαρίζομεν.

**Ὠδὴ ε΄.**

**Ὡς εἶδεν Ἡσαΐας**

Ναὸς ἡγιασμένος, τοῦ Παναγίου Πνεύματος γεγένησαι, καὶ ναοὺς εἰδώλων εἰς γῆν κατέαξας, παμμάκαρ Παντελεῆμον· διὰ τοῦτο ἐν τῷ θείῳ σου ναῷ, πόθῳ σε ὑμνοῦμεν, πρεσβείαις σου σωζόμενοι.

Ξεώμενος τὰς σάρκας καὶ ταῖς λαμπάσι, μάκαρ φλογιζόμενος, δρόσον ὑπεδέξω Χριστὸν τὸν Κύριον, φανέντα Παντελεῆμον, καὶ σβεννύοντα τὴν φλόγαν τοῦ πυρός, καὶ τῆς σῆς καρδίας, τὸν ἔρωτα ἀνάπτοντα.

Οἱ πλάνης σκοτισθέντες, σοῦ καθορῶντες μάρτυς τὰ θαυμάσια, φῶς θεωγνωσίας καθυποδέχονται· διό με ταῖς ἁμαρτίαις σκοτιζόμενον, καταύγασον εὐχαῖς, καὶ πρὸς μετανοίας, τὰς τρίβους καθοδήγησον.



**Θεοτοκίον.**

Παλάτιον ἐδείχθης, τοῦ Βασιλέως Πάναγνε ὁλόφωτον, καὶ πύρινος θρόνος ἐν ᾧ ἐκάθισε, καὶ πάντας ἐκ τῆς ἀρχαίας καταπτώσεως, ἐξήγειρε βροτούς, τοὺς ἐν κατανύξει καρδίας σὲ δοξάζοντας.

**Ὠδὴ ϛ΄.**

**Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.**

Ῥεῦσάν σου τὸ αἷμα ἐπὶ τῆς γῆς, τῆς ἀσεβείας ποταμοὺς ἀπεξήρανες, καὶ πιστῶν κατήρδευσας τὰς καρδίας πανεύφημε, τῶν τιμώντων σου τὰ σεπτὰ προτερήματα.

Στόματα ἐνέφραξας τῶν θηρῶν, τῇ ἐπικλήσει τοῦ Χριστοῦ πανσεβάσμιε, καὶ τὰς μύλας ἔθλασας τῶν λεόντων, ὧν ῥῦσαί με τῆς κακώσεως, μεσιτείαις σου Ἅγιε.

Τείναντες τροχῷ σε οἱ δυσμενεῖς, ἐκτεταμένην εἰς Χριστὸν τὴν διάνοιαν, κεκτημένον ἔχοντα, οὐδαμῶς παρεσάλευσαν παναοίδιμε, τῶν Ἀγγέλων ἰσότιμε.

**Θεοτοκίον**

Ὕμνοις σε τιμῶμεν θεοπρεπῶς, οἱ σεσωσμένοι διὰ σοῦ καὶ δεόμεθα, Θεοτόκε Δέσποινα ὑπὲρ πάντων ἱκέτευε, ὅπως εὕρωμεν, τὴν ἐκεῖθεν παράκλησιν.

**Ὠδὴ ζ.΄**

**Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ**

Φωτοφανίαις μυστικαῖς, τὸν νοῦν ἐλλαμπόμενος, ἀθλητὰ παναοίδιμε, τῶν βασάνων παρέδραμες τὸ σκότος, ἀναμέλπων ὁ Θεὸς εὐλογητὸς εἶ.

Χαίρων ὑπῆλθες ἀθλητά, λεβήτων τὰ βράσματα, θείαν δρόσον δεχόμενος, ἀλλ᾿ αἰτοῦμεν πυρὸς τοῦ αἰωνίου, ἀπολύτρωσαι ἡμᾶς, ταῖς σαῖς πρεσβείαις.

Ψάλλων Θεῷ τὸν ἱερόν, ἀγῶνα διήνυσας, ἀλλ᾿ αἰτοῦμέν σε Ἅγιε τοὺς εἰς δόξαν Θεοῦ ἀθροιζομένους, καὶ τιμῶντάς σε, παντοίας ῥῦσαι βλάβης.

**Θεοτοκίον**

Ὡς πλατυτέρα οὐρανῶν, Θεὸν ἀπεκύησας, τὸν ἐν πᾶσιν ἀχώρητον, ὃν δυσώπει, στενοχωρίας πάσης ἐκλυτρώσασθαι, ἡμᾶς Θεογεννῆτορ.

**Ὠδὴ η΄.**

**Βαβυλωνία κάμινος**

Ἐν φυλακῇ βληθέντος σου, ἔχαιρες τῷ πνεύματι, μάρτυς οἷα φύλαξ τῶν Χριστοῦ ὑπάρχων διατάξεων, καὶ λύων τοῖς δεσμοῖς σου πᾶσαν κακίαν ἐχθροῦ καὶ βοῶν, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Πυρὶ ἀναφλεγόμενος, θείας ἀγαπήσεως, πῦρ οὐκ ἐδειλίασας σοφέ, πάντοθεν καιόμενος, ἀλλ᾿ ἐβόας ἀπαύστως Χριστῷ γηθόμενος· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ὁ τοῦ τυφλοῦ τὰ ὄμματα, μάρτυς δι᾿ ἐντεύξεως, πάλαι ἀνοίξας, τῆς ἐμῆς καρδίας οὖν τὰ ὄμματα, ταῖς σαῖς Παντελεῆμον εὐχαῖς διάνοιξον, ὅπως βλέψω τὸ φέγγος, τὸ θεῖον καὶ ζήσομαι.

**Θεοτοκίον**

Σωματωθεὶς ὁ Κύριος, ἐκ σοῦ Παναμώμητε, ὤφθη τοῖς ἀνθρώποις ἐπὶ γῆς, ἀγνωσίας λυτρούμενος, καὶ πᾶσιν ἐπιλάμπων τὸ φῶς τῆς γνώσεως, ὃν ὑμνοῦντες Παρθένε, σὲ νῦν μακαρίζομεν.

**Ὠδὴ θ΄.**

**Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε**

Ἱερῶς τοὺς ἀγῶνας διήνυσας, συγκινήσας τοὺς λαούς, οἷς ἐτέλεις ἀοί-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

διμε θαύμασι προσκολλᾶσθαι τῷ Θεῷ, καὶ μαρτύρων στεφάνους ἐν Πνεύματι δέξασθαι, μεθ' ὧν τιμῶμέν σε, ὦ Παντελεῆμον, πιστῶς μεγαλύνοντες.

Ὡς θερμός σου ὁ ζῆλος τῆς πίστεως, ἀθλοφόρων καλλονή, δι' οὗ πῦρ ἀσεβείας κατέσβεσας, καὶ λαμπτὴρ κοσμοφανής, ἐγνωρίσθης ἀκτῖνας ἐκπέμπων ἰάσεων, ὦ Παντελεῆμον τοῖς καταφεύγουσι, τῇ σκέπῃ σου πάντοτε.

Συμπαθείας ὑπάρχων ἀνάπλεως, ἐν μιμήσει τοῦ Χριστοῦ, ἐλεεῖς τοὺς πιστῶς σοι προστρέχοντας, ἀθλοφόρε ἀλλ' αἰτῶ, τῆς ἐμῆς ἀσθενείας, βοηθὸς γενήθητι, ἐπικουφίζων μου τῶν ἁμαρτιῶν τὸν κλοιόν, μεσιτείαις σου.

Ἡ ἡμέρα ἐγγίζει ταλαίπωρε, τῆς ἐτάσεως ψυχή, ῥαθυμίαν ἀπόθου καὶ βόησον, κατανύξει τῷ Χριστῷ, τῆς μελλούσης με Λόγε, ῥῦσαι κατακρίσεως, Παντελεήμονος τοῦ σοῦ ἀθλοφόρου, σεπταῖς παρακλήσεσι.

Θεοτοκίον

Φοβερώτατος τόπος γεγένησαι, τοῦ Κυρίου καὶ Θεοῦ, ἁγιώτατος οἶκος Πανάμωμε, τοῦ οἰκήσαντος ἐν σοί, ὃν ἀπαύστως δυσώπει, πάσης ἡμᾶς ῥύσασθαι, βλάβης τοῦ ὄφεως, καὶ τῆς ἐν γεέννῃ πυρὸς κατακρίσεως.

## ΗΧΟΣ Δ'.

Ὠδὴ α'.

**Τριστάτας κραταιοὺς**

Δεσμεύσας τοῦ ἐχθροῦ, τὴν κακίαν δεσμοῖς σου, τῶν κακῶν μου τὰ δεσμά, διάρρηξον ταῖς σαῖς, δυναταῖς παρακλήσεσι, δύναμίν με περιζώσας, ἀσθενοῦντα τοῖς πάθεσιν, ἰσχυρὲ στρατιῶτα τοῦ κτίσαντος.

Ἐνύχως κελαδῶν, ἀνομούντων ἐν μέσῳ, τὰ θαυμάσια Χριστοῦ, ἐνήθλησας στερρῶς, διὰ τοῦτό σου δέομαι, ἅπαν στόμα τὸ ἀδίκως, κατ' ἐμοῦ ἀνοιγόμενον, τῇ ἐν σοὶ δυναστείᾳ ἀπόφραξον.

Ἡγίασας τὴν γῆν, ταῖς ῥοαῖς τῶν αἱμάτων, τοῦ Κυρίου ἀθλητά, διό σε δυσωπῶ, τὴν ψυχήν μου ἁγίασον, πάθεσιν ἠχρειωμένην, καὶ τὸν νοῦν φωταγώγησον, ἀγνωσίας ὁμίχλῃ σκοτούμενον.

Θεοτοκίον

Συνώθησεν ἐχθρός, συμβουλίαις ἀτόποις, τὴν ἀθλίαν μου ψυχήν, εἰς βάραθρα κακῶν, καὶ ὁρῶν με αἰχμάλωτον τέρπεται ὁ δολιόφρων, Παναγία Θεόνυμφε, τῆς αὐτοῦ με κακίας ἐξάρπασον.

Ὠδὴ γ'.

**Ἀφ' ὕψους κατῆλθες,**

Ἰσχύϊ Κυρίου, νευρούμενος σοφέ, τὸν ἰσχυρὸν κατέβαλες, ἐξ οὗ τῆς τυραννίδος με ἄτρωτον συντηρήσας, Παντελεῆμον φύλαξον, τῇ σκέπῃ σου νῦν καταφεύγοντα.

Νεκρὸν ἀναστήσας, πιστεύσας τῷ Χριστῷ, τὸν νεκρωτὴν ἐνέκρωσας, τὴν νεκρωθεῖσαν δήγματι τοῦ ὄφεως ψυχήν μου, Παντελεῆμον φύλαξον, πρεσβείαις σου θεομακάριστε.

Οἱ θλίβοντες μάτην, ἐχθροί με πονηροί, Παντελεῆμον μάρτυς Χριστοῦ, ἄπρακτοι διαμείνωσι, φρουρούσης με τῆς θείας σου δυναστείας, καὶ διασωζούσης με, σῶσον ἀπήμονα.

Θεοτοκίον

Ἴασαι ψυχῆς μου, τὰ τραύματα Ἁγνή, καὶ τὰς ὀδύνας κούφισον, ἡ ἀνωδύνως τέξασα τὸν μόνον εὐεργέτην Θεὸν Σωτῆρα, ὅπως μεγαλύνω σε, τὴν Παναμώμητον.



Ὠδὴ δ'.

**Ὁ καθήμενος ἐν δόξῃ,**

Καθελὼν τὴν τυραννίδα, τῶν ἀθέων ὡς ἔνθεος, ἀθλοφόρος μάκαρ, τοὺς τυραννικῶς ἐπεμβαίνοντας, καὶ ταπεινοῦντας ἀδίκως τὴν καρδίαν μου, καὶ ταπείνωσον, καὶ παντελῶς ἐξαφάνισον.

Ρωμαλαίως προσχωρήσας, πρὸς ἐπίπονα σκάμματα, ἀπενέγκω νῖκος, κλέος τε παμμάκαρ αἰώνιον· διὸ τοὺς πόνους καὶ πάσας τὰς ὀδύνας μου, ἐπικούφισον μάρτυς Χριστοῦ, διασώζων με.

Ἁγιώτατόν σε οἶκον, τῆς Τριάδος γενόμενον, νῦν ἐν οἴκῳ θείῳ, κλήσει τιμωμένῳ τιμίᾳ σου, Παντελεῆμον θεόφρον ἱκετεύομεν, οὐρανίου ναοῦ οἰκιστάς, ἡμᾶς ποίησον.

Θεοτοκίον

Νοεροῖς ὄμμασι βλέπων, ὁ Προφήτης κατάσκιον, σὲ προέφη ὄρος. Ὅθεν δυσωπῶ σε Πανύμνητε, πυρακτουμένην ἀτόποις πλημμελήμασι, τὴν καρδίαν μου, ὡς ἀγαθὴ ἐπισκίασον.

Ὠδὴ ε'.

**Ἀσεβεῖς οὐκ ὄψονται,**

Παρατάξεις ὤλεσας, ἀσάρκων δυσμενῶν, στρατιώτης ὡς δυνατός, ὑπομείνας βάσανα σαρκὸς πανόλβιε· ὅθεν σαρκικῶν ἡμᾶς, ὀδυνῶν κουφίζεις πάντοτε.

Ἀπειλὰς οὐκ ἔπτηξας, οὐ θάνατον πικρόν, διὰ πόθον τὸν τοῦ Χριστοῦ· ὃν ἀεὶ ἱκέτευε, ἐχθρῶν με ῥύσασθαι ἀπειλῆς καὶ πόματος.

Νεῦσον ῥυσθῆναι ἡμᾶς, ἀπὸ παθῶν παντοίων, ἀπὸ σκανδάλων τοῦ ἀλάστορος, ἀνθρώπων ἀδίκων τε, καὶ ἐκ δολίας γλώσσης, Παντελεῆμον μάρτυς.

Θεοτοκίον

Ἄσμιον ὄντα κακοῖς, σῇ μεσιτείᾳ λῦσον, ἁγνὴ Παρθένε ἡ τὰ ἄλυτα δεσμὰ διαρρήξασα, τῷ τοκετῷ σου μόνη, ἀεὶ εὐλογημένη.

Ὠδὴ ϛ'.

**Λυτρωτὰ τοῦ παντός,**

Ἐδυνάμου Χριστός σε τεινόμενον, καὶ τροχῷ ὡς κακοῦργον πεδούμενον, Παντελεῆμον ἔνδοξε· ὃν δυσώπει τοῦ βίου, ταῖς ἐπηρείαις ἐξελέσθαι με, μάρτυς τεινόμενον.

Χορηγὲ ἰαμάτων μακάριε, ἰατρὲ τῶν νοσούντων ἀνάργυρε, πειραζομένων ἄριστε, βοηθὲ βοηθείας, δίδου μοι χεῖρα, ἀγαθόν σε προστάτην πλουτήσαντι.

Οἱ ἐχθροί μου οἱ μάτην με θλίβοντες, μεσιτείᾳ σου μείνωσιν ἄπρακτοι, αἰσχύνης τε πληρούμενοι καὶ ῥυσθείην εὐχαῖς σου τῆς τούτων βλάβης ἀνεπαίσχυντος μάρτυς ὁ δοῦλός σου.

Θεοτοκίον

Ὑπὲρ πᾶσαν ἀνθρώπων βοήθειαν, ἡ βοήθειά σου κυκλωσάτω με, καὶ τειχισάτω Δέσποινα, καὶ σωσάτω δαιμόνων παρενοχλούντων, καὶ ἀνθρώπων θλιβόντων Πανάμωμε.

Ὠδὴ ζ'.

**Εὔα μὲν τῷ τῆς παρακοῆς,**

Ἰσχύς σοι δεδώρηται ἐχθρῷ πανεύφημε, συμπλακέντι καὶ νενίκηκας, τοῦτον ἐν μέσῳ τοῦ σταδίου, καὶ νίκης τὰ βραβεῖα ἀπείληφας, τὰ θαύματα ἰᾶσθαι νοσήματα, καὶ ἀπελαύνειν πλάνης πνεύματα.

Στῆσον τῶν ἀμέτρων μου κακῶν τὸν τάραχον, ἀθλοφόρε τὸν βαρύτατον, καὶ πειρασμῶν τὴν καταιγίδα, καὶ σῶσον παρ' ἐλπίδα με δέομαι, τὸν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πίστει προσφυγόντα τῇ σκέπῃ σου, Παντελεῆμον ἀξιάγαστε.

Ἡ σὴ τειχισάτω με ἀεὶ ἀντίληψις, καὶ δειξάτω ἀκυρίευτον, πάσης ἐχθρῶν μηχανουργίας, δαιμόνων ἐπηρείας καὶ θλίψεως, παθῶν τε ψυχικῶν τῶν θλιβόντων με, Παντελεῆμον πανάοίδιμε.

Θεοτοκίον

Φανεῖσα τῶν ἄνω χερουβὶμ Θεόνυμφε, ὑπερτέρα ὡς κυήσασα τὸν ἐπουράνιον Δεσπότην, παθῶν με ψυχοφθόρων ἀπάλλαξον, καὶ γλώσσης με δολίας νῦν λύτρωσαι, ἵνα ὑμνῶ σε τὴν Πανύμνητον.

## ΗΧΟΣ ΠΛ. Α'.

Ὠδὴ α'

Ἵππον καὶ ἀναβάτην

Αἶνον συμφώνως πάντες, Θεῷ προσάξωμεν, καὶ τὸν τούτου γενναῖον, μάρτυρα μακαρίσωμεν, ἀξίως πανάριστον πεφυκότα πάντων τε, εὐεργέτην καὶ θεῖον πρόμαχον.

Βέλει τῆς ἁμαρτίας, κατατρωθέντα με, ἱερῷ σου φαρμάκῳ, τῶν πρεσβειῶν θεράπευσον καὶ τυχεῖν ἱκέτευε, τῆς μελλούσης δόξης με, ἀθλοφόρε Χριστοῦ πανεύφημε.

Γνώμῃ ἀνδρειοτάτῃ, χωρήσας πανεύφημε, πρὸς βασάνους παντοίας, μετὰ Χριστοῦ νενίκηκας αὐτὸν οὖν ἱκέτευε, τῶν βασάνων ῥύσασθαι, τῶν ἐκεῖσε τοὺς σοὶ προστρέχοντας.

Θεοτοκίον

Δέσποινα Θεοτόκε, Θεοχαρίτωτε, ἡ γαστρὶ δεξαμένη, τὸ τοῦ Πατρὸς ἀπαύγασμα τὸν νοῦν μου καταύγασον, καὶ τοῦ σκότους λύτρωσαι, τῶν ἀκάρπων παθῶν τοῦ σώματος.

Ὠδὴ γ'.

Ὁ πήξας ἐπ' οὐδενὸς

Ἐτμήθης τὴν κεφαλήν, τῷ ξίφει πανεύφημε, καὶ Χριστῷ συνήφθης τῷ γλυκυτάτῳ σου, ἔρωτι· παρ' οὗ ἡμῖν σοφέ, αἴτησαι σωτηρίαν, καὶ τῶν πταισμάτων ἀπολύτρωσιν, τοῖς εἰλικρινῶς εὐφημοῦσί σε.

Ζωὴν σε κληρονομῆσαι, σπεύδοντα Ἅγιε, καθορῶν ὁ πλάνος κτεῖναι προείλετο· ὅθεν σοι βοῶ, τὴν ταπεινὴν ψυχήν μου νεκρωθεῖσαν, ταῖς ἐπιμόνοις παραβάσεσι, ζώωσον Χριστὸν ἱλεούμενος.

Ἡ κρίσις ἀνηλεής, μὴ ἔχουσα ἔλεος, ἑαυτὴν ψυχή μου πρὸ τέλους πένθησον, βόησον Κυρίῳ τῷ Θεῷ, οἰκτείρησόν με σῶσον, Παντελεήμονος δεήσεσι, τοῦ πανευκλεοῦς ἀθλοφόρου σου.

Θεοτοκίον

Θανάτου καὶ τῆς ζωῆς, ἁγνὴ κυριεύοντα, ὑπὲρ νοῦν καὶ λόγον ἐκυοφόρησας, τὸν Ἐμμανουὴλ ὃν ἐκτενῶς, Πανάμωμε δυσώπει, αἰχμαλωσίας με λυτρώσασθαι, πάσης τῶν παθῶν τῶν θλιβόντων με.

Ὠδὴ δ.'

Τὴν θείαν ἐννοήσας σου κένωσιν

Ἰλύος τῶν παθῶν με ἀνάγαγε, ὁ τὰ παθήματα Χριστοῦ, ἐκμιμησάμενος ἔνδοξε, Παντελεῆμον εὐχαῖς σου, καὶ λύτρωσαι μελλούσης κολάσεως.

Κατάκαρπος ἐλαία γεγένησαι, ὡς μιμησάμενος Χριστοῦ, Παντελεῆμον τὸν ἔλεον· ὃν ἐκτενῶς ἐκδυσώπει, οἰκτεῖραι τοὺς ἐν πίστει ὑμνοῦντάς σε.

Λαμπτὴρ φωτοειδὴς ἐχρημάτισας, ἀνατολαῖς φωταγωγῶν, τῶν σῶν ἀγώνων τὰ πέρατα, Παντελεῆμον διὸ με, κακοῖς με ἀμαυρούμενον φώτισον.



Θεοτοκίον

Μαρίαν τὴν Κυρίαν τῆς κτίσεως, οἱ σεσωσμένοι δι' αὐτῆς, εἰλικρινῶς μακαρίσωμεν· καὶ ἐκβοήσωμεν χαῖρε, ἁπάντων τῶν ἀνθρώπων βοήθεια.

Ὠδὴ ε'.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον

Νόσους θείᾳ χάριτι καὶ μαλακίας σοφέ, ἀποκαθαίρων, τὰ τῆς ψυχῆς μου πάθη, τὰ δυσίατα θεράπευσον, θείαις πρὸς τὸν Χριστὸν δεήσεσι.

Ξέοντες τὸ σῶμά σου οἱ ματαιόφρονες, καὶ πυρπολοῦντες, Παντελεῆμον, μάρτυρα εἰργάσαντο, Χριστοῦ παθημάτων, καὶ κοινωνὸν μελλούσης ζωῆς.

Ὄλβιος γενόμενος καλῶν μεθέξεσι, τὴν πενομένην, ταῖς ἁμαρτίαις ψυχήν μου, νῦν πλούτισον, ὅπως μακαρίζω, τὴν θείαν προστασίαν σου.

Θεοτοκίον

Πύλη ἀδιόδευτε δι' ἧς διῆλθε Θεός, ὑπάνοιξόν μοι, τῆς μετανοίας, πύλας ἱκετεύω σε, καὶ πρὸς θείας τρίβους, τῶν ἐντολῶν ὁδήγησον.

Ὠδὴ ς'.

Μαινομένην κλύδωνι

Ῥώμῃ θείου Πνεύματος, τὰς βασάνους πάσας ἐνεγκών, νικητὴς γεγένησαι πανάριστος, ἀθλοφόρε, καὶ τῶν Ἀγγέλων συνόμιλος.

Συμπαθὴς γεγένησαι, ἀθλοφόρε χάριν ἐκ Θεοῦ, ἰαμάτων εἴληφας ἀέναον· διὸ βοῶ σοι, πάντα τὰ πάθη μου ἴασαι.

Τοὺς πιστῶς ἐν οἴκῳ σου, τῷ ἁγίῳ πάντοτε σοφέ, συναθροιζομένους, καὶ τιμῶντάς σε, οἴκους θείους, ταῖς σαῖς πρεσβείαις ἀπέργασαι.

Θεοτοκίον

Ὑπερτέρα πέφυκας, τῶν Ἀγγέλων τέξασα Θεόν, Παναγία Δέσποινα, ῥυόμενον πάσης φθορᾶς, τοὺς Θεοτόκον τιμῶντάς σε.

Ὠδὴ ζ'.

Ὁ ὑπερυψούμενος

Φῶς σοι ἐξανέτειλεν, ἀθλοφόρε ἄδυτον, τοῦ σκότους τὸν ἄρχοντα, ἀνδρείως νικήσαντι, καὶ νῦν ἐν εὐφροσύνῃ, τοῖς Ἀγγέλοις συγχορεύεις.

Χάριν ἡμῖν αἴτησαι, ἐξ ὕψους καὶ ἔλεος, πίστει τοῖς τιμῶσι σε, ἐν οἴκῳ ἁγίῳ σου, σοφὲ Παντελεῆμον, ἀθλητὰ τῆς εὐσεβείας.

Ψόξον μεσιτείᾳ σου, παθῶν μου τὰ ῥεύματα, ἄρδευσον ψυγέντα μου, τὸν νοῦν παραβάσεσι, καὶ εὔκαρπόν με δεῖξον, ὅπως πόθῳ σὲ δοξάζω.

Θεοτοκίον

Ὤφθης σωματώσασα, Θεὸν τὸν ἀσώματον, ὅθεν σε δοξάζομεν, Παρθένε Πανύμνητε, Ἀγγέλων ἀνωτέρα, καὶ τοῦ κόσμου σωτηρία.

Ὠδὴ η'.

Σοὶ τῷ παντουργῷ

Ἅπασαν πυρὰν ὑπενεγκὼν βασάνων, πρὸς θείαν ἀνάψυξιν μετῆλθες ἔνδοξε· ὅθεν βοῶ σοι, πυρός με αἰωνίου, λύτρωσαι εὐχαῖς σου, τὸν πόθῳ σε τιμῶντα.

Στόματα θηρῶν ὡς Δανιὴλ φιμώσας, ἐρρύσθης ἀπήμαντος, σθένει τοῦ Πνεύματος, μάρτυς διό με, ταῖς σαῖς πρεσβείαις ῥῦσαι, ἐκ δολίας γλώττης καὶ στόματος ἀδίκου.

Μένεις ἀκλινής, Παντελεῆμον ὅλως, πελάγει ῥιπτόμενος καὶ κυβερνώμενος, θεῖον πρὸς ὅρμον τῆς ἄνω βασιλείας· ἧς ἡμᾶς εὐχαῖς σου, ἀνάδειξον μετόχους.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Ἅγιον Ἁγνή, Θεὸν ἀφράστως τίκτεις, τὸν καθαγιάζοντα τῇ μεσιτείᾳ σου, πάντας ἀνθρώπους τοὺς σὲ ὑμνοῦντας πόθῳ, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄.**

**Ἠσαΐα χόρευε**

Ἰησοῦν τὸν Κύριον, ἐν σταδίῳ καθομολογῶν, τροχῷ ἐβλήθης σοφὲ τιμωρητικῷ, τμηθεὶς δὲ τὴν κάραν σου τὴν ἱεράν, αἵμασι τὴν γῆν, πᾶσαν ἡγίασας, εὐφημοῦσαν τοὺς ἀγῶνάς σου.

Ὡς Θεοῦ τὸν ἔλεον, ἀθλοφόρε ἔνδοξε ἀεί, μιμούμενος ἐλεεῖς τοὺς εἰλικρινῶς, προστρέχοντας πίστει σοι, καὶ ὑγείαν τούτοις χορηγεῖς, παύων νοσήματα, καὶ ἐξαίρων ἀρρωστήματα.

Σοῦ τὸ θεῖον τέμενος, ἰατρεῖον ἄμισθον Χριστός, Παντελεῆμον σοφὲ δείκνυσιν ἀεί· ἐν ᾧ τοὺς τιμῶντάς σε, πάσης ὀργῆς, πάσης ἀπειλῆς, πάσης στενώσεως, ταῖς εὐχαῖς σου ἀπολύτρωσαι.

Ἡ δευτέρα ἤγγικε, παρουσία πρόσεχε ψυχή, ἐν μετανοίᾳ Θεῷ νῦν εὐαρεστεῖν, ἐπείγου καὶ κραύγαζε Παμβασιλεῦ σῶσόν με Χριστέ, Παντελεήμονος, μεσιτείαις ὡς φιλάνθρωπος.

**Θεοτοκίον**

Φέρεις ἐν ἀγκάλαις σου, ὥσπερ θρόνος πύρινος Ἁγνή, τὸν νεύματι φοβερῷ φέροντα τὸ πᾶν· αὐτὸν οὖν ἱκέτευε ὡς Υἱόν σου καὶ Δημιουργόν, κατοικτειρῆσαί με, καθ' ἑκάστην ὀλισθαίνοντα.

# ΗΧΟΣ ΠΛ. Β΄.

**Ὠδὴ α΄.**

**Ὡς ἐν ἠπείρῳ πεζεύσας.**

Ἀγωνισάμενος μάκαρ καὶ τὸν ἐχθρόν, συμπατήσας χάριτι, τοῦ Σωτῆρος καὶ Θεοῦ, ἀμοιβὴν τὰ θαύματα σοφέ, ἐκομίσω παρ' αὐτοῦ ὅθεν τιμῶμέν σε.

Βασιλικῶν προσταγμάτων καταφρονῶν, βασιλείαν ἔλαβες διαμένουσαν σοφέ· ἧς τυχεῖν ἱκέτευε ἡμᾶς, τοὺς προστρέχοντας πίστει ὑπὸ τὴν σκέπην σου.

Γῆν ἐπὶ πᾶσαν τὸ κλέος τῶν ἱερῶν, καὶ πολλῶν ἀγώνων σου διελήλυθε σοφέ, καὶ θαυμάτων δύναμις διό, φερωνύμως ἐλεεῖς τοὺς σοὶ προστρέχοντας.

**Θεοτοκίον**

Διὰ παντὸς Θεοτόκε ὑπὲρ ἡμῶν, τὸν ἐκ σοῦ ἱκέτευε σαρκωθέντα ὑπὲρ νοῦν, ὅπως ἀπολύτρωσιν παθῶν, καὶ πταισμάτων ἱλασμὸν ἡμῖν δωρήσηται.

**Ὠδὴ γ΄.**

**Οὐκ ἔστιν ἅγιος ὡς σύ.**

Ἐπιποθήσας τὸν Χριστόν, καὶ πρὸ τοῦ μαρτυρίου, καὶ τῆς υἱοθεσίας, ἐπικλήσεσι σεπταῖς, ἐξήγειρας τὸν νεκρόν, ἀθλοφόρε, πίστει θαυμαζόμενος.

Ζεούσῃ ἔνδοξε ψυχῇ, τὴν πυρὰν τῶν βασάνων, καθυπέμεινας πᾶσαν, ἀλλ' ἱκέτευε Χριστόν, πυρὸς ῥυσθῆναι ἡμᾶς, αἰωνίου, πίστει δυσωποῦμέν σε.

Ἡλιακῶν μαρμαρυγῶν, ἡ δοθεῖσά σοι χάρις, πλουσιώτερον λάμπει, δι' ὧν φωτίζεις ψυχάς, τῶν προστρεχόντων τῇ σῇ, καθ' ἑκάστην, σκέπῃ πανάοιδιμε.



**Θεοτοκίον**

Θεὸς σεσάρκωται ἐκ σοῦ, ὑπὲρ λόγον Παρθένε, ὁ τὸ εἶναι τοῖς πᾶσι, παρεχόμενος Ἁγνή· καὶ ταῖς πρεσβείαις ταῖς σαῖς, διασώζων, κόσμον κινδυνεύοντα.

**Ὠδὴ δ΄.**

**Χριστός μου δύναμις.**

Ἰάσεις ἔνδοξε, τελῶν ἐν Πνεύματι, θεραπεύεις τὰ πάθη τῶν ἀσθενῶν, πίστει προστρεχόντων σοι, Παντελεῆμον μιμητά, τοῦ Σωτῆρος καὶ Θεοῦ ἡμῶν.

Κακίας ῥῦσαί με, τοῦ πολεμήτορος, δυσωπῶν τὸν Σωτῆρα καὶ τοῦ πυρός, τοῦ διαιωνίζοντος, Παντελεῆμον ἀθλητά, ὅπως πίστει μακαρίζω σε.

Λαμπτὴρ παγκόσμιε, ἀστὴρ ὁλόφωτε, τὴν ἐμὴν σκοτισθεῖσαν ταῖς ἡδοναῖς, φώτισον διάνοιαν, καὶ αἰωνίων ἀγαθῶν, κοινωνὸν εὐχαῖς σου ποίησον.

**Θεοτοκίον**

Μὴ κατακρίνῃς με, τὸν ὑποκείμενον, χαλεπαῖς τιμωρίαις διὰ πληθύν, Λόγε παραπτώσεων, ἐκδυσωπεῖ σε Ἰησοῦ, ἡ ἀρρήτως σε κυήσασα.

**Ὠδὴ ε΄.**

**Τῷ θείῳ φέγγει σου Ἀγαθέ.**

Νοσούντων πάντων ἰατρός, νόσου παραπτώσεων πολλῶν, ταῖς ἱεραῖς μεσιτείαις σου, τὴν ἐμὴν καρδίαν ἀποκαθάρισον, καὶ φέρειν ἐναρέτως καρποὺς εὐόδωσον.

Ξένως ἐνήθλησας ἐπὶ γῆς, βράσματα λεβήτων χαλεπά, ὑπενεγκὼν ἀνδρικώτατα. ὦ Παντελεῆμον μαρτύρων καύχημα· διό με ἀεννάως, φρούρει πρεσβείαις σου.

Οἶκος Τριάδος ἀναφανείς, τοὺς εἰδωλικοὺς μάρτυς ναούς, Παντελεῆμον ἠδάφισας. Ὅθεν ἐν ναῷ σου, ἁγίῳ χαίροντες, τὰς σὰς ἀνδραγαθίας ἀνακηρύττομεν.

**Θεοτοκίον**

Παρθενομήτωρ ἐν γυναιξί, μόνη ἀνεδείχθης Ἰησοῦν, ἀποτεκοῦσα Πανάμωμε, τοῦτον ἐκδυσώπει ἐλεηθῆναί με, πολλὰ ἡμαρτηκότα καὶ κινδυνεύοντα.

**Ὠδὴ ς΄.**

**Τοῦ βίου τὴν θάλασσαν.**

Ῥοαῖς τῶν αἱμάτων σου, Φαραὼ τὸν νοητόν, Παντελεῆμον ὤλεσας, οὗ τῆς ἐνέδρας λύτρωσαι τοὺς θερμόν, πλουτοῦντας προστάτην σε, καὶ πρὸς Κύριον πρέσβυν ἀκαταίσχυντον.

Σαρκός σου σπαράγματα, κατεπλάγησαν σοφέ, τὰ τῶν Ἀγγέλων τάγματα, ὥσπερ γὰρ ἄλλου πάσχοντος ἀθλητά, διέκεισο ἔνδοξε, τοῦ Δεσπότου τὸ κάλλος φανταζόμενος.

Τὰ πάθη τὰ τίμια, μιμησάμενος Χριστοῦ, Παντελεῆμον ἔνδοξε, πάντα τὰ πάθη παύεις τῶν ἀσθενῶν, διὸ τῆς καρδίας μου, τὰ ἀνίατα πάθη νῦν θεράπευσον.

**Θεοτοκίον**

Ὑμνοῦμέν σε Ἄχραντε, ὑπερύμνητον Θεόν, ὑπερφυῶς κυήσασαν, τοῦτον δυσώπει Ἄχραντε ἐκτενῶς, εὑρεῖν ἡμᾶς ἔλεος, ἐν ἡμέρᾳ τῆς δίκης, πολλὰ πταίσαντας.

**Ὠδὴ ζ΄.**

**Δροσοβόλον μὲν τὴν κάμινον.**

Φλεγομένου κατεφρόνησας ἀοίδιμε, καὶ φθειρομένου σώματος, ἐν θαλάσσῃ δέ, παρανόμων κρίσει ἐμβληθείς, ἐρρύσθης χειρὶ ζωαρχικῇ. Παν-

Athos Library Αγιορειτική Βιβλιοθήκη

τελεῆμον ὑμνῶν, τὸν τοῦ παντὸς ποιητήν.

Χεῖρα δίδου βοηθείας μοι πανένδοξε, χειμαζομένῳ πάντοτε, βίου κλύδωνι, καὶ πολλῶν παθῶν ἐπιφοραῖς, σωζόμενος ὅπως ἀνυμνῶ, Παντελεῆμον ἐν χαρᾷ τὴν προστασίαν σου.

Ψυχικῶν με μολυσμάτων ἐλευθέρωσον, ἁγίαις μεσιτείαις σου, τῆς καρδίας μου, τὰς ὀδύνας ἴασαι σοφέ, βαδίζειν τὰς τρίβους τῆς ζωῆς, ἐν μετανοίᾳ ἀκλινεῖ νῦν ἐνδυνάμωσον.

### Θεοτοκίον

Ὡραιώθης ὑπὲρ πάντας Παναμώμητε, καὶ πλέον κεχαρίτωσαι, ὡς κυήσασα, τὸν ὡραῖον κάλλει Ἰησοῦν, ἡμᾶς καλλωπίζοντα Ἁγνή, καταφθαρέντας καὶ τὸ πρὶν κάλλος μειώσαντας.

### Ὠδὴ η'.

**Ἐκ φλογὸς τοῖς ὁσίοις.**

Ἐλεήμονα γνώμην ἔχων ἀοίδιμε, ἀπετμήθης ἐλαίας φυτῷ τὴν κάραν σου, ἔλαιον ἡμῖν ἀναβλύζων ἰάσεων, πάντοτε ἱλαρύνων, ψυχὰς Παντελεῆμον.

Πειρασμῶν ἡμᾶς ῥῦσαι καὶ περιστάσεων, τοὺς προστάτην σε μέγαν πλουτοῦντας ἔνδοξε, καὶ τιμωριῶν αἰωνίων πρεσβείαις σου, ὅπως σε τιμῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ περίδοξος οὗτος οἶκός σου πάνσοφε, ἐν αὐτῷ σε φοιτῶντα ἔχων ἑκάστοτε, ἄκλυστος λιμὴν ἀσθενοῦσι γνωρίζεται, κλυδωνιζομένοις, κακώσεσιν ἀμέτροις.

### Θετοκίον

Σαρκωθεὶς ἐκ γαστρός σου Χριστὸς ὁ Κύριος, ἐν δυσὶ ταῖς οὐσίαις ἄνθρωπος τέλειος, ὤφθη καὶ Θεός, ἀσυγχύτως ἀμφότερα, Ἄχραντε τηρήσας, ὡς οἶδεν ἀπορρήτως.

### Ὠδὴ θ'.

**Θεὸν ἀνθρώποις**

Ἰσχὺν καθεῖλες τοῦ πολεμήτορος, τὴν τοῦ Θεοῦ σαφῶς περιζωσάμενος δύναμιν, καὶ μαρτύρων ἁγίων ἐν αἵματι, ὅλος ὡραϊσμὸς τῷ Παντοκράτορι, ὦ Παντελεῆμον, ἀθλητὰ χαίρων παρίστασαι.

Ὡς ὢν μαρτύρων νῦν ὁμοδίαιτος, ἐν οὐρανοῖς σοφὲ Παντελεῆμον ἱκέτευε, σὺν αὐτοῖς ἀεννάως τὸν Κύριον, ὅπως ἁμαρτημάτων λάβωμεν ἄφεσιν, καὶ τῶν αἰωνίων, ἀγαθῶν ἀξιωθείημεν.

Στρατὸς Ἀγγέλων σοῦ προηγήσατο, τῆς ἱερᾶς ψυχῆς ἐκδημησάσης πρὸς Κύριον, καὶ σκηναί σε δικαίων ἐδέξαντο, αἵματι μαρτυρίου ὡραϊζόμενον, ταῖς τῶν στιγμάτων, καλλοναῖς μάρτυς λαμπόμενον.

Ἡ νῦν κατέχουσά σε ἀμέλεια, οἴμοι ψυχή μου μένουσα, προξενεῖ τιμωρίαν σοι, ἀνανήψασα οὖν μετανόησον, κράζουσα τῷ Κυρίῳ, σῶσόν με Δέσποτα, ταῖς Παντελεήμονος, εὐχαῖς ἵνα δοξάζω σε.

### Θεοτοκίον

Φωνὰς τῶν δούλων σου Παναμώμητε, πρόσδεξαι νῦν καὶ ταύτας τῷ Υἱῷ σου προσάγαγε· ὅπως ἵλεως πᾶσι γενήσεται, τοῖς τεταπεινωμένοις ταῖς παραβάσεσιν, ἵνα σε ὑμνῶμεν, ἐκτενῶς καὶ μακαρίζωμεν.

## ΗΧΟΣ ΒΑΡΥΣ

### Ὠδὴ α'.

**Νεύσει σου πρὸς γεώδη,**

Αἴγλῃ φαεινοτάτῃ, τῆς Παναγίας Τριάδος, ἀεὶ ἐλλαμπόμενος,



Παντελεῆμον ἔνδοξε· πάντων ἡμῶν τὰς καρδίας, τῶν εἰλικρινῶς σε τιμώντων καταύγασον.

Βέλεσιν ἁμαρτίας, κατατρωθέντα με ὅλον, ἰάτρευσον Ἅγιε, μοτώσει τῆς πρεσβείας σου· ὅπως χαίρων ἀνυμνῶ σου, τὰς ἀνδραγαθίας σοφὲ καὶ τὰ θαύματα.

Γλώσσῃ σου θεολόγῳ, παρανομούντων ἐν μέσῳ, Θεὸν ἀνεκήρυξας, βροτὸν σοφὲ γενόμενον, τοῦτον πάντοτε δυσώπει, γλώσσης με δολίας ῥυσθῆναι, τιμῶντά σε.

### Θεοτοκίον

Δέσποινα Θεοτόκε, τῆς τῶν παθῶν τυραννίδος, ἐλεύθερον δεῖξόν με, καὶ δοῦλον γνησιώτατον, θείαις ποίησον πρεσβείαις, τοῦ δι' εὐσπλαγχνίαν ἐκ σοῦ ἀνατείλαντος.

### Ὠδὴ γ'.

**Ὁ κατ' ἀρχὰς τοὺς οὐρανούς,**

Ἐπιβουλαῖς τοῦ πονηροῦ, ἀνεπιβούλευτος ὤφθης, ἱδρυμένος πέτρᾳ νοητῇ, Χριστοῦ ἐντολῶν διό με στήριξον, περιτρεπόμενον ἀεί, καὶ κατευόδωσον πράττειν, τὰ πρὸς σωτηρίαν ὁδηγοῦντά με.

Ζάλην διέφυγες πικράν, πολυθεΐας παμμάκαρ, καὶ πρὸς ὅρμον θεῖον γαληνόν, Χριστοῦ τοῦ Θεοῦ τῆς θείας γνώσεως, καὶ ἀγνωσίας τῷ βυθῷ, συνεχομένους ἐρρύσω, ὦ Παντελεῆμον ἀξιάγαστε.

Ἥλιος ὥσπερ φωταυγής, τὴν οἰκουμένην φωτίζεις, ἰαμάτων λάμψεσι σοφέ, διό σοι βοῶ ψυχῆς μου φώτισον, πάσας αἰσθήσεις δυσωπῶν, τὸν ἐκ Παρθένου ἁγίας, Ἥλιον ἀφράστως ἀνατείλαντα.

### Θεοτοκίον

Θαῦμα παράδοξον ἐν σοί, τὸ πεπραγμένον Θεὸν γάρ, ἀπορρήτως τίκτεις ἐπὶ γῆς, αὐτὸν οὖν Ἁγνὴ δυσώπει πάντοτε, κατοικτειρῆσαί με βοῶ, ἀχρειωθέντα διόλου, ταῖς διηνεκέσι παραβάσεσι.

### Ὠδὴ δ'.

**Ὁ πατρικοὺς κόλπους**

Ἱκετηρίαν νῦν ὑπὲρ ἡμῶν, Παντελεῆμον πρὸς τὸν κτίστην ποίησον, ὅπως εὕρωμεν συγχώρησιν ἐν ἡμέρᾳ κρίσεως, καὶ πυρὸς γεέννης ῥυσθείημεν.

Κόσμος ὑπάρχων τῶν ἀθλητῶν, τῶν κοσμικῶν ἡμᾶς ἀπάλλαξον, τὸν τοῦ κόσμου μάκαρ Κύριον ἀεὶ ἱλεούμενος, ἀθλητὰ θεόφρον πανόλβιε.

Λελυτρωμένος τοῦ ἀπαθοῦς, τῷ θείῳ πάθει ἀθλητὰ μακάριε, ἐκ παθῶν δεινῶν με λύτρωσαι, πίστει καταφεύγοντα, ἐν τῇ θείᾳ σκέπῃ σου πάντοτε.

### Θεοτοκίον

Μόνη ἐκύησας ἐπὶ γῆς, τὸν Πλαστουργὸν ἡμῶν ἁγνὴ Πανάμωμε, μόνη ἄφθορος μεμένηκας· διὸ ἱκετεύω σε, ἐκ φθορᾶς με ῥῦσαι πρεσβείαις σου.

### Ὠδὴ ε'.

**Κύριε ὁ Θεός μου,**

Νόμους σωτηριώδεις, συντηρῶν ἀτρώτους τῶν παρανόμων νόμους κατεπάτησας, καὶ νομίμως ἤθλησας, ἀθλοφόρε Παντελεῆμον, διὰ τοῦτο πίστει τιμῶμέν σε.

Ξένως ὑπεραθλήσας, τῆς σεπτῆς Τριάδος πάνσοφε μάρτυς, ξένα καὶ παράδοξα, ἐργάζῃ θαυμάσια, ἰατρεύων πάθη ποικίλα· ὅθεν σε συμφώνως δοξάζομεν.

Ὄμβρισον ἡμῖν μάρτυς, ἱλασμὸν πταισμάτων ταῖς προσευχαῖς σου, παῦσον τὸ κλυδώνιον, παθῶν με-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιτείαις σου, καὶ παντοίας λύτρωσαι βλάβης, τοὺς προσκαλουμένους σε πάντοτε.

**Θεοτοκίον**

Πύλη τῆς θείας δόξης, ἐκ πυλῶν με ῥῦσαι τῆς ἁμαρτίας, ὁδοὺς μετανοίας μοι δεῖξον, εἰσαγούσας με, πρὸς τὰς πύλας τῆς σωτηρίας, ὅπως κατὰ χρέος δοξάζω σε.

**Ὠδὴ ϛ'.**

**Ναυτιῶν τῷ σάλῳ.**

Ρωμαλαίως μάρτυς, ἤνεγκας βασάνων τοὺς πόνους, τὴν ἄπονον λῆξιν προαποβλέπων, καὶ τὰ βραβεῖα τῆς νίκης σκοπούμενος, ἅπερ σοι παρέχει ὁ Δεσπότης, ὦ Παντελεῆμον ἀθλητὰ δοξάζων σε.

Στρατιὰς Ἀγγέλων, πάσας ἐναθλῶν θαρσαλαίως, ἐξέπληξας μάρτυς Παντελεῆμον, μεθ' ὧν δυσώπει εὑρεῖν ἡμᾶς ἔλεος, ἐν τῇ φοβερᾷ ἐκείνῃ κρίσει, οἱ καταφυγόντες ἐκ ψυχῆς τῇ σκέπῃ σου.

Τοῦ Θεοῦ παμμάκαρ, ἔλεον μιμούμενος πάντας, οἰκτείρησας ὄντως ἐν συμπαθείᾳ, καὶ νοσημάτων λυτροῦσαι καὶ θλίψεων· ὅθεν σοι κραυγάζω ἀθλοφόρε, τὴν ἐμὴν ταπείνωσιν νυνὶ ἐλέησον.

**Θεοτοκίον**

Ὑμνῳδίαις θείαις, τὴν εὐλογημένην Παρθένον, συμφώνως ὑμνήσωμεν οἱ σωθέντες, τῷ ὑπὲρ νοῦν αὐτῆς τόκῳ καὶ κράξωμεν· χαῖρε τῶν μητέρων μέγα κλέος, χαῖρε ἡ αἰτία τῆς ἡμῶν θεώσεως.

**Ὠδὴ ζ'.**

**Οἱ ἐν καμίνῳ τοῦ πυρός.**

Φῶς σοι ἀνέτειλε σοφέ, ὡς δικαίῳ εὐθεῖ καὶ πράῳ, καὶ ἡ τούτου σύζυγος εὐφροσύνη, μέλποντι Παντελεῆμον· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Χαίρεις χαρᾷ ἐν οὐρανοῖς, μετὰ πάντων τῶν ἀθλησάντων, στεῤῥῶς μεθ' ὧν ἡμῖν αἴτησαι, λύσιν ἁμαρτημάτων Παντελεῆμον, τοῖς σὲ τιμῶσι πάντοτε, ὡς θερμὸν ἀντιλήπτορα.

Ψυχαῖς Μαρτύρων ἱεραῖς, νῦν συγχαίρει πάνσοφε ἡ σὴ ψυχή· μεθ' ὧν ἡμῖν αἴτησαι, ἐπταισμένων τὴν λύσιν Παντελεῆμον, καὶ οὐρανίαν ἔλλαμψιν, τοῖς πιστῶς εὐφημοῦσί σε.

**Θεοτοκίον**

Ὤφθης παλάτιον Θεοῦ, Θεοτόκε Ἄχραντε ἐν ᾧ, σαρκὶ οἰκήσας ὁ εὔσπλαγχνος, οἰκητήρια τούτου τῆς θείας δόξης, τοὺς εὐσεβεῖς ἀπέδειξεν, ἱερῶς ἀνυμνοῦντάς σε.

**Ὠδὴ η'.**

**Τὸν μόνον ἄναρχον**

Ἐπιστασίαις σου ἱεραῖς θεομάκαρ ἐπευλογῶν ἡμᾶς, ἐν τούτῳ τῷ οἴκῳ, τῇ κλήσει σου τιμωμένῳ, μελλόντων ἐκεῖσε ἀγαθῶν, τυχεῖν εἰς τοὺς αἰῶνας, ἀξίωσον εὐχαῖς σου.

Πῦρ οὐ κατέπτηξας, οὐ θηρία οὐ ξίφος, οὐδὲ παντοίων, ἀλγηδόνων τὸν ὄγκον, πανεύφημε καὶ τὰ ἄλγη κουφίζεις, τοῖς ψάλλουσιν ἀεί, ψυχῶν τε καὶ σωμάτων, εἰς δόξαν τοῦ Σωτῆρος.

Ὀφρὺν κατέβαλες, δυσμενῶν ἀοράτων, ταπεινωθεὶς διὰ Χριστόν, ἀθλοφόρε πανεύφημε, διὰ τοῦτο βοῶ σοι· ἐπίσκεψαί με νῦν τὸν τεταπεινωμένον, ἐκ πλήθους τῶν πταισμάτων.

**Θεοτοκίον**

Σαρκὸς ὁ ἄσαρκος, ὁμοιώματι ὤφθη, τοῖς ἀπωσμένοις, καὶ τεταπεινωμένοις Πανάμωμε, ἐκ γαστρός σου ἐκλάμψας, καὶ ἔσωσεν ἡμᾶς· διό σε εὐχαρίστως ὑμνοῦμεν εἰς αἰῶνας.



**Ὠδὴ θ'.**

**Μὴ τῆς φθορᾶς**

Ἰσχὺν καθεῖλες τελείως τοῦ πολεμήτορος, καθοπλισθεὶς δυναστείᾳ τοῦ Παντοκράτορος· ὅθεν κραυγάζω σοι, γενναῖε ἀθλοφόρε, τὴν καταβεβλημένην, ψυχήν μου ταῖς ἀπάταις, τῶν δαιμόνων εὐχαῖς σου στήριξον.

Ὡραιωθεὶς ταῖς βασάνοις ὑπὲρ τὸν ἥλιον, ταῖς τῶν θαυμάτων ἀκτῖσι μάκαρ ἀπήστραψας, φλέγων τοὺς δαίμονας, φωτίζων τοὺς ἀνθρώπους, ἰώμενος τὰ πάθη, ψυχῶν τε καὶ σωμάτων· διὰ τοῦτο ὑμνολογοῦμέν σε.

Σὺ μιμητὴς τοῦ Δεσπότου καὶ ἐλεήμονος, γεγενημένος ἐλαίας φυτῷ ἐκτέμνησαι, γάλακτος ῥεύσαντος, ἀνθ' αἵματος εἰς δόξαν, τοῦ οὕτω σε μεγάλως, δοξάσαντος θεόφρον· ὃν δυσώπει τοῦ ἐλεῆσαι ἡμᾶς.

Ἡ φοβερὰ ἐπὶ θύραις κρίσις ἐφέστηκε, καὶ πονηρὰ ἔργα ἔχων τρέμων κραυγάζω σοι· Κύριε Κύριε, ὁ μόνος ἐλεήμων, εὐχαῖς τοῦ ἀθλοφόρου, οἰκτείρησόν με σῶσον, καὶ μελλούσης δόξης ἀξίωσον.

**Θεοτοκίον**

Φωτοειδῆ σε λυχνίαν προεθεάσατο Θεοχαρίτωτε Κόρη προφήτης ἔνθεος, θεῖον λαμπάδιον, ἀῤῥήτως κεκτημένη, φωτίζον τοὺς ἐν σκότει, τοῦ βίου καθημένους· διὰ τοῦτό σε μακαρίζομεν.

---

## ΗΧΟΣ ΠΛ. Δ'.

**Ὠδὴ α'.**

**Ὑγρὰν διοδεύσας**

Ἀγῶνας καὶ πόνους διὰ Χριστόν, ὑποίσας γενναίως ἀγωνίας με τῶν παθῶν, καὶ τῆς καταιγίδος τῶν πταισμάτων, Παντελεῆμον πρεσβείαις σου λύτρωσαι.

Ὑπῆρξας τῷ ὄντι περικαλλής, μάρτυς νεανίας τὸν ἀρχέκακον συμπατῶν, καὶ τοῦ μαρτυρίου βηματίζων, Παντελεῆμον τὰς τρίβους γηθόμενος.

Τὰ πάθη θεράπευσον τῆς ἐμῆς, ψυχῆς ἀθλοφόρε καὶ τοῦ σώματος τὰς πολλάς, κούφισον ὀδύναις ἱκετεύων, Παντελεῆμον τὸν εὔσπλαγχνον Κύριον.

**Θεοτοκίον**

Ἡ πύλη τῆς θείας ἀνατολῆς, ἄνοιξόν μοι πύλας μετανοίας καὶ ἐκ πυλῶν, τῆς θανατηφόρου ἁμαρτίας, Θεογεννῆτορ Παρθένε ἐξάρπασον.

**Ὠδὴ γ'**

**Σὺ εἶ τὸ στερέωμα**

Δρόμον τῆς ἀθλήσεως, διαδραμὼν στεῤῥῶς Ἅγιε, τοῦ δυσμενοῦς, πάσας τὰς πορείας, ἀπεστένωσας χάριτι.

Εὕροιμί σε Ἅγιε, περικυκλούμενος πάθεσι, καὶ πειρασμοῖς, μέγιστον προστάτην, τῶν δεινῶν ἐξαιρούμενον.

Ἤλγησας τυπτόμενος, καὶ φλογιζόμενος ἔνδοξε, ὅθεν βοῶ, πάντα μου τὰ πάθη, καὶ τοὺς πόνους θεράπευσον.

**Θεοτοκίον**

Σκήνωμα γεγένησαι, τοῦ κατοικήσαντος Ἄχραντε, τὴν σὴν νηδύν, καὶ τὸ τῶν ἀνθρώπων, ἀναπλάσαντος φύραμα.

**Ὠδὴ δ'.**

**Εἰσακήκοα Κύριε**

Ἰησοῦ τοῦ Θεοῦ ἡμῶν, θείᾳ ἐπικλήσει νεκρὸν ἐξήγειρας, νεκρωθέντα με οὖν ζώωσον, ὦ Παντελεῆμον μεσιτείᾳ σου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Συντριβέντα με πάθεσιν, ὅλον καινοποίησον μεσιτείαις σου, ἀθλοφόρε συμπαθέστατε, ὅπως ἐν αἰνέσει μακαρίζω σε.

Ὀλετὴρ ὤφθης ἄριστος, τῶν τῆς ἀπωλείας ξοάνων Ἅγιε· ὅθεν κράζω σοι διάλυσον, τοὺς ἐπιζητοῦντας θανατῶσαί με.

Θεοτοκίον

Δανιὴλ ὄρος θεῖόν σε, πάλαι ὁ Προφήτης Ἁγνὴ τεθέαται, ἐξ οὗ λίθος ἀποτέτμηται, ἀκρογωνιαῖος ὁ Θεὸς ἡμῶν.

Ὠδὴ ε΄.

Ἵνα τί με ἀπώσω

Ὁ τυφλοὺς ὀμματώσας, θείαις ἐπικλήσεσι μάρτυς πανόλβιε, τὴν ἐμὴν καρδίαν, τυφλωθεῖς πολλαῖς παραβάσεσι, καὶ ἐσκοτισμένην, Παντελεῆμον ἀμελείᾳ, φωτισμοῦ προστασίαις σου πλήρωσον.

Ἠνεώχθη σοι μάρτυς, πόλις ἐπουράνιος καὶ ὑπεδέξατο, καλλοναῖς τῶν ἄθλων, λαμπρυνθέντα Ἀγγέλων στρατεύματα, μεθ' ὧν ἐκδυσώπει, ὑπὲρ ἡμῶν Παντελεῆμον, ὅπως εὕρωμεν χάριν καὶ ἔλεος.

Συντριβέντα με ὅλον, πάσαις παραβάσεσι καὶ ἀπολλύμενον, καινοποίησόν με, τῇ ἐν σοὶ μεσιτείᾳ καὶ χάριτι, ὦ Παντελεῆμον, καὶ κληρονόμον οὐρανίου, βασιλείας ἀνάδειξον δέομαι.

Θεοτοκίον

Ὁ Θεοῦ Θεὸς Λόγος, ἄνθρωπος γενόμενος δι' ἀγαθότητα, διὰ σοῦ Παρθένε, τοὺς ἀνθρώπους φθορᾶς ἐλυτρώσατο· ὃν δυσώπει πάσαις, καταφθαρέντα πλημμελείαις, οἰκτειρῆσαι καὶ σῶσαί με Δέσποινα.

Ὠδὴ ς΄.

Ἱλάσθητί μοι Σωτὴρ

Ἰάσεων ποταμός, Παντελεῆμον γενόμενος, ξηραίνεις τὰ τῶν παθῶν, ἑκάστοτε ῥεύματα, καὶ διώκεις πνεύματα, τὰ τῆς πονηρίας· ὧν τῆς πλάνης ἡμᾶς λύτρωσαι.

Παράδεισος ἀληθῶς, ὁ σὸς ναὸς ἀναδέδεικται, ὡς ἄνθη πολυειδῆ, προσφέρων τὰ θαύματα, καὶ διώκων χάριτι, πᾶσαν δυσωδίαν, νοσημάτων ἀξιάγαστε.

Ἀγάλματα πονηρά, δαιμόνων μάρτυς κατέβαλες, ἐξεικονίσας ἐν σοί, τὸ πάθος τὸ ἅγιον· διὸ τὰ ἰνδάλματα, τὰ ζοφώδη μάρτυς, τῶν ἐμῶν παθῶν ἀπέλασον.

Θεοτοκίον

Μαρία τὸ καθαρόν, τοῦ Βασιλέως παλάτιον, καθάρισόν μου τὸν νοῦν, παθῶν ἀμαυρότητος, καὶ δεῖξον ἀνάπλεων, φωταυγῶν ἀκτίνων, τοῦ ἐκ σοῦ ἡμῖν ἐκλάμψαντος.

Ὠδὴ ζ΄.

Παῖδες Ἑβραίων ἐν καμίνῳ

Μέλη τεμνόμενος παμμάκαρ, ἀναπόσπαστον ἐτήρησας τὸν νοῦν σου, τῆς ἀγάπης Θεοῦ σοφὲ Παντελεῆμον, τῶν ἀθλοφόρων καύχημα, καὶ Ἀγγέλων συμπολῖτα.

Ἄστρον πολύφωτον ὡράθης, ταῖς ἀκτῖσι σου τῶν πόνων καταυγάζον, τοὺς βοῶντας πιστῶς σοφὲ Παντελεῆμον. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Κόσμος ὡράθης τῶν μαρτύρων, τῶν τοῦ κόσμου με διὸ σκανδάλων ῥῦσαι, καὶ μελλούσης φλογὸς καὶ σκότους αἰωνίου, ἐκδυσωπῶν τὸν Κύριον, ἀθλητὰ Παντελεῆμον.



Θεοτοκίον

Ἅγιον τέτοκας ἁγίων, Μητροπάρθενε Ἁγία Θεοτόκε, διὸ πάντας ἡμᾶς ἁγίασον ὑμνοῦντας, τὴν σὴν ἁγίαν γέννησιν, ἐκ ψυχῆς εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄.

Νικηταὶ τυράννου

Ῥοαῖς τῶν αἱμάτων, δυσσεβείας θάλασσαν ἀποξηράνας, ἀναβλύζεις ῥεῖθρα τοῖς πιστοῖς ἰάσεων Παντελεῆμον, καὶ ἐκπλύνεις ῥύπον νοσημάτων ἅπαντα· ὅθεν σε τιμῶμεν πιστοὶ εὐσεβοφρόνως.

Τροχῷ τεταμένος, ἤνεγκας τὴν βάσανον γενναιοφρόνως· διό σοι κραυγάζω συμφοραῖς τοῦ βίου με καὶ πολυτρόποις, πειρασμοῖς τοῦ πλάνου νῦν κατατεινόμενον, οἴκτειρον εὐχαῖς σου σοφὲ Παντελεῆμον.

Ὁ τὸν ἀθλοφόρον, ἰατρὸν πανάριστον τῶν ἀσθενούντων, δείξας εὐεργέτα ταῖς τούτου δεήσεσι πάντα τὰ πάθη, καὶ τὰς ἀσθενείας ἴασαι φιλάνθρωπε· ὅπως σε ὑμνῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Ὑπερτέρα πάντων, τῶν Ἀγγέλων πέφυκας Θεογεννῆτορ, τοῦ Πατρὸς τὸν Λόγον ἀπορρήτῳ τέξασα κυοφορίᾳ· διὰ τοῦτο πάντες χαῖρε σοι κραυγάζομεν, διὰ σοῦ ῥυσθέντες τῆς πρώην καταδίκης.

Ὠδὴ θ΄.

Ἔφριξε πᾶσα ἀκοή,

Ἴχνεσι μάρτυς τοῦ Χριστοῦ, ἠκολούθησας καὶ τούτου ἐζήλωσας, πάθος τὸ τίμιον, δι' οὗ ὁ κόσμος εὗρεν ἀπάθειαν, καὶ βασιλείας οὐρανῶν, ἀξίως ἐπέτυχες Παντελεῆμον διό, κατανύξει σε ψυχῆς μακαρίζομεν.

Ὡράθης μάρτυς ἐν καιρῷ, τῶν ἀγώνων ἱερῶς δυναμούμενος καὶ διακείμενος, καθάπερ ἄλλου πάσχοντος ἔνδοξε· ἀλλ' ἐκδυσώπει τὸν Χριστόν, πάθεσί με πάντοτε κλυδωνιζόμενον, ὁδηγῆσαί με πρὸς λιμένα σωτήριον.

Στέναξον δάκρυσον ψυχή, ἁμαρτίαις χαλεπαῖς περιπίπτουσα καὶ μὴ ἀνάνηψιν, ἔχουσα ὅλως καὶ πίστει βόησον· Παντελεήμονος εὐχαῖς, οἴκτειρόν με Κύριε τῇ εὐσπλαγχνίᾳ σου, παρορῶν μου τὰ πολλὰ πλημμελήματα.

Ἡ κρίσις ἤγγικε ψυχή, μεταγνῶναι τῶν κακῶν προθυμήθητι, μὴ ὥσπερ ἄκαρπος, εἰς πῦρ πεμφθήσῃ τὸ ἀτελεύτητον, σπεῦσον καὶ βόησον Χριστῷ, σῶσόν με φιλάνθρωπε Παντελεήμονος, τοῦ ἐνδόξου ἀθλητοῦ παρακλήσεσι.

Θεοτοκίον

Φεῖσαί μου μόνε Βασιλεῦ, ὅταν μέλλῃς ἐπὶ θρόνου καθέζεσθαι, τοῦ κρῖναι ἅπαντας, παρισταμένων πάντων Ἀγγέλων σου, μὴ ἀπορρίψῃς με τοῦ σοῦ, προσώπου φιλάνθρωπε καθικετεύει σε, ἡ τεκοῦσά σε ἁγνὴ Παναμώμητος.

Ἰδιόμελον, Ἦχος πλ. β΄.

Δεῦρο δῆμοι σήμερον, τῶν φιλευσεβῶν, τὰ περικαλλῆ συστήματα, ἐγκωμίων τοῖς τερπνοῖς ἄνθεσι, περιπλέξαντες στέφανον χρυσολαμπῆ, τὸν μάρτυρα καταστέψωμεν, καὶ ἐν ἀγαλλιάσει ἀναβοήσωμεν. Χαίροις, φαεινότατε ἀστήρ, τοῦ νοητοῦ στερεώματος, Παντελεῆμον μάρτυς ἔνδοξε, ὁ ἐξ οὐρανοῦ τὴν κλῆσιν ὥσπερ Παῦλος δεξάμενος γενναιότατε. Χαίροις, ὁ θερμὸς προασπιστής, καὶ ἀντιλήπτωρ τῶν ἐν ἀνάγκαις, χαῖρε σοφέ,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁ τῶν ἀρρωστούντων τὰ πάθη ἀναργύρως ἰώμενος, τῇ ἐνεργείᾳ τοῦ Πνεύματος. Ταῖς γὰρ τοῦ σοφοῦ Ἑρμολάου διδασκαλίαις στηριχθείς, ἀπεσείσω τοῦ πατρὸς τὴν ἀσέβειαν, καὶ τὴν τῆς μητρὸς ἀναδεξάμενος εὐσέβειαν, ἐμυήθης τῶν κρειττόνων τὴν ἀπόλαυσιν. Διὸ ὑπὲρ ἡμῶν μὴ ἐλλίπῃς πρὸς Κύριον, τοῦ πρεσβεύειν ἀεί, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΑΝΤΕΛΕΗΜΟΝΑ

### Οἶκοι κδ΄. ἤτοι χαιρετισμοὶ εἰς τὸν ἅγιον πανένδοξον, ἀθλοφόρον, θαυματουργόν, μεγαλομάρτυρα καὶ ἰαματικὸν Παντελεήμονα.

(Ποίημα Νήφωνος μοναχοῦ Ἁγιορείτου)

Κοντάκιον. Ἦχος πλ. δ΄.
Τῇ ὑπερμάχῳ

Τῷ ἀθλοφόρῳ καὶ σοφῷ Παντελεήμονι, νῦν μελῳδήσωμεν πιστοὶ ὕμνον ἐπάξιον, τῷ πρεσβεύοντι πρὸς Κύριον ὑπὲρ πάντων, ὅς καὶ χάριτας παρέχει τῶν ἰάσεων, καὶ δαιμόνων ἀπελαύνει μηχανήματα, πόθῳ κράζοντες· χαῖρε μάρτυς πανένδοξε.

**Οἱ οἶκοι**

Ἄγγελοι οὐρανόθεν, καθορῶντές σου μάρτυς, τοὺς ἄθλους ἐξεπλήττοντο σφόδρα· (ἐκ γ΄.) καὶ σὺν τοῖς Ἀγγέλοις οἱ πιστοί, ἅπαντες τὸν ὕμνον σοι προσφέρουσιν, ἀμφότεροι τῇ δόξῃ σου τερπνόμενοι, τὸ χαῖρέ σοι βοῶμεν.

Χαῖρε τὸ ἄνθος Νικομηδείας, χαῖρε τὸ κλέος τῆς Βιθυνίας.

Χαῖρε θημωνία χαρίτων ὑπέρογκε, χαῖρε νεανία μαρτύρων εὐμέγιστε.

Χαῖρε ὅτι κλῆσιν εἴληφας οὐρανόθεν ἐκ Θεοῦ, χαῖρε ὅτι μύστης γέγονας Ἑρμολάου τοῦ σοφοῦ.

Χαῖρε μητρὸς ἁγίας ὁ θεόσδοτος γόνος, χαῖρε πατρὶ ὁ δείξας τὴν εὐσέβειαν μόνος.

Χαῖρε πολλῶν ἀλείπτης γενόμενος, χαῖρε Θεοῦ τῇ δόξῃ τερπόμενος.

Χαῖρε δι' οὗ ἀνυψώθη ἡ πίστις, χαῖρε δι' οὗ κατεπτώθη ἡ πλάνη.

Χαῖρε μάρτυς πανένδοξε.

Βλέπων σου τὰ πρακτέα, ὁ Ἑρμόλαος μάκαρ, βαπτίσματι φωτίζει σε θείῳ· καὶ ἐκ τούτου μέγας δὲ φανείς, Παντελεῆμον μάρτυς ἐν ἀκέστορσι, παρέχεις τὰς ἰάσεις τοῖς τιμῶσί σε καὶ βοῶσι τῷ ἐν ὑψίστοις. Ἀλληλούϊα.

Γνῶσιν ἔνθεον κτήσας, τὴν Ἑλλήνων σοφίαν, ἀπέδειξας μωρίαν τρισμάκαρ· καὶ τῇ ἐπικλήσει τοῦ Χριστοῦ, τὴν τοῦ Ἀσκληπιοῦ φαυλίσας σύνεσιν, Ἀναργύρου τίτλον Παντελεῆμον ἐκομίσω· διὸ καὶ παρ' ἡμῶν ἀκούεις.

Χαῖρε τοῦ σκότους ὁ καταρράκτης, χαῖρε τοῦ φέγγους ὁ ἀντεισάκτης.

Χαῖρε ἀναργύρως ἰάσεις ποιούμενος, χαῖρε θεαρέστως ἐν πᾶσι φερόμενος.



Χαῖρε ὅτι σὺ ἐξήγειρας ὡς ἐξ ὕπνου τὸν νεκρόν, χαῖρε ὅτι σὺ ἐνέκρωσας ὄφιν τὸν φθοροποιόν.

Χαῖρε τυφλοῦ τοῦ τότε διανοίξας τὰς κόρας, χαῖρε πολλῶν ἀπίστων ὁ φωτίσας τοὺς νόας.

Χαῖρε βροτῶν τὰς νόσους ἰώμενος, χαῖρε αὐτοὺς ἐκ πλάνης ῥυόμενος.

Χαῖρε πατρὸς ἐκριζώσας τὴν πλάνην, χαῖρε Χριστοῦ ἐπαυξήσας τὴν πίστιν.

Χαῖρε μάρτυς πανένδοξε.

Δύναμις τοῦ Ὑψίστου, δυνατὸν κατὰ πάντα, σὲ κατέστησεν ἀθλοφόρε· καὶ οἱ μὲν ἄπιστοι δεινῶς κατὰ σοῦ σκεπτόμενοι ἐμαίνοντο, οἱ δὲ πιστοὶ ἰάσεις ἐκδεχόμενοι, ἐβόων τῷ Σωτῆρι. Ἀλληλούϊα.

Ἔχοντες πνεῦμα φθόνου, τῶν δαιμόνων οἱ λάτραι, ἀνήγγειλαν τὰ περὶ τοῦ ἁγίου Παντελεήμονος τῷ Βασιλεῖ. Ἀλλ' ὁ μὲν ἐμαίνετο τῷ ῥήματι, ἡμεῖς δ' ἐν Πνεύματι Ἁγίῳ, ἀγαλλόμενοι, βοήσωμεν τὸν ὕμνον οὕτως.

Χαῖρε μαρτύρων Χριστοῦ τὸ θέμα, χαῖρε πηγῆς ἀειζώου νάμα.

Χαῖρε ἐκλεκτῆς τῆς πατρίδος σου καύχημα, χαῖρε σεπτῶν ἐκκλησιῶν σου κραταίωμα.

Χαῖρε ὅτι σὺ κατῄσχυνας λίαν Μαξιμιανόν, χαῖρε ὅτι σὺ παρέστησας πλάνον τὸν Ἀσκληπιόν.

Χαῖρε ὅτι ἀφέθης τῆς προσκαίρου τιμῆς σου, χαῖρε ὅτι μετέσχες τῆς ἐνθέου βουλῆς σου.

Χαῖρε δεκτὸν Χριστῷ ἀφομοίωμα, χαῖρε ἡμῶν τερπνὸν ἀγαλλίαμα.

Χαῖρε σεπτῶν Ἀναργύρων τὸ κλέος, χαῖρε λαμπρὸν μαρτυρίου σου τέλος.

Χαῖρε μάρτυς πανένδοξε.

Ζήλου δαιμονιώδους, ἐνεπλήσθη ὁπόταν, τὰ σοῦ ἐπέγνω, ἃ πρὶν ἠγνόει, τύραννος ὁ ἄφρων δυσσεβής, Παντελεῆμον μάρτυς καὶ συνείχετο, καὶ κατὰ σοῦ θρασύνεται, μὴ εἰδὼς βοᾶν τῷ ἐν ὑψίστοις. Ἀλληλούϊα.

Ἤγειρας ὡς ἐξ ὕπνου, τὸν παράλυτον μάρτυς, καὶ ᾔσχυνας εἰδώλων τοὺς λάτρας· οἱ δὲ σὺν τυράννῳ τῷ δεινῷ, βασάνοις ἐβουλεύσαντο κακῶσαί σε, μὴ βουλόμενοι βοᾶν σοι μεθ' ἡμῶν τοιαῦτα.

Χαῖρε ὁ κῆρυξ τῆς εὐσεβείας, χαῖρε ὁ κόσμος τῆς Ἐκκλησίας.

Χαῖρε τῶν μονῶν σου φρουρὸς ἀκαταίσχυντος, χαῖρε τῶν ναῶν σου προστάτης ἀκοίμητος.

Χαῖρε ὅτι ἐδαπάνησας ἐν βασάνοις σεαυτόν, χαῖρε ὅτι τεθανάτωσαι θέλων διὰ τὸν Χριστόν.

Χαῖρε τῶν Ἀναργύρων ὄρχαμε τῶν ἁγίων, χαῖρε τῶν ἀθλοφόρων κλέαρχε τῶν μεγίστων.

Χαῖρε σοφὲ σοφῶν ὑπερέκεινα, χαῖρε κλεινὲ κλεινῶν ὑπὲρ ἔννοιαν.

Χαῖρε δι' οὗ Νικομήδεια χαίρει, χαῖρε δι' οὗ πᾶς πιστὸς συγχορεύει.

Χαῖρε μάρτυς πανένδοξε.

Θέλων κατεξεσχίσθης, ὄνυξιν ἀθλοφόρε, κρεμάμενος δεινῶς ἐπὶ ξύλου, καὶ λαμπάσιν ἐκαύθης τὰς πλευράς· ὁ δὲ Κύριος φανεὶς ἐν τῷ σχήματι, τοῦ Ἑρμολάου ὑγιῆ εὐθύς σε ἀπέδειξε, βοῶντα τῷ τοιούτῳ. Ἀλληλούϊα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἴδον ὡς ἐν ἐκστάσει, ἃ οὐδέποτε εἶδον, παράδοξα ἐν σοὶ τελεσθέντα, οἱ περὶ τὸν τύραννον σοφέ, οἵτινες ἑκόντες ἀπεμωράνθησαν· ἡμεῖς δὲ τερπόμενοι τῇ δόξῃ σου, τοιαῦτά σοι Παντελεῆμον βοῶμεν,

Χαῖρε υἱὲ τοῦ φωτὸς τοῦ θείου, χαῖρε ναὲ Πνεύματος τοῦ Ἁγίου.

Χαῖρε Πατρὸς Λόγου καὶ Πνεύματος πάροχε, χαῖρε τρισηλίου θεότητος πάρεδρε.

Χαῖρε ὅτι χάριν εἴληφας τῶν θαυμάτων ὡς εἰκός, χαῖρε ὅτι ἀκατάφλεκτος ὤφθης μέσον τῆς φλογός.

Χαῖρε τῆς Ἑρμολάου μαρτυρίας μεθέξας, χαῖρε τῆς περὶ τούτου τὰ αὐτὰ προνοήσας.

Χαῖρε φαιδρὸν μαρτύρων ἀγλάϊσμα, χαῖρε πασῶν Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Χαῖρε πιστῶν ἡ προμήθεια πάντων, χαῖρε τῶν μὴ ἡ κατήφεια ὄντως.

Χαῖρε μάρτυς πανένδοξε

Κάτω ὁ ὑπεράνω, οὐρανῶν συνεδρεύων, κατέρχεται τοῦ σῶσαι αὖθις, ὁ Χριστὸς αὐτοῦ τὸν προσφιλῆ, ἐκ βυθοῦ ὡς εὔσπλαγχνος Θεὸς καὶ Κύριος, Παντελεήμονα βοῶντα, αὐτῷ θεοπρεπῶς τό· Ἀλληλούϊα.

Λάμπων ὡς φῶς ἐν σκότει, ὁ σοφὸς νεανίας, ἐφώτισε πολλοὺς τῶν ἀπίστων, οἳ καὶ κατεπλήττοντο αὐτῷ· τὰ γὰρ ὄντα ἐλογίζοντο τῷ μάρτυρι, Θεῷ αὐτὰ ὡς δοῦλα ὑπακούοντα· διὸ καὶ πρὸς αὐτὸν βοῶμεν.

Χαῖρε τὸ κλέος τὸ τῆς ἑώας, χαῖρε τὸ ἄνθος χθονὸς πατρῴας.

Χαῖρε τῶν καθ' ἡμῶν ἐχθρῶν νίκης τρόπαιον, χαῖρε ἡμῶν τῶν εὐσεβῶν σκοπευτήριον.

Χαῖρε ὅτι κατεπλούτισας τοῖς λειψάνοις σου ἡμᾶς, χαῖρε ὅτι ἐκλυτρούμεθα δι' αὐτῶν πάσης φθορᾶς.

Χαῖρε ὅτι εἰσάγεις πρὸς ἡμᾶς θείαν χάριν, χαῖρε ὅτι ἐξάγεις ἀφ' ἡμῶν πᾶσαν βλάβην.

Χαῖρε παθῶν ἀκέστορ πανάριστε, χαῖρε ἀσθενῶν βοηθὲ τάχιστε.

Χαῖρε πρηστὴρ τῶν ἐχθρῶν σκευωρίας, χαῖρε φωστὴρ τῆς ἐνθέου σοφίας.

Χαῖρε μάρτυς πανένδοξε.

Μέγας ἦν ἐν τῇ θέᾳ, ὁ τροχὸς ᾧ ἐτέθης, ὡς μέγας τοῦ Χριστοῦ στρατιώτης· ἀλλ' οἱ ταῦτα πράξαντες δεινῶς, ἀπωλέσθησαν αὐτῷ τῷ μηχανήματι· σὺ δ' ἀσινὴς τηρούμενος, Παντελεῆμον ἐβόας τῷ Σωτῆρι. Ἀλληλούϊα.

Νέκρωσιν διὰ ξίφους, ὁ νεκρὸς πρὸς τὰ θεῖα, κατὰ τοῦ Ἑρμολάου προτείνει, καὶ κατὰ τοῖς οὖσι μετ' αὐτοῦ, ὡς ἀλεῖπται τοῦ μάρτυρος χρηματίσαντες· ἡμεῖς δὲ κἀκείνοις τε ὡς τούτῳ νουνεχῶς προσείπωμεν ταῦτα.

Χαῖρε ὁ μέγας κατὰ τὸ λέγειν, χαῖρε ὁ μείζων κατα τὸ πράττειν.

Χαῖρε καθαιρέτα τῆς πλάνης Ἑρμόλαε, χαῖρε Ἑρμοκράτα ὡσαύτως καὶ Ἕρμιππε.

Χαῖρε ὅτι σὺ ἐδίδαξας Παντολέοντα τὸν σόν, χαῖρε ὅτι τοῦτον ἔδειξας μάρτυρα πρὸς τὸν Θεόν.

Χαῖρε Παντελεῆμον κλῆσις ἅμα καὶ πρᾶγμα, χαῖρε φιλελεῆμον τοῦ Χριστοῦ συνεργάτα.



Χαῖρε χαρᾶς πληρῶν τοὺς τιμῶντάς σε, χαῖρε αὐτοὺς φιλῶν τοὺς καλοῦντάς σε.

Χαῖρε στολὴ τῆς Χριστοῦ Ἐκκλησίας, χαῖρε ποιμὴν τῆς ἐν σοὶ κληρουχίας.

Χαῖρε μάρτυς πανένδοξε.

Ξέσεις οὖν ὑπομείνας, ὁ θεῖος Παντελεῆμον, πυρὶ καὶ τῷ βυθῷ παρεδόθη· καὶ τῇ χάριτι Χριστοῦ συντηρηθείς, πυρὶ αὖθις προσωμίλησε, θηρίοις καὶ τροχῷ καὶ μαστιγώσεσι, καὶ ταῦτα ἐνεγκὼν ἐβόα τῷ Κυρίῳ. Ἀλληλούϊα.

Ὅλως ἐθαυμαστώθης, πρὸς αὐτῆς τῆς σφαγῆς σου, σοφὲ Παντελεῆμον ὁπόταν, ἐδεσμεύθης μάκαρ τῷ φυτῷ, ὅτι τὸ μὲν ξίφος αἰδεσθέν σοι ὡς κηρὸς ἐφέρετο, οἱ δὲ φονεῖς θαυμάζοντες ἐπίστευσαν· διὸ καὶ σοὶ βοῶμεν αὖθις.

Χαῖρε μαρτύρων ἡ εὐκοσμία, χαῖρε ἡμῶν τε ἡ πανοπλία.

Χαῖρε τῶν ἀπίστων δημίων ἡ πίστωσις, χαῖρε τῆς παρὰ σοῦ αἰτήσεως λύτρωσις.

Χαῖρε ὅτι κλῆσιν εὕρηκας παρὰ Θεοῦ, χαῖρε ὅτι χάριν εἴληφας ὡς θεράπων τοῦ Χριστοῦ.

Χαῖρε τὸ Παντολέων ὥσπερ ἔλαττον κρύψας, χαῖρε Παντελεῆμον τὸ ὡς κρεῖττον ἐνδείξας.

Χαῖρε φωνῆς Θεοῦ ὁ πιστούμενος, χαῖρε δι' ἧς τὸ τέλος αἰτούμενος.

Χαῖρε ἐλπὶς ἣν ποθήσας ἐφεῦρες, χαῖρε φωνὴ ἡ ἐλθοῦσα ἐχάρης.

Χαῖρε μάρτυς πανένδοξε.

Πᾶσα φύσις Ἀγγέλων, μακαρίζει σε ὄντως, σοφὲ Παντελεῆμον βροτῶν τε· τὸ γὰρ τέλος σοι ἐπέστη θαυμαστόν, καθότι καὶ ἡ κλῆσίς σου ἐξάγει θείαν ἔννοιαν, προτρέπουσα ἡμᾶς βοᾷν εὐσεβοφρόνως τῷ Κυρίῳ. Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους, ἀπέδειξας τῷ πράγματι μάρτυς· καὶ τμηθεὶς τὴν κάραν σου σοφέ, καὶ ἀντὶ αἱμάτων γάλα ἐκδραμὸν κατέπληξας τοὺς ἅπαντας, καὶ ἤρξαντο βοᾷν σοι ταῦτα.

Χαῖρε σοφίας Θεοῦ ὁ μύστης, χαῖρε ἀγάπης αὐτοῦ ὁ πλήρης.

Χαῖρε τῶν ἀπόρων πορείαν ποιούμενος, χαῖρε τῶν νοσούντων τὴν ῥῶσιν δωρούμενος.

Χαῖρε μάρτυς μεγαλώνυμε κύκλου τοῦ ἐνιαυτοῦ, χαῖρε ἅγιε θεώνυμε ὑπὲρ πάντας τοὺς αὐτοῦ.

Χαῖρε τῶν ὀρθοδόξων βοηθὲ καὶ προστάτα, χαῖρε τῶν οἰκετῶν σου ἀρρωγὲ καὶ μεσίτα.

Χαῖρε ἐχθροῦ πάντας ὁ ῥυόμενος, χαῖρε Χριστῷ πιστοὺς προσφερόμενος.

Χαῖρε στολὴ τῶν ἁγίων ναῶν σου, χαῖρε ὀσμὴ σῶν τιμίων λειψάνων.

Χαῖρε μάρτυς πανένδοξε.

Σῆμα μέγα καὶ τοῦτο, ὃ ὁ Κύριος δείξας, τοῦ μάρτυρος ἐδόξασε τέλος· ἐφ' ᾧ γὰρ ἐδέθη ὁ αὐτός, καρπὸν ἐλαίας ἄφθονον προσέφερε· δι' οὗ οἱ θεαταὶ πιστοί τε ἄπιστοι, ἐβόων τῷ Σωτῆρι. Ἀλληλούϊα.

Τεῖχος εἶ τῶν σῶν δούλων, μάρτυς Παντελεῆμον, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· σὺ γὰρ τὸν τῶν ὅλων Ποιητήν, τοῖς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔθνεσιν ἐκήρυξας μακάριε· διὸ καὶ προτρεπόμεθα βοᾶν σοι, τῷ σοφῷ τοιαῦτα.

Χαῖρε φαιδρότης ἡ τῶν μαρτύρων, χαῖρε σεμνότης τῶν Ἀναργύρων.

Χαῖρε ὁ διπλοῦν ἐκ Θεοῦ λαβὼν στέφανον, χαῖρε ἐφετοῦ ὁ εὑρὼν τὸ ἀκρότατον.

Χαῖρε ὅτι καθυπέμεινας πᾶσαν βάσανον φρικτήν, χαῖρε ὅτι καθυπέταξας τῶν τυράννων τὴν ὀφρῦν.

Χαῖρε ὁ τὸν σπορέα τῶν κακῶν καταρράξας, χαῖρε ὁ τὸν τροφέα τῶν ἁπάντων κηρύξας.

Χαῖρε πιστοῦ λαοῦ ἀγαλλίαμα, χαῖρε τῶν σῶν ναῶν τὸ κραταίωμα.

Χαῖρε τρυφὴ τῶν μαρτύρων καὶ κλέος, χαῖρε σιγὴ τῶν ἀπίστων καὶ πένθος.

Χαῖρε μάρτυς πανένδοξε.

Ὕμνος ἅπας σοι πρέπει, ἐν τῇ σῇ θείᾳ μνήμῃ, ἐξ ἡμῶν τῶν οἰκετῶν σου μάρτυς· πάντες γάρ σε ἔχοντες, σοφέ, προστάτην πρέσβυν τε καὶ ἀντιλήπτορα, καὶ σαῖς πρεσβείαις στηριζόμενοι, βοῶμεν τῷ Κυρίῳ. Ἀλληλούϊα.

Φωτοφόρος ὑπάρχει, ἡ μνήμη σου τρισμάκαρ, ὡς φῶς ἀνατέλλουσα τὴν χάριν, πᾶσι τοῖς ἐκτελοῦσιν αὐτήν, καὶ τοῖς πόθῳ μάρτυς ἐπικαλοῦσί σου, τὸ σὸν ἅγιον ὄνομα· διὸ χάριν δίδου Ἅγιε τοῖς βοῶσι.

Χαῖρε ἀήττητε ἀθλοφόρε, χαῖρε τρισόλβιε καὶ φωσφόρε.

Χαῖρε μιμητὰ Ἀποστόλων πανεύφημε, χαῖρε πρεσβευτὰ τῶν τιμώντων σε εὔθετε.

Χαῖρε μάρτυς παριστάμενος σὺν μητρί σου τῷ Χριστῷ, χαῖρε ὁ συναγαλλόμενος Ἑρμολάῳ νῦν τῷ σῷ.

Χαῖρε ὁ πολιοῦχος τῆς πιστῶν συνεδρίας, χαῖρε ὁ τροπαιοῦχος κατ' ἐχθροῦ ἐξουσίας.

Χαῖρε σεπτὸν δοχεῖον τοῦ Πνεύματος, χαῖρε λαμπρὸν ταμεῖον τῆς χάριτος.

Χαῖρε δι' οὗ οἱ νωθροὶ ἀνορθοῦνται, χαῖρε δι' οὗ οἱ εὐθεῖς περαιοῦνται.

Χαῖρε μάρτυς πανένδοξε.

Χάριν εἴληφας μάρτυς, ἀναργύρως ἰᾶσθαι, τὰ πάθη τῶν ψυχῶν καὶ σωμάτων· διὸ παράσχου ταύτην ἡμῖν, τοῖς σοῖς δούλοις, καὶ δεῖξον ἡμῖν τῇ πρεσβείᾳ σου, ἐπάξιον Θεῷ Παντοκράτορι, κραυγάζειν ὕμνον. Ἀλληλούϊα.

Ψάλλοντάς σου τὸν ὕμνον, ἀνυμνοῦμέν σε πάντες, ὡς γνήσιον Χριστοῦ ἀθλοφόρον· καὶ τὴν μέθεξιν τῶν λειψάνων σου, Παντελεῆμον βοῶμέν σοι, τὸ χαῖρε αὖθις.

Χαῖρε ἡ ῥῶσις τῶν ἀσθενούντων, χαῖρε ἡ ἴασις τῶν νοσούντων.

Χαῖρε πτωχῶν ἰατρὸς ὁ συμπαθέστατος, χαῖρε χηρῶν βοηθὸς ὁ εὐμενέστατος.

Χαῖρε ὅτι τὰ ἐπίπονα ἔφερες διὰ Χριστόν, χαῖρε ὅτι τὰ οὐράνια εἴληφας διὰ μισθόν.

Χαῖρε ὁ χαρίζων ἡμῖν πέλαγος χαρίτων, χαῖρε ὁ πορίζων πιστοῖς ἔλεος θαυμάτων.

Χαῖρε πηγὴ θαυμάτων ἀκένωτε, χαῖρε ῥοὴ ἰαμάτων ἔμπλεε.

Χαῖρε μονῆς τῆς τῶν Ῥώσσων τὸ κλέος, χαῖρε μοναστῶν ἁπάντων τὸ σθένος.

Χαῖρε μάρτυς πανένδοξε.

Ὦ πανένδοξε μάρτυς, Ἀναργύρων τὸ κλέος, σοφὲ Παντελεῆμον τρισμάκαρ (ἐκ γ'.) δεδεγμένος ἡμῶν τὰς λιτάς, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, τοὺς βοῶντας, Ἀλληλούϊα.

Καὶ πάλιν τὸ ἐν ἀρχῇ Κοντάκιον.

Ἀπολυτίκιον τοῦ ἁγίου Παντελεήμονος

**Ἦχος γ'.**

**Θείας πίστεως**

Θεῖον ἄωτον τῶν Ἀναργύρων, μάρτυς πέφυκας, ὡς πλέον τούτων, πρὸς Χριστοῦ πεπλουτηκὼς τὴν πανάκειαν, θεωνυμίᾳ ὑψόθεν κεκόσμησαι, Παντελεῆμον κληθεὶς ὡς οὐκ ἄλλος τις, γάλα κέχυται, τῇ σῇ σφαγῇ ἀντὶ αἵματος, λευκαῖνον τῶν πιστῶν τὰς ἀμαυρότητας.

## ΜΗΝΙ ΔΕΚΕΜΒΡΙῼ ΙΑ'

**Μνήμη τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Νικηφόρου τοῦ Φωκᾶ.**

Κάθισμα(ἀπολυτίκιον)εἰς τὸ Θεὸς Κύριος

**Ἦχος γ'.**

**Θείας πίστεως.**

Θείῳ Πνεύματι καθωπλισμένος, ἔθνη βάρβαρα καθυποτάξας, τῆς βασιλείας τὰ ὅρια ηὔξησας, φιλοπτωχίαν νηστείᾳ ἐπόθησας, σκληραγωγίᾳ ἐκτήσω ταπείνωσιν. Ὅθεν εἴληφας, μετὰ Ἄβελ καὶ Ζαχαρίου τὸν στέφανον, διὸ καὶ συνδεδόξασαι δικαίοις εὐφραινόμενος.

Κάθισμα. **Ἦχος πλ. δ'.**

**Τὴν Σοφίαν καὶ Λόγον.**

Βασιλεύσας τὸ πρῶτον μάκαρ παθῶν, βασιλεύεις τὸ δεύτερον καὶ λαῶν, πρᾶος γνωριζόμενος, συμπαθὴς ἐλεήμων, καρτερικὸς ἐν πόνοις, ἐν πάλαις ἀνένδοτος, φοβερὸς τοῖς δαίμοσι πιστοῖς δὲ εὐπρόσιτος. Ὅθεν καὶ τὴν κάραν, ἐκτμηθεὶς ἁγιάζεις, τῷ λύθρῳ τοῦ αἵματος· τῶν πιστῶν τὰ πληρώματα, Νικηφόρε ἀοίδιμε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Προσόμοια. **Ἦχος πλ. δ'.**

**Ὢ τοῦ παραδόξου θαύματος**

Νίκαις ἐπαρθεὶς τὸ πρότερον, καὶ ἀρετῶν ταῖς σπουδαῖς, γεγονὼς περιβόητος, ἐν ὑστέρῳ αἵματος, βραχυτάτου, οὐράνιον, ἠλλάξω νίκην καὶ πόλιν μένουσαν, γέρα καὶ στέφη ζωῆς ἀκήρατα, μάκαρ δεξάμενος· ἐκ Θεοῦ παράδεισον, ὅθεν οἰκεῖς, νίκης ἐνδιαίτημα, μαρτύρων σύσκηνε.

Κλῖμαξ ἀπὸ γῆς ἀνάγουσα, τῶν χαμερπῶν προκοπῶν, ἡ σφαγή σοι γεγένηται, πρὸς μαρτύρων ὕψωμα, καὶ ἀθάνατον εὔκλειαν, καταγελᾶται μὲν γὰρ ὁ δίκαιος, πλὴν



« ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ »
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ
ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΚΔΙΔΟΜΕΝΟΝ ΕΝ ΒΟΛΩ

Γραφεῖα καὶ τυπογραφεῖα: Κοραῆ 47

ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ

Ἐσωτερικοῦ δρ. 100
Ἐξωτερικοῦ σελίνια 7
Ἀμερικῆς δολλ. 3
Τὸ τεῦχος δρχ. 10

Ἐπιστολαὶ συνδρομαὶ καὶ δωρεαὶ ἀποστέλλονται πρὸς τὸν κ. Σωτ. Σχοινᾶν - Κοραῆ 47 Βόλον.

Χειρόγραφα δημοσιευόμενα ἢ μή, δὲν ἐπιστρέφονται.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐν ὀλίγῳ ἐν ἐξκισίῳ δέ, φαῦλος ἐλέγχεται, τῷ θανάτῳ ἔνδικον δίκην διδούς· ὅθεν σοι τῆς κρείττονος, νίκης τετύχηκας.

Ὢ τοῦ παραδόξου θαύματος, ἡ ἱερὰ κεφαλή, ἡ Ἀγγέλοις αἰδέσιμος, ὄψις ὑποσκίμποδι, ἐκριφεῖσα ἐπόζετο, καὶ πλέον εἶχεν, εὐχῶν ἀπόνοια, ἀνδρὸς δικαίου τε, γνώμη βάρβαρος, ὢ τῶν κριμάτων σου, τῶν ἀπείρων Κύριε, οἷς καὶ ζωήν, εἴξας ὁ θεράπων σου, κεκληρονόμηκεν.

Ο ΚΑΝΩΝ

Φέρων ἀκροστιχίδα: Λόγων στέφει στέφω σε τὸν Νικηφόρον.

Ἦχος πλ. β'.

Ὠδὴ α'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας

Λύθρῳ αἱμάτων οἰκείων περιχρωσθείς, ὡς ἐκ πάλης ὥρμησας, εὐσταλὴς πρὸς οὐρανόν, Νικηφόρε οἷα ἀθλητής, ἑστιῶν δήμους τοὺς σούς, ἄθλοις καὶ θαύμασιν.

Ὅλος ἐκστὰς ἀπὸ βρέφους τῶν τῆς σαρκός, μολυσμῶν καὶ σκήνωμα, χρηματίσας ἀρετῶν, ἐν Θεῷ τὸ κράτος τῶν παθῶν, καὶ τῶν νόσων κατορθεῖς, μάκαρ ἀοίδιμε.

Γῆν καὶ τὰ κάτω μισήσας τοὺς οὐρανούς, καὶ τὰ ἐπουράνια, ἐπεπόθεις ἐκ ψυχῆς ἐκπληρώσω ὅθεν σὺν αὐτοῖς, οὐρανοὺς παρὰ Χριστοῦ καὶ τὰ ἐπίγεια.

Θεοτοκίον

Ὥσπερ παστὰς ὑπεδέξω Κόρη Θεόν, ἐκ σοῦ νυμφευόμενον, φύσιν ὕλην τὴν ἡμῶν, καὶ τῷ ξένῳ θαύματι τρωθείς, προσκυνεῖ πᾶς τις πιστῶς, τὸν θεῖον τόκον σου.

Ὠδὴ γ'.

Οὐκ ἔστιν ἅγιος ὡς σύ

Νεκρῶν σοροῖς μέσων νυκτῶν, ἐνστρεφόμενος μάκαρ, τὸν τοῖς μέλεσι ζῶντα τοῖς σοῖς ἐχθρὸν ἐν νεκροῖς, καὶ ζῇς φυγὼν ἀληθῶς, τὰ τοῦ σκότους ἔργα καὶ νεκρώσεως.

Συνάψας πᾶσαν ἀσκητῶν, ἐπιστήμην τοῖς ὅπλοις, στρατηγεῖς καὶ μονάζεις καὶ γίνῃ βέλος ἐχθροῖς, κανὼν δὲ τοῖς μονασταῖς, στρατιώτης Χριστοῦ περιδέξιος.

Τὴν ἐκ τοῦ Πνεύματος σαυτῷ, περιθεὶς πανοπλίαν, χωρεῖς οὕτω πρὸς μάχας, ἐντεῦθεν θάλασσα γῆ, δουλοῦταί σοι τοῦ Θεοῦ, σὲ τιμῶντος τούτοις ἀεισέβαστε.

Θεοτοκίον

Ἐφάνης ἄλλος οὐρανός, καθαρότητος ὕψει, ἐν γαστρὶ δεξαμένη τὸν οὐρανοῦ τε καὶ γῆς, καὶ πάντων Δημιουργόν, καὶ τὴν φύσιν σὺ μόνη οὐράνωσας.

Ὠδὴ δ'.

Χριστός μου δύναμις

Φωτὶ τῶν ἔργων σε, ὡς λύχνον φαίνοντα, εὑρηκὼς Νικηφόρε ὁ φῶς οἰκῶν, βασιλείας τίθησιν, ἐπὶ λυχνίαν διὰ σοῦ, πρὸς τὸ φῶς ἕλκων τὴν σύμπασαν.

Ἐστέρει πάντοθεν, ἐκκαιομένη σου, εἰσελαύνοντος πόλις ἡ βασιλίς, σωτῆρά σε βλέπουσα, καὶ οὐκ ἐψεύσθη διὰ σοῦ, κατ' ἐχθρῶν λαβοῦσα ἄμυναν.

Ἱδρῶσι πάνσοφε, εὐχῶν καὶ στάσεων, τὴν ἀρχὴν καθαγνίζεις πᾶσι Θεόν, ἵλεων ποιούμενος, ὡς ἱερεὺς οὐ βασιλεύς, τοῦ λαοῦ σου προϊστάμενος.



Θεοτοκίον

Σοφίαν Ἄχραντε, τὴν ἐνυπόστατον, τοῦ Πατρὸς συλλαβοῦσα τὸν σοφιστήν, τῆς κακίας ᾔσχυνας, σάρκα δανείσασα Θεῷ, δι' ἧς ἡττηται ὁ δόλιος.

Ὠδὴ ε'.

Τῷ θείῳ φέγγει σου

Τὸν βασιλέα καὶ ἀσκητήν, ὄχλος παρανόμων φονικῶς, ἐνηδρευκὼς ἀποσφάττει σε, ὅμως τὸ σκεώρημα, μαρτυρίου ὁδός, ἐγνώσθη ἡ σφαγὴ δὲ δόξης σοι στέφανος.

Ἔκστασις εἶχετο λῃστρικόν, λόχον ἐπ' ἐδάφους βασιλεῦ, ὥρᾳ χειμῶνος καθεύδοντα, σὲ ἑωρακότα τὸν μυριάσι πολλαῖς, καὶ νίκαις ὁμωνύμοις δορυφορούμενον.

Φῶς ἦν οὐ νὺξ τότε περὶ σέ, ὅτε οὐ στρωμνῇ ἀλλὰ τῇ γῇ, ἐκ τῶν εὐχῶν προσανέκεισο, ἔργα γὰρ ἡμέρας, ἠγαπηκὼς οὐ νυκτός, τὸ φῶς εἶχες αὐγάζον σε τὸ ἀνέσπερον.

Θεοτοκίον

Ὠδίνων ἄνευ τίκτεις Θεόν, μίαν μὲν ὑπόστασιν Ἁγνή, τὰς φύσεις δύο δὲ σώζοντα· ὅθεν Θεοτόκον τοὺς σὲ εἰδότας σεμνή, Θεοῦ ἐνανθρωπήσει σαφῶς ἐθέωσας.

Ὠδὴ ϛ'.

Τοῦ βίου τὴν θάλασσαν

Σταζόμενος αἵματι, καὶ ἱδρῶσι τοῦ καινοῦ, ἀγῶνος τὸ κατάκοπον, παριστῶν ὤφθης μάκαρ τῷ Δικαστῇ, στεφθεὶς δὲ σὺν μάρτυσιν, οὐρανίων ἐπάθλων κατηξίωσαι.

Ἐστύγνασεν ἔμψυχος, φύσις ἅπασα ἀήρ, γῆ οὐρανὸς τὸν ἥλιον, ἐκλίποντα ὡς εἶδόν σε ἀρετῆς, τὴν στήλην τὴν ἔμψυχον, τὸν φαιδρύναντα νίκαις πιστῶν τὰ πρόσωπα.

Τὰς τρώσεις δεχόμενος, καὶ τὸν Στέφανον ζηλῶν, τὸν πρῶτον ἐν τοῖς μάρτυσιν, ὑπερήχου προθύμως τῶν φονευτῶν, θανάτου γενόμενος, ὑψηλότερος μάκαρ ἀξιάγαστε.

Θεοτοκίον

Ὁ πλάσας τὸν ἄνθρωπον, ἐξ ἀρχῆς νῦν βουληθείς, σὲ ὡς νυμφῶνα ᾤκησε, καὶ τὴν φύσιν ἡρμόσατο ἐκ τῶν σῶν, αἱμάτων ἀπείρανδρε, τῷ οἰκείῳ τιμῶν με ἀξιώματι.

Ὠδὴ ζ'.

Δροσοβόλον μὲν τὴν κάμινον

Νίκην ἥρω κατ' ἐχθρῶν ἄναξ ὡς ἅρματος, αἵματος ἐπιβὰς ἱεροῦ, καὶ παραδραμών, ἐξουσίας τε καὶ τὰς ἀρχάς, καὶ μέγαν ἀγῶνα ἠνυκώς, οἷα Σωτῆρα εὐλογῶν, τὸν τῶν ὅλων Θεόν. (;)

Νεανικὴν ἔχων ὥσπερ καὶ συνακμάζουσαν, πρὸς πόνους τὴν ψυχὴν καὶ σφριγῶν, πόθῳ καὶ στοργῇ, ἐκπιεῖν ἐπηύχου ὁ Χριστός, ποτήριον ἔπιε διό, καὶ ἐκπιὼν βλέπεις ἀεὶ τὸν ἐν Τριάδι Θεόν. (;)

Ἱερεῖον ὥσπερ ἔρριψο(;) καὶ σφάγιον, τόπων τῶν ἱερῶν προτυθείς, ὡς ἐπὶ βωμῶν νομικὰς θυσίας ὑπερβάς, ἐξίλασμα δοὺς αἷμα τὸ σόν, καὶ μαρτυρίου εἰληφὼς δόξαν ἀνθοῦσαν ἀεί.

Θεοτοκίον

Κρατὴρ ὤφθης ὡς σταγόνα τῆς θεότητος, τὸ πλήρωμα χωρήσασα, καὶ ζωήρρυτος, ἔτι ἐγνώσθης Ἄνανδρε πηγή, ἐξ ἧς μετασχοῦσα εὐσεβῶς, θεογνωσίας καὶ ζωῆς πᾶσα ἐπλήσθη ἡ γῆ.

Ὠδὴ η'.

Ἐκ φλογὸς τοῖς ὁσίοις

Ἡ μετάγουσα λάθρα πληθὺς τὸ σῶμά σου, τῷ καινῷ τῶν δρω-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μένων, τῶν ὕμνων εἴργετο· Ἄγγελοι Θεοῦ ᾖδον δὲ τὰ ἐξόδια, νίκαις ἀθανάτοις, σὲ μάκαρ ἐξυμνοῦντες.

Φόβος εἶχε καὶ θάμβος ἄναξ τὸ θέατρον, τὴν ταφὴν περιθέτον, καὶ σὲ ὡς σφάγιον, κείμενον ὁρῶν τὸν κρατοῦντα τῶν πόλεων, περιβεβλημένον, πορφύραν ἐξ αἱμάτων.

Οὐρανὸς μὲν τὸ πνεῦμα γῆ δὲ τὸ σῶμά σου, ἐμερίσαντο τούτων, ὅμως ἑκάτερον, δείκνυται πηγὴ ὁ μὲν ἐπισκιάσεων, γῆ δὲ τῶν θαυμάτων, θεόφρον Νικηφόρε.

**Θεοτοκίον**

Ῥυπωθεῖσαν τὴν φύσιν ἐκπλῦναι Πάναγνε, βουληθεὶς ὁ Δεσπότης, ἐκ σοῦ σεσάρκωται, καὶ τῷ καθαρῷ, τῆς θεότητος ὅλον με, ὅλως ἐκκαθάρας, ἐλάμπρυνε θεώσας.

**Ὠδὴ θ΄.**

**Θεὸν ἀνθρώποις**

Ὁ χοῦς σε πᾶσιν ἄνθρωπον δείκνυσιν, ἡ ἀρετὴ Θεοῦ Ἄγγελον δὲ παμμακάριστε, φέρει γὰρ ὡς ἄνθρωπον μὲν τάφος μικρός, χῶρος δὲ τῶν μαρτύρων, οἷα καὶ Ἄγγελον, ἀγώνων στεφάνῳ καὶ στολῇ περιλαμπόμενος.

Ναὸς τοῦ Πνεύματος ἐχρηματίσας, ἐμφανειῶν αὐτοῦ καὶ χαρισμάτων ἀνάπλεως, πρὸς ναὸν οὐράνιον δὲ χαίρων σοφέ, αἷμα συναναφέρων, μετακεχώρηκας ὦ ἄνερ, ἱερείου τὸ σαυτοῦ ᾧ δεδικαίωσαι.

Κρατεῖ θανάτου καὶ μετὰ θάνατον, φύσις θνητὴ ἰσχύει τοῦ Χριστοῦ ὡς παρίστησι, τῶν σεπτῶν ὀστέων σου, ἡ θεία σορός, βλύζει γὰρ πᾶσι μύρα, παύει νοσήματα ἔνδοξε, ὡς ζῶντα ἀληθῶς σὲ θησαυρίζουσα.

**Θεοτοκίον**

Υἱὸν συνείληφας Θεὸν ἄνθρωπον, ὡς ἱλασμὸν διὸ καὶ ἱλαστήριον ἔσχηκας, τὴν γαστέρα Πάναγνε, ἐν ᾗ πᾶς τῶν πιστῶν, στάμνε τοῦ θείου μάννα ἐξιλασκόμενος, μετέχει τοῦ μάννα, ἀψευδῶς τοῦ τῆς ἀφέσεως.

## ΕΤΕΡΟΣ ΚΑΝΩΝ

Φέρων ἀκροστιχίδα: Χρέους ἀμοιβὴν τὸν δε σοὶ πλέκω κρότον.

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄.**

**Ἁρματηλάτην Φαραὼ**

Χειρί με τῇ παντοδυνάμῳ Δέσποτα, ἴθυνον πρὸς ἀρετήν, τοῦ δὲ νοὸς κόρας, φώτισον καὶ γνῶσίν μοι, παράσχου τῷ ἱκέτῃ σου, ἐπαξίως ὑμνῆσαι, θεράποντά σου τὸν μέγιστον, τὸν ἐν βασιλεῦσιν ἀοίδιμον.

Ῥήμασι θείοις τοῦ Σωτῆρος πάνσοφε, ἀκολουθῶν εὐπειθῶς, τὸν ζωτικὸν νόμον, τούτου διετήρησας, πενήτων προμηθούμενος, καὶ νηστείαις σχολάζων, καὶ προσευχαῖς δι' ὧν γέγονας, σκεῦος ἱερὸν τῷ Δεσπότῃ σου.

Ἐν τῇ ὁδῷ τῶν ἐντολῶν σου ἔδραμεν, ὁ σὸς οἰκέτης Χριστέ, διὰ τὸν σὸν πόθον, βασιλεὺς ὁ κράτιστος, τῆς νίκης ὁ φερώνυμος, καὶ τὸν βίον λαμπρύνας, ταῖς ἀρεταῖς καταγώγιον, Πνεύματος τοῦ θείου γεγένηται.

**Θεοτοκίον**

Ὁλικωτάτῃ προθυμίᾳ Πάναγνε, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ, τὰς σωστικὰς τρίβους, θεοφρόνως ἤνυσεν, ὁ γνήσιος θεράπων σου, δυσμενεῖς κατὰ κράτος, τοὺς ἀοράτους τροπούμενος, καὶ τοὺς ὁρατοὺς συμμαχίᾳ σου.

**Ὠδὴ γ΄.**

**Ὁ στερεώσας κατ' ἀρχὰς**

Ὑπερνηξάμενος σοφέ, τὸ πέλαγος τὸ τοῦ βίου, ἀχειμάστως εἰς πα-



νεύδιον ὅρμον, τὰ ἀγώγιμα καλῶς, ἐλλιμενίσας ἤνεγκας, τῆς ἐμπορίας ὄλβον, ἐν οὐρανοῖς τὸν ἀσύλητον.

Σὺν ταῖς μαρτύρων εὑρηκώς, χορείαις τὴν κατοικίαν, ὡς ἐπόθεις περιὼν ἐν τῷ βίῳ, θεοφόρε καὶ Θεός, πληρώσας σου τὸ βούλημα, χερσὶ γὰρ μιαιφόνων, τελειωθῆναί σε εἴασεν.

Ἀπὸ νεότητος τὸν σόν, θεομακάριστον βίον, ἀποσμήξας προσευχαῖς καὶ νηστείαις, ἀγρυπνίαις τε πολλαῖς, καὶ ὁλονύκτοις στάσεσι, χάριν θεόθεν εὗρες, τῶν ἰαμάτων ἀνέκλειπτον.

**Θεοτοκίον**

Μυσταγωγεῖται διὰ σοῦ, τὰ κρείττω καὶ ὑπὲρ λόγον, Θεομῆτορ ὁ πιστός σου θεράπων· διὰ τοῦτο τῶν ῥευστῶν, αὐτίκα κατεφρόνησε, γερῶν τῶν οὐρανίων, κατατρυφῆσαι γλιχόμενος.

**Ὠδὴ δ΄.**

**Σύ μου ἰσχὺς**

Ὁ τοῦ Χριστοῦ, πόθος σε προσανεπτέρωσε, διὰ βίου, πρὸς τὰ ὑπερκόσμια ἀναδραμεῖν καὶ δι' ἀρετῶν, πρὸς ὑψηλοτάτην, ἀνενεχθῆναι ἀκρώρειαν, θεόφρον Νικηφόρε, καθορᾶν τοῦ Σωτῆρος, τὸ ἀμήχανον κάλλος καὶ ἄρρητον.

Ἰσχὺν τὴν σήν, ἔχων ὁ κράτιστος Κύριε, βασιλεύς σου, ἔθνη τὰ ἀλλόφυλα ἀγαρηνῶν, ἄρδην καθελών, πόλεις ὑπὸ φόρους, τελεῖν Ῥωμαίοις ὑπέταξε· τῇ σῇ γὰρ συνεργίᾳ, θεοφρόνως ἐβόα, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Βάθος τῶν σῶν, Σῶτερ κριμάτων καὶ ἄβυσσον, τῆς προνοίας, τίς ἐξερευνήσειεν ὅπως τὸν σόν, λάτριν ἐν χερσίν, εἴασας τεθνάναι, μιαιφονούντων ἐνσκότωται, πιστῶς δεδουλευκότα, καὶ θερμῶς σοι βοῶντα· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

**Θεοτοκίον**

Ἡ κραταιά, τῶν εὐσεβούντων ἀντίληψις, βασιλέων, πάντων τὸ κραταίωμα, σὺ ἀληθῶς Ἄχραντε σεμνή, ὄντως ἀνεδείχθης, διὸ καὶ νῦν ὁ θεράπων σου, πρὸς ὕψος ἀνηνέχθη, ἀρετῆς συνεργόν σε, κεκτημένος καὶ στήριγμα ἄσειστον.

**Ὠδὴ ε΄.**

**Ἵνα τί με ἀπώσω**

Νυσταγμὸν ἀμελείας, πάνσοφε βλεφάρων καὶ ὕπνον ἀπήλασας, ἐκ τῶν ὀφθαλμῶν σου, ἐγρηγόρσεσι θείαις βαλλόμενος· ὅθεν πρὸς ἑσπέραν, τῆς ἐκδημίας ἀνεφάνης, ἱερώτατον θῦμα τῷ Κτίστῃ σου.

Τὸν τὰ πάντα ὁρῶντα, ἔνδοξε μιμούμενος πρᾶος γεγένησαι, φοιτητὴς ὡς τούτου, συμπαθὴς ἐλεήμων καὶ μέτριος· ὅθεν καὶ τὸν πλοῦτον, τοῖς ἐνδεέσι δαψιλεύων, τὸν ἀκήρατον ὄλβον κεκλήρωσαι.

Ὁ πιστός σου οἰκέτης, Σῶτερ σοῖς λόγοις ἑπόμενος ἄριστα, ἐπιτιθεμένους, οὐκ ἐρίζων οὐκ ἀνταμυνόμενος· ἀλλὰ θέλων μᾶλλον, αὐτὸς τυθῆναι ἤπερ θῦσαι, μαρτυρικῶς ὑπ' αὐτῶν σφαγιάζεται.

**Θεοτοκίον**

Νομοθέτην τεκοῦσα, Λόγον τῆς μεγάλης βουλῆς τε τὸν Ἄγγελον, τοῦ Πατρὸς Παρθένε, πρὸς αὐτὸν παρρησίαν ὡς ἔχουσα, μητρικὴν ἐγένου, τῷ βασιλεῖ καὶ σῷ οἰκέτῃ, πρέσβις τε καὶ μεσῖτις σωτήριος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ὠδὴ ϛ΄.**

**Ἱλάσθητί μοι Σωτὴρ**

Δαιμόνων τοὺς πειρασμούς, καὶ ἡδονῶν ὑπεκκαύματα, τῆς ἐγκρατείας κημῷ, τελείως ἐξέκλινας καὶ σῶμα ἐνέκρωσας, τῶν παθῶν ἀνάσας, τὰ οἰδήματα θεόπνευστε.

Ἐγένου χωρητικόν, δοχεῖον ἔντως τοῦ Πνεύματος, δι᾽ ἐμμελείας σαυτόν, καθάρας πανόλβιε καὶ χάριν ἀπείληφας, παρ᾽ αὐτοῦ πλουσίως, θεραπεύειν τὰ νοσήματα.

Σοφίᾳ τοῦ Πνεύματος, (1) ῥυθμίσας ὅλον τὸν βίον σου, τὸ φρόνημα τῆς σαρκός, τῷ νῷ καθυπέταξας πρὸς ὕψος μετέωρον· ὅθεν ἀνηνέχθης, ἀπαθείᾳ συμνυνόμενος.

**Θεοτοκίον**

Ὁ σὸς θεράπων Ἁγνή, διάδημα τὸ βασίλειον, ἐδέξατο διὰ σοῦ, καὶ νῦν στέφος ἄφθαρτον μαρτυρίου αἵματι, πρὸς Χριστοῦ ἀξίως, τοῦ Υἱοῦ σου ἀνεδήσατο.

**Ὠδὴ ζ΄.**

**Θεοῦ συγκατάβασιν**

Ἰδεῖν ἐφιέμενος, θυτὴν δόξαν εὐσεβοφρόνως σοφέ, τὰς αὐτοῦ διατάξεις, φυλάττων ὤφθης παντοδαπαῖς ἀρεταῖς, κεκοσμημένος διὸ καὶ ἐκραύγαζες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Πυρούμενος πάνσοφε, τῷ θείῳ φίλτρῳ τῷ τοῦ Σωτῆρος Χριστοῦ, τοὺς θεσμοὺς αὐτοῦ πάντας, προθύμῳ γνώμῃ τετήρηκας εὐσεβῶς, διὸ καὶ ψάλλεις Χριστῷ παριστάμενος· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Λαοῦ τοῦ θεόφρονος, ποιμὴν ἐγένου ἐγχειρισθεὶς πρὸς Χριστοῦ, βασιλείας τὰ σκῆπτρα, καὶ ἐκτακείσας ψυχὰς πενήτων σαφῶς, πείνῃ καὶ δίψῃ λιπαίνων ἐκραύγαζες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

**Θεοτοκίον**

Εὑρών σε βοήθειαν, ἐν βίῳ ὄντως ὁ θαυμαστὸς βασιλεύς, τῇ πρὸς σοῦ συμμαχίᾳ, δαιμόνων στίφη κατετροπώσατο νῦν, καὶ ἀλλοφύλων τὰς φάλαγγας ὤλεσε, Θεοκυῆτορ βοῶν· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

**Ὠδὴ η΄.**

**Ἑπταπλασίως κάμινον**

Κατὰ δαιμόνων ἔστησας, προφανῶς σου τὸ τρόπαιον, καὶ κατὰ βαρβάρων δυσμενῶν πανάριστε, θεόθεν γὰρ εἴληφας, πρὸς τοῦ Σωτῆρος χάριν σαφῶς, καὶ θαυματουργεῖν, καὶ θεραπεύειν τὰς νόσους, καὶ πνεύματα διώκειν, τῶν πιστῶς ἐκβοώντων· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς θαυμαστὸς εἶ Κύριε, καὶ μεγάλα τὰ ἔργα σου, τὰ ἐν τοῖς Ἁγίοις εἰργασμένα πάντοτε, ξηρὰ γὰρ νῦν κείμενα, ἐπὶ σοροῦ τὰ λείψανα, μύρα ἰαμάτων, κρουνηδὸν ἐκβλυστάνει, καθαίροντα τὰ πάθη, τῶν θερμῶς μελῳδούντων· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Κατὰ παθῶν θεόληπτε, βασιλεύσας ἐκράτησας, πάσης ὀλεθρίου τῶν παθῶν ὀρέξεως, καὶ σῶμα ἐνέκρωσας, τὴν δὲ ψυχὴν ἐζώωσας, πράξεσιν ἀρίστοις, ὅθεν καὶ σὺν Ἀγγέλοις, βοᾷς ἀδιαλείπτως· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον**

Ῥάβδος ἰσχύος Πάναγνε, ὁ Υἱός σου γεγένηται, δούλῳ τῷ πιστῷ σου

(1) Σοφίᾳ Πνεύματι, ἔχει ὁ κῶδιξ



βασιλεῖ θεόφρονι, ἐντεῦθεν ἀτίθασσα, καὶ ἀνομούντων ἔθνη πολλά, καὶ δαιμονικάς, παρεμβολὰς νῦν καθεῖλε, κραυγάζων ἀνενδότως· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄.**

**Ἐξέστη ἐπὶ τούτῳ**

Ὁδοὺς νῦν τὰς φερούσας πρὸς οὐρανόν, διοδεύσας θεόφρον κατείληφας, ἔνθα χοροί, πάντων Ἀποστόλων καὶ Προφητῶν, Ἱεραρχῶν Ὁσίων τε, ἔνθα τῶν Ἀγγέλων αἱ στρατιαί, καὶ πάντων τῶν μαρτύρων, μεθ᾽ ὧν συναγελάζων, ὑπὲρ ἡμῶν ἀεὶ μνημόνευε.

Τὸ τέμενος ἐν ᾧ σου ἡ ἱερά, θεοφόρε σορὸς νῦν κατάκειται, ποταμηδόν, ῥέουσι χαρίτων οἱ ὀχετοί, οἱ δὲ πιστοὶ συντρέχοντες, κύκλῳ σου τῆς λάρνακος εὐσεβῶς, ἀρύονται ἀφθόνως, τὰ μῦρα τῶν θαυμάτων, ἀκαταπαύστως σε γεραίροντες.

Ὁ μέγας πολιοῦχος καὶ βασιλεύς, ἐν τῇ μνήμῃ αὐτοῦ συνεκάλεσε, πανευλαβῶς, ᾄσμασιν ἐνθέοις καὶ ἱεροῖς, συνεορτάσαι σήμερον, καὶ πανηγυρίσαι χαρμονικῶς, προσέλθωμεν ἐν πίστει, γεραίροντες τὴν τούτου, κοίμησιν πάντες τὴν σεβάσμιον.

**Θεοτοκίον**

Νυγεὶς τῷ θείῳ πόθῳ τοῦ σοῦ Υἱοῦ, βασιλεὺς ὁ θεόφρων Πανάχραντε, προφητικῶς, πλοῦτον ἐθησαύρισε τὸν φθαρτόν, ἐν οὐρανοῖς ἀΐδιον, ὄλβον ἀντικτώμενος πρὸς Χριστοῦ· καὶ θρόνῳ νῦν τῷ τούτου, χοροῖς τῶν Ἀσωμάτων, μετὰ Ἁγίων νῦν παρίσταται.

Κάθισμα. **Ἦχος πλ. δ΄.**

**Τὴν Σοφίαν καὶ Λόγον**

Ἐξ αἱμάτων πορφύραν μαρτυρικῶν, περιθέμενος ἄναξ καὶ ἱερῶν, ἐκ πόνων διάδημα, προπεμφθεὶς ὑπ᾽ Ἀγγέλων, βασιλικῶς ἀνῆλθες, Θεοῦ εἰς βασίλεια, τὴν στενὴν ὁδεύσας γὰρ εἰς πλάτος κατέλυσας· ὅθεν καὶ τὴν κόνιν, ἀσπαζόμεθα πίστει, τὴν σὴν καὶ σεβόμεθα, τὴν τοῦ εἴδους ἐμφέρειαν, Νικηφόρε βοῶντές σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Προσόμοια. **Ἦχος δ΄.**

**Ὡς γενναῖον ἐν Μάρτυσι**

Τῷ πυρὶ τῶν ἀγώνων σου, ἀνακαύσας τὸν ἔρωτα, ὥσπερ θῦμα ἔννομον ὁλοκάρπωσας, ψυχῆς τὸ πρόθυμον πρότερον, στολὴν ἐν ὑστέρῳ δέ, φοινιχθεὶς μαρτυρικῷ, Νικηφόρε τῷ αἵματι. προσανήνοξαι, ὡς διπλῇ τις θυσία τῷ τυθέντι, δι᾽ ἡμᾶς καὶ τὰς τοιαύτας, τύποις θυσίας τιμήσαντι.

Καὶ τῷ ξένῳ τοῦ πράγματος, καὶ μαχαίραις παιόμενος, ἀκλινὲς πρὸς ἅπαντα τὸ παράστημα, τὸ τῆς ψυχῆς εἶχες πάνσοφε, θανάτου φαινόμενος, κρείττων· ὅθεν οὐδαμῶς, ῥῆμα φόβου προήνεγκεν, ἀλλ᾽ ὡς ἕτοιμος, ἀταράχως ἐχώρεις πρὸς θανάτους, ταῖς εὐχαῖς καὶ εὐλογίαις, τοὺς φονευτὰς ἀμειβόμενος.

Αἱ ῥοαὶ τῶν αἱμάτων σου, τῇ πηγῇ τῶν δακρύων σου, συγκραθεῖσαι βάπτισμα, ἀπειργάσαντο, διπλοῦν ὃ σὺ βαπτισάμενος, στολὴν δικαιώσεως, ἐκ δακρύων καὶ φαιδρόν, μαρτυρίου ἐξ αἵματος, στέφος ἔνδοξε, περιθέμενος ἔδης στεφηφόρος, τῶν Ἀγγέλων καὶ μαρτύρων, χοροῖς καὶ δήμοις κροτούμενος.

Στρατιώτην τὰ ὅπλα σε, στρατηγὸν ἡ παράταξις, βασιλέα κράτιστον, τὸ διάδημα, ἀλλ᾽ ἀσκητὴν οἱ ἀγῶνές σε, τὰ ἆθλα δὲ μάρτυρα, καταγγέλ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λουσι τρανῶς, Νικηφόρε τοῖς πέρασιν· ὅθεν ἤθροισται, καὶ τιμῶσά σε πόλις εὐφημοῦσα, τοὺς ἀγῶνας καὶ τὴν νίκην, καὶ τὸ μακάριον τέλος σου.

Κοντάκιον εἰς τὸν ἅγιον Νικηφόρον

Ἦχος β΄.

**Τὰ ἄνω ζητῶν**

Ταῖς νίκαις στεφθείς, τῆς νίκης ὡς ἐπώνυμος, βαρβάρων ὀφρῦς, καὶ θράσος ἐταπείνωσας, τροπαιοῦχος ἄριστος, κατ' ἐχθρῶν ἐχρημάτισας θεσπέσιε· διὰ τοῦτό σε πίστει αἰτούμεθα, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

**Ὁ οἶκος**

Τίς ἐξισχύσει τὰς ἀριστείας ἐξειπεῖν τῶν σῶν πόνων, ἃς ἐν βίῳ παρὼν (1) ἐτέλεσας μακάριε, πρὸς τοὺς ἀθέους Ἰσμαηλίτας κατὰ κράτος τὰ τούτων συγκόπτων στίφη, καὶ τοὺς πιστοὺς ἐξαιρούμενος πάντας τῆς τούτων πικρᾶς δεινῆς τε αἰχμαλωσίας, ὑποσπόνδους αὐτοὺς ἐργαζόμενος, τοὺς πόθῳ Χριστὸν δοξάζουσι, καὶ τὴν σὴν ἐκτελοῦσι πανήγυριν.

Ἐξαποστειλάριον

**Τῶν μαθητῶν ὁρώντων σε**

Εὐφράνθητι καὶ χόρευσον πᾶσα κτίσις, ὅτι ἐν βασιλεῦσι κατὰ βαρβάρων, νικητὴς ἐδείχθη κατὰ δαιμόνων, θαῦμασι γὰρ ἐκόσμησεν, ὁ Νικηφόρος τὴν θήκην, τοῦ θείου αὐτοῦ λειψάνου.

---

ΙΩ. ΣΠΑΘΑΡΗ ΚΑΘΗΓΗΤΟΥ

## ΜΝΗΜΗ ΘΑΝΑΤΟΥ ΧΡΗΣΙΜΕΥΕΙ ΤΩι ΒΙΩι

Τὸ ῥητὸν τοῦτο, ὅπερ ὡς ἐπιγραφὴν ἄνωθεν τῶν εἰσόδων τῶν Βυζαντινῶν δικαστηρίων ἀνεγράφετο καὶ σήμερον μεγάλοις γράμμασιν εὕρηται κεχαραγμένον ἐπὶ πλακὸς φερούσης ταῶν, κατενώπιον, μὲ τανυσμένας τὰς πτέρυγάς του, σύμβολον τῆς ἀθανασίας καὶ ἥτις προέρχεται ἐκ τοῦ παλιομονάστηρου καὶ εἶναι ἐντετειχισμένη ὑπεράνω τῆς πύλης τῆς μονῆς Ξηροποτάμου, ὑπεμφαίνει ἂν μήτι ἄλλο, τὸ ἰδεῶδες, ὅπερ ὁ μοναχὸς πάσης ἐποχῆς ἐθεώρησεν ὡς ἐλατήριον τοῦ ἐπὶ τῆς γῆς βίου του. Ὁ μοναχικὸς βίος ἔχων πάντοτε τὸν θάνατον πρὸ ὀφθαλμῶν ἐπιβάλλει ὑποχρεώσεις τοιαύτας, ὥστε οἱ ἀήθεις αὐτῶν νὰ φθάνουν μέχρι τοῦ σημείου νὰ ἐξευτελίζουν τὸν μοναχὸν διὰ μόνον τὸν λόγον, ὅτι μὴ δυνάμενοι νὰ ὑπαχθοῦν εἰς τὰς αὐστηρὰς ἐπιταγάς του, αἰσθάνονται, τρόπον τινά, εὐχαρίστησιν νὰ διασύρουν τὸν βίον ἐκεῖνον, ὅστις ἀποκορυφώνει τὰς χριστιανικὰς ἀρχάς, χωρὶς ὅμως νὰ ἐπιβάλλεται καὶ εἰς πάντα χριστιανόν. Τῇ ἀληθείᾳ εὑρέθησαν τοιοῦτοι χριστιανοί, οἵτινες προθύμως καὶ ἐκ παίδων ἀναλαβόντες τὸν ζυγὸν τοῦ Κυρίου ἡμῶν, κατώρθωσαν νὰ ἐπιτελέσουν θαύματα ἀνδρείας ἐναντίον τῶν ἀοράτων ἐχθρῶν τοσοῦτο ὑπουλοτέρων, ὅσον τὰ τεχνάσματα καὶ τὰ σχέδια αὐτῶν ἐμπνέονται ὑπ' αὐτοῦ τοῦ μισοκάλου ἀρχηγοῦ τῆς Πονηρίας, τοῦ ἐκβληθέντος ἀπὸ τῆς πατρίου δόξης Ἑωσφόρου.

Οἱ ἀγῶνες τῶν μοναχῶν ἐναντίον τοιούτων ἐχθρικῶν πνευματικῶν δυνάμεων, ὡς ἔφθημεν εἰπόντες, εἶναι κατὰ τοσοῦτο μεγάλοι ὥστε ἐλάχιστοι ἐκ τῶν μελῶν τῶν Χριστιανικῶν κοινοτήτων ἐδέχθησαν ἀγογγύστως νὰ ἀποδυθῶσι εἰς τὸν κλῆρον τοῦτον, τῶν ἄλλων τρεπομένων ἐπὶ τὰ ἕτοιμα καὶ εὐκολώτερα, οἵτινες ὡς πρὸς τοῦτο ἔχουν ἐπαναπαυθῇ ἀπὸ ἀπόψεως ψυχικῆς, τοῦ Κυρίου βεβαιοῦντος, ὅτι ἐν τῷ «οἴκῳ τοῦ Πατρός μου πολλαὶ μοναί εἰσι». Ἡ εὐκολία, μεθ' ἧς πᾶς Χριστιανὸς τείνει ν' ἀναλαμβάνῃ τὸ ἐλαφρότερον εἰς αὐτὸν βάρος, ἀφοῦ ἄλλως τε τοῦτο εἶναι θεμιτόν, ἐν τῇ ἐπιτελέσει τοῦ ἐπὶ τῆς γῆς προορισμοῦ αὐτοῦ, ἐξηγεῖ τοῦτο, ὅτι ἐλάχιστοι ἐξ αὐτῶν ἀσπάζονται τὸν μοναχικὸν βίον καὶ οἱ περισσότεροι προκρίνουν τὸν ἔγγαμον ἢ τὸν ἐν κοινωνίᾳ βίον, μακρὰν τῶν περιορισμῶν, οὓς τὰ μοναχικὰ ἰδεώδη ὑπαγορεύουν, ἵνα ἀσφαλίσουν κατὰ τρόπον ἀναμφισβήτητον τὴν τακτικὴν τοῦ χριστιανοῦ εἰς τὴν στενὴν ῥύμην, τὴν ὁδηγοῦσαν εἰς νομὰς σωτηρίους, ὅπου ἡ ἀνθρωπίνη ψυχὴ ἀτενίζει ἀπολαύουσα ἀγαθῶν, τὰ ὁποῖα ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπων οὐκ ἀνέβη. Καὶ εἶναι μὲν ἀληθὲς ὅτι ὁ χριστιανὸς εἶναι δυνατὸν ὡς τοιοῦτος νὰ σταδιοδρομήσῃ καὶ ἐν τῷ κόσμῳ, διαφυλάσσων ὡς κόρην ὀφθαλμοῦ τὸν χριστιανικὸν Νόμον καὶ ἀποφεύγων τοὺς σκοπέλους καὶ τὰς ὑφάλους τῆς κοινωνικῆς ζωῆς, ἀλλ' εἶναι τόσον πολλὰ τὰ ἐμπόδια καὶ αἱ παγίδες, τὰς ὁποίας ὁ ἐν μηχαναῖς παντοίας ἠσκημένος πονηρὸς τοῦ προβάλλει, ὥστε ἀναγκάζεται διαρκῶς ὡς ἄγρυπνος οἰακοστρόφος νὰ ἐπαγρυπνῇ εἰς τοὺς χειρισμοὺς τοῦ πηδαλίου, ὅ ἐστιν ἡ συμμόρφωσις αὐτοῦ πρὸς τὸ θεῖον θέλημα, διὰ νὰ δυνηθῇ νὰ ἀποφύγῃ τὸν ἐχθρόν, τὸν ὠρυόμενον ὡς λέοντα διὰ νὰ ἁρπάσῃ καὶ καταπίῃ τὴν ψυχήν μας. Μηδὲ φαντασθῶμεν ὅτι εἶναι εὔκολος ἡ ἐξ ἀγαθῆς προαιρέσεως ὁρμωμένη πάλη πρὸς τὰ στοιχεῖα τοῦ κόσμου τούτου, χρειάζεται μακρὰ καὶ ἐπίμονος ἕξις εἰς τὰ ὑπὸ τοῦ ἠθικοῦ Νόμου διακελευόμενα, διὰ νὰ δυνηθῇ κανεὶς νὰ ἀποκτήσῃ τὴν χρῆσιν τῶν ἀπαιτουμένων ἐφοδίων πρὸς ἀντιμετώπισιν τῶν μεθοδειῶν τοῦ πονηροῦ, οὗ μόνον ἔργον εἶναι ἡ διὰ τῶν κοσμικῶν ἐπιθυμιῶν κατασίγασις ἐν ἡμῖν τῆς ἐν τῇ συνειδήσει ἡμῶν ἀναθρωσκούσης θείας φωνῆς, ὅταν παρεκκλίνωμεν ἀπὸ τὸν εὐθὺν δρόμον, ὃν τὸ αἷμα τοῦ Κυρίου ἡμῶν ἐνεκαίνισε καὶ οἱ εἰς τὸν Νόμον αὐτοῦ συμμορφωθέντες μυριάδες ὁμολογητῶν καὶ ἁγίων καὶ ἐναντίον τῶν πολυτρόπων τοῦ Πονηροῦ εἰσηγήσεων παλαίσαντες ἔστρωσαν, ἵνα καταστήσουν βατὸν εἰς πάντα χριστιανὸν μεριμνῶντα διὰ τὴν σωτηρίαν του. Ἀλλ' ἐὰν τῷ παραδείγματι ἐκείνων στοιχοῦντες οἱ μετὰ τὴν ἐμπέδωσιν τοῦ χριστιανισμοῦ κατὰ τρόπον μὴ ἐπιδεχόμενον συζήτησιν ἀσκητεύοντες μοναχοὶ ἀγωνίζονται, πρέπει διὰ τοῦτο νὰ μὴ θεωρῶνται ἀντάξιοι αὐτῶν, ἀφοῦ ἐν τῷ μέσῳ τοῦ σημερινοῦ κόσμου, ὅσεις παράγει καθὼς καὶ ἡ ἐπιθυμία αὐτοῦ ἐξακολουθοῦσι νὰ προβάλλουν ἑαυτοὺς ὡς πρότυπα, πρὸς τὰ ὁποῖα πᾶς χριστιανὸς ζῶν ἐν τῷ κόσμῳ καθῆκον ἔχει νὰ κανονίζῃ τὴν ζωήν του, ἂν θέλῃ νὰ ἔχῃ τὴν ἀκριβῆ στάθμην τῆς ἐπιγείου του πολιτείας. Καὶ εἶναι τοσούτῳ μᾶλλον θαυμαστὴ ἡ πολιτεία αὐτῶν, καθ' ὅσον ὁρμᾶται ἐκ τῆς συναισθήσεως, ὅτι λόγῳ τῆς ἀποχωρήσεως ἐκ τοῦ κόσμου ἔχουν ν' ἀντιπαλαίσουν ὄχι μόνον πρὸς τὰς ἐπιθυμίας αὐτοῦ, αἵτινες λόγῳ τῆς στερήσεως καθίστανται ἐντονώτεραι, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῷ κόσμῳ ἐπιγείους δαίμονας οἵτινες μὴ ἀρκούμενοι εἰς τὴν τύφλωσιν αὐτῶν, τείνουν διὰ τῶν χαιρεκάκων αὐτῶν ἐκφράσεων νὰ σπιλώσουν ἰδεῶδες, ὅπερ μόνον ὡς πρότυπον ἐπιδοκιμαζόμενον καὶ χρησιμοποιούμενον ὠφελεῖ εἰς τὸν καθ' ἡμέραν βίον τοῦ πιστοῦ τοῦ ἐν τῇ κοινωνίᾳ ζῶντος, προσέτι δὲ νὰ δηλητηριάσωσιν ἄνευ οὐδενὸς ὅμως ἀποτελέσματος τὸν βίον τῶν ἡρώων ἐκείνων, τοὺς ὁποίους αὐτὴ ἡ ζωὴ τοῦ Χριστοῦ ἐμπνέει καὶ καθοδηγεῖ, καὶ τὴν ὁποίαν αὐτοὶ οὐδεπόρρωθεν δυνάμενοι νὰ ἀκολουθήσουν, χλευάζουσι τὸν μοναχ. βίον, καθὸ μὴ ἀ-

1) ἴσως περιῶν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξιοι αὐτοῦ. Ὁ ὀρθόδοξος μοναχὸς ἔχων ὡς ἰδεῶδες τὴν διὰ τῆς περιφρονήσεως τῶν κοσμικῶν ἐπιθυμιῶν ἐκλαμβάνων αὐτὰς ὡς σκύβαλα, ἀποβλέπει εἰς τὴν προσοικείωσιν τῆς πολιτείας τοῦ Χριστοῦ, μὴ δίδων σημασίαν εἰς τοὺς ἀποδίδοντας εἰς τὸν μοναχ. βίον ὑπερβολὴν τοῦ χριστ. πνεύματος ὅστις κατὰ τὴν ἀντίληψιν τῆς ἐκκλησίας εἶναι εἰδικὸν κέντρον πρὸς πραγματοποίησιν τοῦ γενικοῦ σκοποῦ τοῦ χριστιανισμοῦ. Εἶναι δὲ γνωστὸν ἀφ' ἑτέρου ὅτι ὁ θεμελιώδης νόμος τῆς χριστ. ζωῆς εἶναι ἡ ἀγάπη, ἀπὸ τῆς τριπλῆς ἀπόψεως, πλήρωσις τοῦ Νόμου τ. ἔ, ἀπὸ τῆς ἀπόψεως καθηκόντων τοῦ ἀνθρώπου πρὸς Θεόν, πρὸς τὸν πλησίον του καὶ πρὸς ἑαυτὸν τοῦ μοναχικοῦ βίου ταὐτιζομένου ἐν τῷ θεμελιώδη νόμῳ καὶ τῷ σκοπῷ του πρὸς τὸν χριστιανισμόν, δὲν χωρεῖ διαφορὰ εἰς πᾶν ὅ,τι ἀφορᾷ τὰς πρὸς τὸν Θεὸν ὑποχρεώσεις μεταξὺ τοῦ χριστιανικοῦ βίου ἐν γένει καὶ τοῦ μοναχικοῦ βίου. Δὲν συμβαίνει ὅμως τὸ ἴδιον ὡς πρὸς τὰ δύο ἄλλα εἴδη τῶν ὑποχρεώσεων. Τῷ ὄντι τὰ καθήκοντα τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν εἶναι ἄμεσα, ἐξ ἴσου ἀναγκαῖα εἰς ὅλους, ἐνῷ τὰ πρὸς τὸν πλησίον καὶ ἑαυτὸν εἶναι ἔμμεσα καὶ δὲν εἶναι ὁμοίως ἀπαραίτητα πρὸς ἐπιτυχίαν τοῦ γενικοῦ σκοποῦ. Κατὰ τὰς σχέσεις λοιπὸν ταύτας τοῦ ἀνθρώπου πρὸς ἑαυτὸν καὶ τοὺς ἄλλους καθορίζονται αἱ ἀντικειμενικαὶ βάσεις τοῦ μοναχ. βίου, αἵτινες ἀνέκαθεν ὑπῆρξαν ἡ πτωχεία, ἡ ἐγκράτεια καὶ ἡ ὑπακοή, ἀρεταὶ αἵτινες καὶ αὐταὶ μᾶς μαρτυροῦσι διατὶ ἀποτελοῦσι τὴν μόνην μορφὴν ἣν δύναται νὰ προσλάβῃ ὁ μοναχικὸς βίος διότι διὰ τῆς ὑπακοῆς ὁ ἄνθρωπος παραιτεῖται ψευδοῦς ἀνεξαρτησίας, ἐνῷ διὰ τῆς πτωχείας καὶ ἁγνείας ἀπαλάσσεται τῶν δεσμῶν, οἱ ὁποῖοι τὸν δεσμεύουν πρὸς τὴν φύσιν, τὴν κοινωνίαν καὶ οἱ ὁποῖοι ἀποστρέφουν τὸ βλέμμα του ἀπὸ τοῦ Θεοῦ. Εἶναι ἀληθὲς δὲ ὅτι δέδοται εἰς ὀλίγους μόνον νὰ ζῶσι μεταξὺ τῶν παθῶν καὶ θελγήτρων τοῦ κόσμου χωρὶς νὰ παύωσι νὰ κατευθύνωσι τὴν σκέψιν των πρὸς τὸν Θεὸν καὶ νὰ ἐκπληρῶσι τὸν ἀληθῆ προορισμὸν τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς. Διὰ τοῦτο αἱ γραφαὶ ἐξαίρουν τὴν ἑκουσίαν πτωχείαν καὶ τὴν ἀγαμίαν, σιγῶσιν ὅμως προκειμένου περὶ τῆς ὑπακοῆς.

Ἐξ ἄλλου δεικνύουσαι πόσον στενὸς πρέπει νὰ εἶναι ὁ δεσμὸς μεταξὺ τῶν χριστιανῶν καὶ διαγράφουσαι τὴν ὑπακοὴν οὐ μόνον διὰ τοὺς ἀνωτέρους ἀλλὰ καὶ διὰ τοὺς ἀδελφούς, τοὺς πληροφοροῦντας, τοὺς ἐπιτιμῶντας ἡμᾶς, δὲν ἀποστέργουσι, ὡς ἀντίθετον πρὸς τὸ πνεῦμα τοῦ Χριστοῦ, τὸ νὰ ἐπαφίηταί τις εἰς τὴν καθοδήγησιν ἄλλου διὰ τὴν ἀσφαλεστέραν εἰς τὴν ὁδὸν τῆς σωτηρίας πορείαν.

Ὁ μοναχικὸς βίος θεωρούμενος ὑποκειμενικῶς, ἑδράζεται ἐπὶ τῆς ἀγάπης, ὑπολαμβανομένης ὡς αὐτῆς τῆς ἀρχῆς τῆς ζωῆς ἐν τῷ ἀνθρώπῳ καὶ ἀφορώσης εἰς τὸ νὰ καταστήσῃ ἐπὶ μᾶλλον καὶ μᾶλλον στενὴν τὴν ἑκουσίαν τῆς ψυχῆς ἕνωσιν μετὰ τοῦ Σωτῆρος Χριστοῦ τοῦ καὶ χορηγοῦ τῆς χάριτος. Κατὰ συνέπειαν λοιπὸν τῆς ἐπιθυμίας ταύτης τῆς τελειότητος, ὁλονὲν προαγόμενος ὁ ὑψηλοτέρας καὶ τῆς πληρεστέρας ἑνώσεως μετὰ τοῦ Θεοῦ ἐφιέμενος ἄνθρωπος, ἐγκαταλείπει τὰ γήϊνα, ἵνα ζήσῃ ἐν Θεῷ, καὶ ὑπηρετήσῃ Αὐτὸν μόνον ἐν καθαρότητι ψυχῆς καὶ τῇ ἀσκήσει τῶν χριστιανικῶν ἀρετῶν· νηστεύει διὰ νὰ νεκρώσῃ τὴν ἐπιθυμίαν τῆς σαρκὸς καὶ βοηθήσῃ τοὺς ἀδελφούς του μὲ τὰς οἰκονομίας του· καταπονεῖται διὰ τῆς ἐργασίας τῶν χειρῶν του καὶ τὸ προϊὸν χρησιμοποιεῖ χάριν τῶν πτωχῶν, λησμονεῖ ἑαυτὸν καὶ θυσιάζει προθύμως τὴν ζωήν του, ὅταν πρόκηται νὰ σώσῃ τοὺς ὁμοίους του ἢ νὰ δια-



φυλάξῃ ἀπαραμείωτον τὴν τῆς πίστεως κληρονομίαν καὶ τὴν Ἱερὰν Παράδοσιν· ἡ ἀγάπη του ἐπινοεῖ μυρίους τρόπους, οὐχὶ χάριν ἐπιδείξεως, ἀλλ' ἵνα μεταδοθῇ καὶ συντελέσῃ εἰς τὴν σωτηρίαν ἑνὸς ἑκάστου.

Αἱ ἀρχαὶ αὗται ἐμπνεόμεναι ἀπὸ τὸ πνεῦμα τῶν διατάξεων τῶν μεγάλων τοῦ μοναχικοῦ βίου ἱδρυτῶν, οἷον Ἀντωνίου τοῦ μεγάλου, τῶν ὁσίων Μακαρίου καὶ Παχωμίου μοναχῶν, χιλιάδας ὅλας ὀτρηρῶν τῆς πίστεως ἐργατῶν ἐμψυχωσάντων πρὸς τὸ ἴδιον αὐτῶν παράδειγμα, ἑπόμενον ὅτι διεδόθησαν ἀνὰ σύμπαντα τὸν χριστιανικὸν κόσμον, δημιουργήσασαι ρεύματα ὅλα χριστιανῶν ἐπιποθούντων νὰ καταξιωθῶσι τῆς ἰσαγγέλου πολιτείας, τῶν μοναστηρίων ἀπὸ τοῦ 5ου αἰῶνος γενομένων φροντιστηρίων τῆς κατὰ Χριστὸν πολιτείας καὶ ἀσκήσεως καὶ συγκεντρούντων πλήθη ἀκροατῶν διψώντων μάθησιν, πολλῶν δὲ ἐκ τῶν ἐθνικῶν παρακινουμένων ὑπὸ τῶν ἐνθέων παραδειγμάτων ζηλωτῶν τῆς πατρίου πίστεως νὰ ἐπιστρέψωσι εἰς τὸν Χριστιανισμόν, ἐνῷ οἱ μεγάλοι Πατέρες ἐκωδικοποίουν τὰς διατάξεις ὀργανοῦντες μοναστήρια, ὅπου τότε παράδειγμα καὶ ἡ μίμησις συνεχέοντο ἐν τῇ ἀσκήσει τῶν χριστιανικῶν ἀρετῶν.

---

ΣΑΒΒΑ ΜΟΝΑΧΟΥ ΦΙΛΟΘΕΪΤΟΥ

# ΕΡΜΗΝΕΙΑ ΤΟΥ ΧΕΡΟΥΒΙΚΟΥ ΥΜΝΟΥ

## ΠΡΟΛΕΓΟΜΕΝΑ

Ἀγαπητοί,

Ὁ Πανάγαθος Θεὸς καὶ Δημιουργὸς ἁπάσης τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως, ἐκτὸς τοῦ θρησκευτικοῦ καὶ ἠθικοῦ νόμου, τὸ ὁποῖον ἔδωκεν ὁδηγὸν τοῖς ἀνθρώποις πρὸς σωτηρίαν, ἐνέθηκε καὶ ἐνεφύτευσε καὶ φυσικοὺς νόμους εἰς πάντα τὰ κτίσματα· ἐξαιρέτως δὲ εἰς τὸ τελειότερον δημιούργημα Αὐτοῦ, τὸν ἄνθρωπον. Ἐκτὸς δὲ τῶν ἀπείρων σωματικῶν καὶ πνευματικῶν (τὰ ὁποῖα δὲν εἶναι τῆς παρούσης ὑποθέσεως ν' ἀπαριθμῶμεν) δι' ὧν ἐπροίκισεν αὐτὸν ἡ ἀγαθοπάροχος δεξιὰ τοῦ Θεοῦ, ἔθεσεν εἰς τὴν ψυχὴν αὐτοῦ καὶ τὴν διάθεσιν τοῦ καλοῦ· (τοῦ ὀρέγεσθαι τὸ καλόν). Τὴν ψυχικὴν ταύτην δύναμιν βλέπομεν ἀκόμη καὶ εἰς αὐτὰ τὰ βρέφη, τὰ ὁποῖα ὅταν ἴδωσι κανὲν ἀντικείμενον ὡραῖον καὶ εὔμορφον, προσπαθοῦσι παντοιοτρόπως ν' ἀποκτήσωσι καὶ ἀπολαύσωσιν αὐτό. Ἡ ψυχικὴ λοιπὸν αὕτη δύναμις καλλιεργουμένη βαθμηδὸν αὐξάνει· καλλιεργουμένη δὲ διὰ τῆς Χριστιανικῆς παιδαγωγήσεως ὄχι μόνον αὐξάνει, ἀλλὰ καὶ ἀποδίδει καρποὺς ἀγλαοὺς πρὸς ὠφέλειαν αὐτοῦ καὶ τοῦ πλησίον. Διότι ὅταν ὁ Χριστιανὸς παῖς παιδαγωγηθῇ χριστιανικῶς ἐξ αὐτῶν τῶν γονέων του ἀκόμη, ἔχων δὲ καὶ τὴν διάθεσιν τοῦ καλοῦ ἀνεπτυγμένην, σὺν τῷ χρόνῳ θέλει μεταδώσει καὶ τοῖς συναδέλφοις του ἐκ τῶν καρπῶν αὐτῆς. Τοῦτο δὲ εἶναι τὸ θέλημα τοῦ Θεοῦ ἀγαπητοί, τό, ὅτι, ὁ χριστιανὸς πρέπει ὄχι μόνον ν' αὐξήσῃ καὶ καλλιεργήσῃ τὴν ψυχικὴν δύναμιν ταύτην, δηλαδὴ τὴν διάθεσιν τοῦ καλοῦ, ἀλλὰ νὰ μεταδώσῃ καὶ εἰς τὸν πλησίον του ἐκ τοῦ προερχομένου ἐξ αὐτῆς καρποῦ. Τοῦτο δὲ ὡς χρεωστικὸν καὶ ἀδελφικὸν καθῆκον ἔχομεν πάντες οἱ πιστοί· ἵνα μεταδίδωμεν, δηλαδή, ἐκεῖνο τὸ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁποῖον ἐλάβομεν δωρεὰν παρὰ τοῦ δωροδότου Θεοῦ. Τούτου ἕνεκα κἀγὼ ὁ ταπεινὸς καὶ εὐτελὴς καίτοι ἀμαθής, πλὴν ὑπείκων εἰς τὴν νεῦσιν τοῦ Κυρίου, ἀπεφάσισα ἐν πάσῃ ταπεινοφροσύνῃ νὰ μεταδώσω, ἐκεῖνο τὸ ἐλαχιστομόριον τὸ ὁποῖον ἔλαβον. Ὄχι δηλαδὴ διὰ τῆς ἔξω σοφίας, ἥτις εἶναι μωρία παρὰ τῷ Θεῷ, ἀλλὰ διὰ τῆς βοηθείας καὶ χάριτος αὐτοῦ τοῦ Θεοῦ, νὰ ἑρμηνεύσω κατὰ τὸ δυνατὸν τὸν ὡραῖον καὶ ὑψίστης σημασίας «Χερουβικὸν Ὕμνον», τὸν ὁποῖον ψάλλομεν ὁσάκις τελεῖται Λειτουργία.

(Ἀκολουθεῖ)

---

ΕΚ ΤΗΣ ΣΥΛΛΟΓΗΣ ΣΠΥΡΙΔ. ΛΑΥΡΙΩΤΟΥ ΜΟΝΑΧΟΥ-ΙΑΤΡΟΥ

## ΑΠΟΦΘΕΓΜΑΤΑ ΦΙΛΟΣΟΦΙΚΑ

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

Διογένης ἐρωτηθεὶς τὶ τῶν θηρίων κάκιστα δάκνει, ἔφη· τῶν μὲν ἀγρίων ὁ συκοφάντης, τῶν δὲ ἡμέρων ὁ κόλαξ· Ἔοικεν ἡ κολακεία γραπτὴ πανοπλία· διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχει.

— Ἔοικεν ὁ τῶν φιλαργύρων βίος νεκροῦ δείπνῳ πάντα γὰρ ἔχων, τὸν εὐφρανθησόμενον οὐκ ἔχει. Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου δεῖ χάριν ἐπιζητεῖν.

— Σοφός τις ἐρωτηθεὶς ὑπό τινος, τίς σοι πλουσιώτερος εἶναι δοκεῖ; εἶπεν· ὁ ἐλαχίστοις ἀρκούμενος, αὐτάρκεια γὰρ ἐστὶ φύσεως πλοῦτος.

— Νεανίσκου ἐν θεάτρῳ ἀμβρυνομένου καὶ λέγοντος σοφὸς εἶναι πολλοῖς ὁμιλήσας σοφοῖς, εἶπέ τις· κἀγὼ πολλοῖς πλουσίοις, ἀλλὰ πλούσιος οὐκ εἰμί.

— Ὁ αὐτὸς ἔφη οὐ καλὸν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα μεθύουσιν.

— Ὁ αὐτὸς ἔλεγε· τὰ βιβλία τῶν μὲν μεμαθηκότων ὑπομνήματα εἶναι, τῶν δὲ ἀμαθῶν μνήματα.

— Οὔτε τὸν ἀρρωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

— Εὐτυχῶν μέτριος ἔσο, ἀτυχῶν δὲ φρόνιμος.

— Ὥσπερ ἄν τις ἵππον κτήσηται καλὸν κακῶς ἱππεύειν ὡς μὴ ἐπιστάμενος, οὕτω καὶ φιλάργυρος πλούσιος.

— Ἀνὴρ πανοῦργος πρᾷον ὑπεισελθὼν σχῆμα, κεκρυμένη πρόκειται παγὶς τοῖς πλησίον.

— Ὃ μέλλεις ποιεῖν μὴ λέγε· ἀποτυχὼν γὰρ καταγελασθήσῃ.

— Ὧν ὁ βίος ἄκοσμος, τούτοις ἡ σιωπὴ μέγιστος κόσμος.

— Ὁδοιπόρος τις εἰς τὸν οὐρανὸν ὁρῶν καὶ ἐμπεσὼν εἰς βάραθρον ἡ θεράπαινα τούτου θεωροῦσα ἔφη· δίκαια παθεῖν, ὃς τὰ παρὰ ποσὶν ἀγνοῶν, τὰ ἐπουράνια ἐσκόπει. Ὑγιαίνων νοσεῖ πᾶς περίεργος, ὁ τὰ ἀλλότρια πολυπραγμονεῖν.

— Σοφός τις ἐρωτηθείς, πῶς ἄν τις τὸν ἐχθρὸν λυπήσῃ; ἔφη· ἑαυτὸν παρασκευάζων βέλτιστα πράττειν.

— Φθείρεται ὁ μὲν κόσμος πυρὶ καὶ ὕδατι, ὁ δὲ τῶν ἀκολάστων πλοῦτος, ἔρωτι καὶ μέθῃ.

— Αἴσωπος ἐρωτηθείς, τὶ ὄφελος τοῖς ψευδομένοις ἐκ τοῦ ψεύδους; ἔφη· τὸ κἂν ἀληθῆ λέγουσι, μὴ πιστεύεσθαι. Οἱ μὲν ζῶντες ἐκ τῶν φίλων, οἱ δὲ τεθνεῶτες ἐκ τῶν ἐπιτρόπων διαγιγνώσκονται.

— Ἐπικαλουμένου τινὸς θάνατον ἐπὶ τέκνων ἀπωλείᾳ. Σοφοκλῆς ἔφη· τὶ αὐτὸν καλεῖς ἄνθρωπε, ὃν οὐ κἂν μὴ καλέσῃς ἔρχεται;

— Τῶν Ἰνδῶν τῶν ἄριστα δοκούντων καὶ λεγομένων διὰ δακτυλίου τὸν ἰστὸν ἀφιέναι, Ἀλέξανδρος ἐκέλευσεν ἐπιδείξασθαι τοῦτο, καὶ μὴ βουλομένου, ὀργισθεὶς ὁ Ἀλέξανδρος ἀνελεῖν προσέταξεν· ἐπεὶ δὲ ἀπερχόμενος ὁ ἄνθρωπος, ἔλεγε πρὸς τοὺς ἄγοντας αὐτόν, ὅτι πολὺς χρόνος ἐστὶν ἀφ᾽ οὗ ἐπὶ χώρας τόξον οὐκ ἔλαθον, καὶ τὸ ἴσως νῦν ἀποτυχεῖν ἐφοβήθην· ταῦτα ἀκούσας Ἀλέξανδρος ἐθαύμασε, καὶ ἀπέλυσεν μετὰ δώρων αὐτόν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν ἤ τῆς δόξης ἀνάξιος φανεῖναι.



— Κρεῖττον εἶναι τῷ ποδὶ ὀλισθαίνειν ἤ τῇ γλώσσῃ.

— Νικολέας ὁ φιλόσοφος τοὺς ἰατροὺς εὐτυχεῖς ἔλεγεν ὅτι τὰς μὲν ἐπιτυχίας αὐτῶν ὁ ἥλιος ὁρᾷ· τὰς δὲ ἀποτυχίας ἡ γῆ καλύπτει. Στρατόνικος δὲ κολακεύων ἰατρὸν ἔλεγεν· ἐπαινῶ σου τὴν ἐμπειρίαν, ὅτι οὐκ ἐᾷς τοὺς ἀρρώστους κατασαπεῖναι, τάχιον αὐτοὺς τοῦ ζῆν ἀπαλλάσσων.

— Ἀνάχαρσις ὁ σκύθης ἐρωτηθεὶς διὰ τίνα αἰτίαν οἱ ἄνθρωποι λυποῦνται πάντοτε; ἔφη· ὅτι οὐ μόνον αὐτοὺς τὰ ἴδια κακὰ λυπεῖ, ἀλλὰ καὶ τὰ ἀλλότρια ἀγαθά.

— Βίων ὁ σοφιστὴς ἰδών τινα φθονερὸν σφόδρα κεκυφότα εἶπεν· ἢ τούτῳ μέγα κακὸν συνέβη, ἢ ἄλλῳ μέγα ἀγαθόν. Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.

— Ὁδηγὸν τυφλὸν λαβεῖν καὶ σύμβουλον ἀνόητον, ταὐτόν ἐστιν.

— Δικτύῳ κομίζειν ὕδωρ καὶ πλίνθον πλύνειν εὐπετές, ἢ κακίαν φυτευθεῖσαν χρόνῳ πολλῷ ἐν ἀνθρώπου ψυχῇ ἐξελεῖν, δυνατόν.

— Πέρσαις ὅ μὴ ποιεῖν ἔξεστιν, οὐδὲ λέγουσι.

— Ἐὰν δέ τις πατέρα κτείνῃ, λιτὸν αὐτὸν οἴονται· ἐὰν δέ τινα προστάξῃ μαστιγῶσαι ὁ βασιλεύς, εὐχαριστεῖ ὡς ἀγαθοῦ τυχὼν ὅτι αὐτοῦ ἐμνήσθη ὁ βασιλεύς, (1) ἆθλα σε λαμβάνουσι παρὰ βασιλέως πολυτεκνίας· οἱ δὲ παῖδες αὐτῶν παρ᾽ αὐτοῖς ὥσπερ μαθήματα τὶ ἀληθεύειν διδάσκονται. Τὴν συνείδησιν ὥσπερ ἀγαθὸν ἰατρὸν ἐπικαλεῖσθαι δεῖ, ἐν ταῖς περιστάσεσι βοηθόν·

— Ἔοικεν ὁ βίος θεάτρῳ· διὸ πολλάκις χείριστοι τὸν κάλλιστον αὐτὸν κατέχουσι τόπον.

— Σωκράτης ἐρωτηθείς· ποία πόλις ἄριστα οἰκεῖται, ἔφη, ἡ μετὰ νόμου ζῶσα καὶ τοῖς ἀδικοῦσι ἐπεξιοῦσα. Μὴ τιμωμένης ἀρετῆς, ἡ κακία παρρησιάζεται.

Ἀκολουθεῖ

---

ΤΟ ΔΙΗΓΗΜΑ ΜΑΣ

## Η ΡΟΖΑ ΤΟΥ ΤΑΝΝΑΝΒΟΥΡΓΟΥ

### ΚΕΦΑΛΑΙΟΝ Α.'

### Η ΡΟΖΑ ΑΝΑΤΡΕΦΟΜΕΝΗ ΥΠΟ ΚΑΛΗΣ ΜΗΤΡΟΣ

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

Ὄχι ἀργὰ ἡ Ῥόζα ἐξετέλει ὅ,τι ἡ μήτηρ της τῇ ἐσημείωνε, καὶ δεχομένη τοὺς ὑποσχεθέντας καρπούς, ἡ χαρά της ἦτο πολὺ μεγαλυτέρα, παρ᾽ ἐὰν ἀπελάμβανεν αὐτοὺς ἄνευ ἀγώνων. Ἡ Ῥόζα σφάλλουσα, δὲν ἠδύνατο νὰ καταβῇ εἰς τὸν κῆπον μετὰ τῆς μητρός της· καὶ ἡ τιμωρία αὕτη ἦτο ἀρκετὴ δι᾽ αὐτήν, ἥτις ἄλλως ἀπέβαινεν ἀνωφελής; ἅμα ἡ Ματθίλδη τὴν παρετήρει μὲ σοβαρὸν ὕφος καὶ ἐπρόφερε τοὺς λόγους τούτους· «δὲν ἤθελον πιστεύσει ὅτι ἤθελες κάμει τοῦτο τὸ σφάλμα. Μὴ μὲ λυπεῖς πλέον οὕτω φερομένη.» Ἡ δὲ Ῥόζα πρὸς τὰς παρατηρήσεις τῆς μητρός της δὲν ἀνεπαύετο πλέον μὴ βλέπουσα αὐτὴν μειδιῶσαν.

Ἡ ἀξιόλογος αὕτη μήτηρ δὲν ἠδύνατο νὰ μένῃ ἀργὴ οὐδὲ μίαν μόνην στιγμήν, θέλουσα μάλιστα καὶ ἡ θυγάτηρ της νὰ μὴ μένῃ τοιαύτη ποτέ. Ἐνῷ αὕτη

---

(1) Σημ. ἀντιγραφέως : Καὶ οἱ Πατέρες ὁσάκις ἐθλίβοντο ἔλεγον : Εὐχαριστῶ σοι Κύριε ὅτι μὲ ἐνεθυμήθης σήμερον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐκάθητο εἰς τὸ ἔργον της, ἐγνώριζε πάντοτε νὰ ἀπασχολῇ παρ' αὐτῇ τὴν μικρὰν Ῥόζαν. Ῥίπτουσα ἐπὶ τῆς θυγατρός της βλέμμα εὐχαριστήσεως ἔλεγε καθ' ἑαυτήν· «εἶναι ἀληθὲς ὅτι ὁ ἐνεργητικὸς ζῆλος τοῦ παιδίου δὲν χρησιμεύει ἀπὸ τοῦ νῦν εἰς τὴν οἰκονομίαν, ἀλλὰ καὶ δὲν τῷ εἶναι ὀλιγώτερον ὠφέλιμος ἡ, πρὸς ταύτην ἐνασχόλησις αὐτοῦ· ἡ πρὸς τὴν ἐργασίαν ἀγάπη διαφυλάττει τὸ παιδίον ἀπὸ τὰς κακὰς συνηθείας καὶ ἕξεις, καὶ τὸ συνειθίζει ἐνωρὶς εἰς τὸ ἔργον». Πολὺ νέα ἀκόμη ἡ Ῥόζα ἔμαθε νὰ κλώθῃ, καὶ ὄχι πολὺ ἀργὰ μετεχειρίζετο ἐπιτηδείως τὴν βελόνην. Ὁδηγουμένη ὑπὸ τῆς μητρός της, κατώρθωσε νὰ κατασκευάσῃ μάλλινον φόρεμα ἐκ τοῦ ὑπ' αὐτῆς ἑτοιμασθέντος ἐρίου, καὶ περιβαλλομένη τὸ φόρεμα τοῦτο ᾐσθάνετο ἀπερίγραπτον χαράν, καὶ πολὺ μεγαλητέραν εὐχαρίστησιν ἀφ' ὅσην ᾐσθάνετο ἀπὸ τὸ δωρηθὲν εἰς αὐτὴν ὑπὸ τοῦ πατρός της μεγαλοπρεπὲς ὕφασμα, τὸ ὁποῖον ποτε οὗτος τῇ ἔφερεν ἐπιστρέφων ἀπὸ μίαν τῶν ἐκστρατειῶν του. Κατὰ τὴν συνήθειαν τῶν χρόνων ἐκείνων, ἡ Ματθίλδη ἐπηγρύπνει αὐτὴ ἡ ἰδία εἰς τὰς φροντίδας τοῦ μαγειρείου, καὶ ἡ Ῥόζα ἐκ τῆς νεαρᾶς αὐτῆς ἡλικίας, ἀκολουθήσασα τὸ τῆς μητρός της παράδειγμα, ἀφωσιώθη εἰς τὰς ἐπιφορτισθείσας αὐτῇ ἀσχολίας, ὅσον ἀσήμαντοι καὶ ἂν ἦσαν. Ἐν τούτοις ἡ διασκέδασις, τὴν ὁποίαν ἡ Ματθίλδη ἐπροτίμα ἐφ' ὅλων τῶν ἄλλων, ἦτο ἐκείνη ἣν τῇ προσέφερεν ὁ κῆπος τοῦ φρουρίου.

Ἀκολουθεῖ

## ΕΠΙΚΑΙΡΟΝ

Ὁ παρ' ἡμῖν θρησκευτικὸς Σύλλογος τῶν «Τριῶν Ἱεραρχῶν» διοικούμενος παρὰ τοῦ προέδρου κ. Ἠλία Μάρου πρὸ πολλῶν ἐτῶν, τῇ βοηθείᾳ ἐκλεκτῶν συνεργατῶν του ἀποτελούντων τὸ Διοικ. Συμβούλιον, ἐργαζόμενος διὰ τὴν πνευματικὴν βελτίωσιν τῶν μελῶν του εἰδικῶς καὶ γενικῶς δι' ὅλην τὴν πόλιν τοῦ Βόλου, τῇ συμβολῇ τῆς ἀρτίας βιβλιοθήκης του ἀπαρτιζομένης ἐκ δέκα καὶ πλέον χιλ. τόμων, τῶν θείων κηρυγμάτων διὰ τοῦ θεολόγου βιβλιοφύλακός του, τῶν Κατηχητικῶν του σχολείων κ.λ.π., ἐνήργησε τὴν παρελθοῦσαν Κυριακὴν 23 Ἰανουαρίου διὰ ἐκλογήν, λήξάσης τῆς τριετοῦς θητείας του, διὰ νέον Διοικ. Συμβούλιον.

Ἡ διαλογὴ τῶν ψηφοδελτίων ἔφερε τὸ ἑξῆς ἀποτέλεσμα.

Ἐπὶ 82 ψηφισάντων μελῶν ἔλαβον ψήφους κατὰ σειρὰν ἐπιτυχίας οἱ κάτωθι :

1) **Ἠλίας Μάρος** Ἐργοστασιάρχης πρόεδρος ψήφους 82

(Ἡ παμψηφία ἀποδεικνύει τὴν μεγάλην ἀγάπην, ἣν ἔχουσι τὰ μέλη πρὸς αὐτόν, συνεπείᾳ ὑπερανθρώπου ἐργασίας του πρὸς τὸν Σύλλογον).

2) **Χρῆστος Βαρούτσικος**, Καθηγητὴς Γυμνασίου 74

3) **Ἰωάννης Σπαθάρης**, Καθηγητὴς Πρακ. Λυκείου 73

4) **Τριαντάφυλλος Τσέτας**, δικηγόρος 72

5) **Ἰω. Παναγιωτόπουλος**, ταγματάρχης ἐ. ἀ. 70

6) **Νικ. Κουτσίνας**, μεγαλέμπορος 68

7) **Μιχ. Δουλῆς**, Δημοδιδάσκαλος 60

8) **Γεωρ. Ραβιόλος**, ἐργοδηγὸς Γκλαβάνη 52

9) **Γεώρ. Μαλικέντζος**, δερματέμπορος 48

Ἡ «Ἁγιορειτικὴ βιβλιοθήκη» ἐξασφαλίζει εἰς τὸ νέον Διοικ. Συμβούλιον τὰς εὐχὰς ὅλων τῶν Ἁγιορειτῶν Πατέρων, πρὸς πλήρη εὐόδωσιν τοῦ τελικοῦ προορισμοῦ τοῦ Συλλόγου.

Οἱ ἀποστείλαντες ἐσχάτως τὰς συνδρομάς των.

**β.' ἔτους**

Ἀρχιμανδρίτης Δημ. Μακρῆς - Γλῶσσα Σκοπέλου.

Ἀρχιμανδρίτης Χρυσόστομος Μπόγδης Πειραιεύς.

**Διαδόσατε τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην».**

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΤΟΣ Β.' ΑΡΙΘ. 17
ΙΔΡΥΤΗΣ : ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ - ΙΑΤΡΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
# ΦΩΤΕΙΝΗΣ
## ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ

Ἀντιγραφεῖσα ἐξ ἀρχαίου Κώδικος τῆς ἐν τῷ ἁγίῳ Ὄρει τοῦ Ἄθω ἱερᾶς μονῆς τῆς Μεγίστης Λαύρας καὶ ἀποσταλεῖσα ἡμῖν πρὸς ἔκδοσιν τύποις

ΥΠΟ
ΣΠΥΡΙΔΩΝΟΣ (ΑΘΑΝΑΣΙΟΥ) ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΙΑΝΟΥΑΡΙΟΣ 1938

1938
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΕΥΧΗ ΕΠΙ ΤΩι ΝΕΩι ΕΤΕΙ

Ἐπὶ τῇ εἰσόδῳ τοῦ νέου ἔτους 1938, ἡ «Ἁγιορειτικὴ Βιβλιοθήκη», εὔχεται εἰς τοὺς προσφιλεῖς αὐτῆς συνδρομητὰς ὁσιωτάτους Πατέρας καὶ ἀδελφούς, ὅπως κρατοῦντες ὅλοι τὰς Θρησκευτικὰς καὶ Ἐθνικὰς ἡμῶν παραδόσεις, ἐχόμενοι δὲ στερρῶς τῆς διδασκαλίας τοῦ ἱεροῦ Εὐαγγελίου, βαδίζωμεν μὲ πίστιν ἀκλόνητον καὶ ἐλπίδα βεβαίαν εἰς τὸν τελικὸν ἡμῶν προορισμὸν διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰς τοὺς θέλοντας, ἵνα ζήσωσιν εἰρηνικωτέραν ζωὴν ἐν τῷ παρόντι κόσμῳ, καὶ ποθοῦντας τὴν ἐν οὐρανοῖς ἀγγελικὴν ζωήν, ἀπαρνούμενοι τοὺς κοσμικοὺς ἀγῶνας, εὐχόμεθα ὅπως προσέλθουν εἰς τὰς αἰωνοβίους ἐκείνας ἐπάλξεις τῆς πίστεως, τὰς ἱερὰς μονάς, ἐν τῷ ἁγίῳ ὄρει ἢ τὰς ἐν ἁπάσῃ τῇ Ἑλληνικῇ ἐπικρατείᾳ, μὲ πλῆρες θάρρος, ἐλπίδα καὶ στερεὰν πίστιν, ἀποδυόμενοι εἰς πνευματικοὺς ἀγῶνας καὶ πυκνοῦντες τὰς τάξεις ἐναντίον τῶν ἀοράτων ἐχθρῶν, ἐπάλξεις ἀπὸ τῶν ὁποίων περιφρουρεῖται οὐχὶ τὸ σῶμα ἀλλὰ τὸ ἄφθαρτον ἐν ἡμῖν στοιχεῖον, ἡ ψυχή, διὰ τῆς ὑποταγῆς εἰς σοφοὺς καὶ ἁγίους ὁδηγούς.

Ἡ διεύθυνσις

## ΜΗΝΙ ΦΕΒΡΟΥΑΡΙΟΥ ΚΣΤ'.

Ἑορτάζομεν τὴν μνήμην τῆς Ἁγίας ἐνδόξου μεγαλομάρτυρος Φωτεινῆς τῆς Σαμαρείτιδος.

Ψάλλεται δὲ ἡ ἀκολουθία ἀπὸ τὰς ιε'. τοῦ Φεβρουαρίου καὶ ἔμπροσθεν.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ Προσόμια τῆς Ἁγίας.

**Ἦχος πλ. δ'.**

**Ὢ τοῦ παραδόξου θαύματος**

Χαίροις Φωτεινὴ πανεύφημε, ἡ κατιδοῦσα Χριστόν, τὸν Θεὸν ἐν τῷ φρέατι, ὕδωρ σοι αἰτούμενον, καὶ σοφῶς ὑπανοίγοντα, θεογνωσίας πόμα τὸ ἔνθεον, ὃ καὶ πιοῦσα ποταμοὺς ἐβλυσας, θείῳ ἐν Πνεύματι, ἀλλομένου ὕδατος καὶ ζωηροῦ· δι' οὗ κατεδρόσισας τῆς γῆς τὰ πέρατα. Δὶς

Ὅλως τρωθεῖσα τῷ ἔρωτι, τοῦ σαρκωθέντος Θεοῦ, ὤφθης ἔμπλεως γνώσεως, καὶ πολλῆς συνέσεως, ἀθληφόρε ἀοίδιμε, διὸ γηΐνων πόθον κατέλιπες, καὶ τοῦτον πάντως, κατηκολούθησας, ὥσπερ ἐπόθησας, ζωηφόροις ἴχνεσι καὶ τὴν αὐτοῦ, θείαν συγκατάβασιν, πᾶσιν ἐτράνωσας. Δὶς

Πόθῳ τοῦ Χριστοῦ Πανεύφημε, πεῖραν βασάνων πολλῶν, ἀνδρικῶς ὑπομείνασα, μετὰ τῶν συνάθλων σου, τὸν τὴν γῆν καὶ τὴν θάλατταν, πρὶν ἐξαλείφειν κατακαυχόμενον, ὥσπερ στρουθίον εἰς γῆν κατέρραξας, καὶ νῦν ἀπείληφας, τὸν τῆς νίκης στέφανον ἐν οὐρανοῖς, ἔνθα τῶν τιμώντων σου, τὴν μνήμην μέμνησο. Δὶς

**Δόξα**

**Ἦχος πλ. α'.**

Σήμερον ἡ Ἐκκλησία τοῦ Χριστοῦ, μυστικὴν πανήγυριν, συγκροτοῦσα· τοὺς μαρτυρικοὺς ἀγῶνας γεραίρει· Φωτεινῆς τῆς καλλιμάρτυρος. Αὕτη γὰρ τῶν Ἀποστόλων συνόμιλος γενομένη, τῆς θεοσεβείας τὸ κήρυγμα, πανταχοῦ ἐφήπλωσε, διδαχαῖς ἐνθέοις, καὶ τῇ τῶν θαυμάτων ἐνεργείᾳ, καὶ πολλοὺς τῷ Κυρίῳ προσήγαγε μάρτυρας, καὶ νῦν μετὰ τῆς τῶν τέκνων δυάδος, καὶ τῆς τῶν αὐταδέλφων πεντάδος, τῷ Θεῷ παρισταμένη, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν τοῦ τυχόντος ἤχου**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ Προσόμοια

**Ἦχος β΄.**

**Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν**

Δεῦτε φιλομάρτυρες πιστῶς, τὴν ὑπὲρ τοῦ πάντων Δεσπότου στεῤῥῶς ἀθλήσασαν, Φωτεινὴν τὴν ἔνδοξον σεπτῶς τιμήσωμεν, φοινιχθεῖσαν πορφύραν γάρ, ῥοαῖς τῶν αἱμάτων, κόσμον ὡς βασίλειον περικειμένη λαμπρῶς, ἤχθη εἰς νυμφῶνα τὸν θεῖον καὶ εἰς οὐρανίους θαλάμους, τὰ τῶν πόνων ἔπαθλα κομίζουσα.

Στιχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Μέγα τὸ ἀρίστευμα τὸ σόν, μέγα καὶ τὸ φρόνημα ὄντως, καὶ τὸ ἐκνίκημα, φύσιν γὰρ τοῦ θήλεως, περικειμένη σαφῶς, τὸν ἀόρατον δράκοντα, εἰς τέλος καθεῖλες, Φωτεινὴ πανένδοξε πυγμαῖς τῶν ἄθλων σου· ὅθεν καὶ στεφάνους τῆς νίκης, χαίρουσα ἀπείληφας ὄντως, ἐκ τῆς δεξιᾶς τοῦ Παντοκράτορος.

Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Μύρου ὡς ἀλάβαστρον σεμνή, καὶ ὡς προσφορὰν τῷ Δεσπότῃ, καὶ ὡς θυμίαμα, εὔοσμον προσήγαγες τοὺς σοὺς ὡραίους βλαστούς, καὶ τὰς θείας ὁμαίμονας, καὶ οὓς ἐφελκύσω, πρὸς Θεοῦ ἐπίγνωσιν ἐνθέοις λόγοις σου, μεθ' ὧν κατοικοῦσα τὰ ἄνω, φρούρει σαῖς πρεσβείαις τοὺς πόθῳ, μνήμην σου τὴν θείαν ἑορτάζοντας.

**Δόξα**

**Ἦχος δ΄.**

Τῶν προφητικῶν προρρήσεων τὸ πέρας, μετὰ πίστεως προσδεχομένη, Φωτεινὴ ἀοίδιμε, καὶ τὸν ἐν αὐταῖς σκιαγραφούμενον, ἐν τῷ φρέατι κατιδοῦσα, εὐθὺς κατελάμφθης τὸν νοῦν, καὶ αὐτῷ προθύμως ἠκολούθησας, διὸ καὶ ἰσαπόστολος, παρ' αὐτοῦ προχειρισθεῖσα, τὸ σκότος τῆς εἰδωλομανίας ἔλυσας, καὶ μαρτυρικῶς ὑπὲρ τῆς ἀγάπης αὐτοῦ, ἀγωνισαμένη, μετὰ Ἀγγέλων συναγάλλῃ ἐν οὐρανοῖς πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν**

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος· ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. Τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. Ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος Θεός, ἐλέησον ἡμᾶς.

**Ἀπολυτίκιον**

**Ἦχος γ΄.**

**Θείας πίστεως**

Θείῳ Πνεύματι καταλαμφθεῖσα, καὶ τοῖς νάμασι καταρδευθεῖσα, παρὰ Χριστοῦ τοῦ Σωτῆρος πανεύφημε, τῆς σωτηρίας τὸ ὕδωρ ἐζήτησας, καὶ τοῖς διψῶσιν ἀφθόνως μετέδωκας, μεγαλομάρτυς Φωτεινὴ ἰσαπόστολε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, τοῖς ζωηρρύτοις ὕδασι, δροσίσαι τὰς ψυχὰς ἡμῶν.

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν ἑσπερινόν.

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα.

**Ἦχος δ΄.**

**Ταχὺ προκατάλαβε**

Χριστοῦ ταῖς προσρήσεσι, καταυγασθεῖσα τὸν νοῦν, φωτὸς δίκην ἔλαμψας ἐν τῷ κηρύγματι, Φωτεινὴ πανοίδιμε, ὅθεν συνηριθμήθης, τῶν μαρτύρων χορείαις, χάριν τῶν ἰαμάτων, ἐφαπλοῦσα ἐνθέως, τοῖς πίστει ἑορτάζουσι μάρτυς τὴν μνήμην σου. Δίς

**Θεοτοκίον**

Παρθένε πανύμνητε, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, Μαρία θεόνυμφε, καὶ ἀπειρόγαμε, πιστῶν ἡ ἀντίληψις ῥῦσαι παντὸς κινδύνου, καὶ παντοίας ἀνάγκης, Δέσποινα Θεοτόκε, τοὺς ἐν πίστει καὶ πόθῳ, τῇ σκέπῃ σου προσφεύγοντας, μόνη θεόνυμφε.

Μετὰ τὴν β΄. Στιχολογίαν. Κάθισμα

**Ἦχος πλ. δ΄.**

**Τὴν σοφίαν καὶ Λόγον**

Φλεγομένη τῷ πόθῳ τοῦ ἐραστοῦ, τῶν γηΐνων παρέδραμες τὸ φθαρτόν, καὶ τούτου τοῖς ἴχνεσιν ἑπομένη ἐκραύγαζες, εἰς ὀσμὴν τῶν μύρων σου, δραμοῦμαι γλυκύτατε, τετρωμένη γὰρ ὄντως εἰμὶ τῆς ἀγάπης σου· ὅθεν ὡς ἐπόθεις τὸ μαρτύριον εὗρες, τοῦ πόθου κατάλληλον, Φωτεινὴ ἰσαπόστολε, διὰ τοῦτο βοῶμέν σοι, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Δίς

**Θεοτοκίον**

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύω λεπτά, προσφέρω σοι Δέσποινα ὑπὲρ πασῶν τῶν χαρίτων σου, σὺ γὰρ ὤφθης σκέπη, ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων ἀεί με ἐξαίρουσα· ὅθεν ὡς ἐκ μέσης φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν πανάγιον τόκον σου.

Τὰ συνήθη τῆς ἡμέρας· εἶτα οἱ Κανόνες τῆς Θεοτόκου καὶ τῆς Ἁγίας Φωτεινῆς εἰς ϛ΄.

Ὁ Κανὼν τῆς Ἁγίας οὗ ἡ Ἀκροστιχίς «Αἰνῶ Φωτεινὴν καὶ τοὺς αὐτῇ συνάθλους».

**Ὠδὴ α΄. Ἦχος δ΄.**

**Ἀνοίξω τὸ στόμα μου**

Ἀκτὶς θείας χάριτος, τὴν σὴν ψυχὴν κατεφώτισε, Χριστοῦ σε καλέσαντος, παρὰ τὸ φρέαρ Σιχάρ, διὸ ἔλιπες τὸ ἄντλημα εὐθέως, τῆς γηΐνων σχέσεως, ἔνυλον σύμβολον. Δίς

Ἱστίῳ τοῦ Πνεύματος, τὸ τῶν βασάνων κλυδώνιον, ἀβρόχως διέπλευσας, καὶ προσωρμίσθης σεμνή, εἰς γαλήνιον, καὶ ἄκλυστον λιμένα, γαλήνης τῆς κρείττονος, ἐπαπολαύουσα. Δίς

Νεφέλη ὀμβρίζουσα, ὕδωρ τὸ ζῶν καὶ ἀλλόμενον, ἐδείχθης πανεύφημε, καὶ πηγὴ ἄφθονος, πελαγίζουσα, θεογνωσίας ῥεῖθρα, εἰς ζωὴν αἰώνιον Φωτεινὴ πάνσεμνε.

**Θεοτοκίον**

Ὡραῖον ὡς κρίνόν σε, ἐν τῷ λειμῶνι τῆς κτίσεως, Θεὸς σε εὑράμενος, ἐν σοὶ ἐσκήνωσε, Κόρη Πάναγνε, καὶ τὴν βροτῶν οὐσίαν, πᾶσαν εὐωδίασεν, ὀσμαῖς θεότητος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὠδὴ γ'

**Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε**

Φωτώνυμον κλῆσιν κεκτημένη, φωτὶ τῷ τῶν ἄθλων σου σεμνή, φωτίζεις τοὺς τιμῶντάς σε, καὶ τῶν θαυμάτων λάμψεσι, λαμπρύνεις τοὺς γεραίροντας, τὰ σὰ σεπτὰ κατορθώματα. Δὶς

Ὡράθης τρυγὼν ὡραιοτάτη, ἐν ἄλσει φωνήσασα ποτέ, τοῦ μαρτυρίου πάνσεμνε, καὶ οὕτω συνεκάλεσας, σοὺς νεοττοὺς πρὸς μίμησιν, καὶ τοὺς σεπτούς σου ὁμαίμονας. Δὶς

Τυράννων ὠμότητα οὐδόλως, κατέπτηξας μάρτυς Φωτεινή, ἀλλὰ στερρῶς ὑπήνεγκας, βασάνων τὰ ἐπίπονα· διὸ Χριστὸς προσήκατο, τοὺς ὑπὲρ φύσιν ἀγῶνάς σου.

Θεοτοκίον

Ἐσκήνωσεν ὅλος ἐν γαστρί σου, ὁ Λόγος Πανάμωμε ἁγνή, καὶ ἄνθρωπος ἐγένετο, δι' εὐσπλαγχνίαν ἄφατον, καὶ διὰ σοῦ ἐθέωσεν, ἡμῶν τὴν φύσιν ὡς εὔσπλαγχνος.

Ὁ Εἱρμὸς

»Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, »ὡς ζῶσα, καὶ ἄφθονος πηγή, »θίασον συγκροτήσαντας, πνευματικὸν »στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, »στεφάνων δόξης ἀξίωσον.

Κάθισμα. Ἦχος πλ. δ'.

**Τὸ προσταχθὲν μυστικῶς**

Τοῦ μαρτυρίου τὴν ὁδὸν τὴν πολυώδυνον, ἀκλινεῖ πόθῳ, μέχρι τέλους διανύσασα, προσωμιλήσας ἰδέαις πολλῶν βασάνων, καὶ τὴν πίστιν ἀπαράτρωτον τηρήσασα, τὸν χειμάρρουν τῆς τρυφῆς κλῆρον ἀπείληφας· διό σοι κράζομεν. Χαίροις μάρτυς πολύαθλε.

Θεοτοκίον

Θεοχαρίτωτε ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι, καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Ὠδὴ δ'.

**Τὴν ἀνεξιχνίαστον**

Ἵνα ἀπαλλάξῃ σε τῆς ζοφερᾶς, πλάνης τῶν γηΐνων καὶ σχέσεως, ὁ προειδώς σου τὴν ῥοπὴν πρὸς τὰ κακά, ἐν Σαμαρείᾳ ἔρχεται, καὶ ζωγρεῖ σε πίστεως ῥήμασι. Δὶς

Νύκτα ματαιότητος εἰδωλικῆς, ἔλυσας φωτὶ τῶν σῶν ἄθλων σου· καὶ τῶν θαυμάτων, καὶ ἐφείλκυσας πολλούς, εἰς πίστιν τὴν οὐράνιον, οὓς υἱοὺς ἡμέρας ἀνέδειξας. Δὶς

Ἤστραψας ὡς ἥλιος φωτοφανής, μέσον τοῦ σταδίου πανεύφημε, τοῦ μαρτυρίου, καὶ θαυμάτων ταῖς βολαῖς, κατηύγασας τὰ ὄμματα, τῶν εἰλικρινῶς προσιόντων σοι.

Θεοτοκίον

Νεῦσον ταῖς δεήσεσι σῶν ἱκετῶν, Δέσποινα Παρθένε θεόνυμφε, καὶ λύσιν δίδου, τῶν ἀμέτρων συμφορῶν σὺ γὰρ ἡμῶν βοήθεια, καὶ καταφυγὴ καὶ ἀντίληψις.

Ὠδὴ ε'.

**Ἐξέστη τὰ σύμπαντα**

Καθεῖλες τὴν ἔπαρσιν, καὶ τὴν ὀφρὺν τοῦ δράκοντος τοῦ πάλαι πτερνίσαντος τὴν Εὔαν, θείᾳ δυνάμει ῥωσθεῖσα μάρτυς Χριστοῦ, καὶ τούτου ὡραίοις σου ποσί, κάραν τὴν πανώλεθρον, ἀνδρικῶς κατεπάτησας· Δὶς



Ἀδούλωτον φρόνημα, μαρτύρων τε τὴν ἔνστασιν, καὶ τὴν παρρησίαν κεκτημένη, τὸ τῶν τυράννων θράσος κατέβαλες, καὶ πᾶσαν βασάνων προσβολὴν μάρτυς κατεφρόνησας, λογισμῷ γενναιόφρονι. Δὶς

Ἰσχύς μου καὶ δύναμις, καὶ κραταιὰ βοήθεια, Χριστός μοι ὑπάρχει ἀνεβόας, θείᾳ δυνάμει τῆς τῶν χειρῶν ἐκκοπῆς, καὶ τῆς τῶν δακτύλων συντριβῆς, ῥυσθεῖσα καὶ ἤλεγξας, τῶν τυράννων τὸ μάταιον.

Θεοτοκίον

Τὴν θείαν εἰκόνα σου, σεπτῶς κατασπαζόμενοι, πληρούμεθα θείας εὐφροσύνης, ἁγιαζόμενοι Μητροπάρθενε, καὶ γὰρ τῆς εἰκόνος ἡ τιμή, ἐπὶ τὸ πρωτότυπον, διαβαίνει σαφέστατα.

Ὠδὴ ϛ'.

**Ἐβόησε, προτυπῶν**

Οἰόμενος, τῆς ψυχῆς σου ἐκλύειν τὸ σύντονον, ὁ παράφρων, βασιλεὺς τὸν χρυσόν σοι προτίθεται, καὶ τιμίους λίθους, ἀλλ' ὡς σκύβαλα ταῦτα λελόγισαι. Δὶς

Ὑψώσασα, πρὸς Θεὸν ἀκλινῆ τὴν διάνοιαν, ἀδιστάκτως, δηλητήριον φάρμακον ἔπιες, ὅπερ οὐδαμῶς σου, ὁ Χριστὸς ὡς προέφη καθήψατο. Δὶς

Σταλάζουσιν, οἱ κρουνοὶ τῶν αἱμάτων σου ἴαμα, παθημάτων, τὰ δυσώδη καθαῖρον νοσήματα, μάρτυς ἀθληφόρε, εἰς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν αἴνεσιν.

Θεοτοκίον

Ἀπάτορα, τὸν ἐκ σοῦ σαρκωθέντα δοξάζομεν, Θεοτόκε, τὸν πρὸ πάντων αἰώνων ἀμήτορα, ἀπερινοήτως, ἐκ Πατρὸς γεννηθέντα θεόνυμφε.

Ὁ Εἱρμὸς

»Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν »τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς »ἐν τῷ κήτει δεόμενος, ἐκ φθορᾶς με »ῥῦσαι, Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

**Κοντάκιον**

**Ἡ Παρθένος σήμερον**

Τῆς ψυχῆς τὰ ὄμματα καταυγασθεῖσα, τῇ πίστει ἀφθαρσίας ἔπιες, τὸ θεοδώρητον πόμα, ἔβλυσας, θεογνωσίας ἄφθονα ῥεῖθρα, εἴληφας τῶν ἰαμάτων τὴν θείαν χάριν· διὰ τοῦτο ἐδοξάσθης, Φωτεινὴ μάρτυς, ἐν οὐρανῷ καὶ ἐν γῇ.

Ὁ Οἶκος

Τίς ἐξείποι τὰ λαμπρά σου κατορθώματα; ἢ ποία γλῶσσα ἐπαινέσοι τοὺς ἀγῶνας καὶ τοὺς ἄθλους, οὓς μαρτυρικῶς ὑπήνεγκας ὑπὲρ ἀγάπης τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος; καὶ σὲ μαθήτριαν αὐτοῦ, διὰ τῆς παροχῆς τοῦ ζῶντος ὕδατος προχειρήσαντος; σὺ γὰρ μετὰ πόθου αὐτῷ ἀκολουθήσασα, καὶ τὴν ἀμώμητον πίστιν, ἐναντίον βασιλέων καὶ τυράννων κηρύξασα, ἐπαξίως ἐδοξάσθης, Φωτεινὴ μάρτυς, ἐν οὐρανῷ καὶ ἐν γῇ.

**ΣΥΝΑΞΑΡΙΟΝ**

Τῇ κϛ' τοῦ αὐτοῦ μηνὸς μνήμη τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος Φωτεινῆς τῆς Σαμαρείτιδος, ᾗ ὡμίλησεν ὁ Χριστὸς ἐν τῷ φρέατι, καὶ τῶν σὺν αὐτῇ, ἤτοι τῶν πέντε αὐτῆς ἀδελφῶν καὶ τῶν δύο αὐτῆς υἱῶν, καὶ Σεβαστιανοῦ τοῦ Δουκός.

**Στίχοι**

Ῥίπτουσα τὴν σὴν Σαμαρεῖτιν εἰς φρέαρ.

Τὴν εἰς φρέαρ σοὶ συλλαλήσασαν Λόγε.

Ταῖς αὐτῶν πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Ὠδὴ ζ'.
**Ἐν τῇ καμίνῳ**

Ὕμνον ὡς πάλαι, Ἀβραμιαῖοι Παῖδες οἱ εὐσεβεῖς, μέσον τῆς καμίνου μένουσα ἀβλαβής, τῷ Σωτῆρί σου ἀνέμελπες, εὐλογημένος εἶ ὁ Θεός μου, βοῶσα καὶ Κύριος. Δὶς

Τῇ ἀγαπήσει, ὡς τετρωμένη μάρτυς τοῦ ἐραστοῦ, στέργεις τὴν πικρὰν ἀφαίρεσιν τῆς δορᾶς, ἀφθαρσίαν προξενοῦσάν σοι, εὐλογημένος εἶ ὁ Θεός μου, βοῶσα καὶ Κύριος. Δὶς

Ἠμφιεσμένη, σῶν ἐξ αἱμάτων πορφυρίδα φαιδρῶς, μάρτυς φοινιχθεῖσαν ἔνδον νῦν κατοικεῖς εἰς παστάδα τὴν οὐράνιον. Εὐλογημένος εἶ ὁ Θεός μου, βοῶσα καὶ Κύριος.

**Θεοτοκίον**

Στάμνος τοῦ Μάννα, σὲ προετύπου πάλαι ἐν τῷ Σινᾷ, σὺ γὰρ τὸν τροφέα πάντων καὶ λυτρωτήν, ἐν κοιλίᾳ σου ἐβάστασας, διό σοι κράζομεν· εὐλογημένη Παρθένε Πανάμωμε.

### Ὠδὴ η'.
**Παῖδας εὐαγεῖς**

Ὑπὲρ τῆς ἀγάπης τοῦ Δεσπότου, προθύμως τὸν θάνατον προείλοντο, Ἀνατολὴ ἡ πάνσεμνος, Κυριακή, Φωτώ, Φωτίς, Παρασκευὴ ἡ ἔνθεος, ὡς γνήσιαι ἀδελφαί, τῆς μάρτυρος Φωτεινῆς τῆς θείας· ὧν τὴν θείαν μνήμην, τελοῦμεν μετὰ πόθου. Δὶς

Νόμοις τοῖς τῆς φύσεως στοιχοῦντες, καὶ ὅλως ἀδελφικῇ στοργῇ συνδούμενοι, καὶ τῇ θεοσδότῳ δέ, ἀγάπῃ τελειούμενοι, μαρτυρικῶς ἠθλήσατε Φωτεινὲ ἔνδοξε, καὶ θεῖε Ἰωσῆ βλαστοὶ θεῖοι, Φωτεινῆς τῆς θείας, οὓς πόθῳ εὐφημοῦμεν. Δὶς

Ἄσμασι τὸν θεῖον ἀθλοφόρον, καὶ μάρτυρα Σεβαστιανὸν τιμήσωμεν, οὗτος γὰρ τὴν ἄληκτον, δόξαν καὶ λαμπρότητα, καὶ τῶν μαρτύρων στέφανον, τῶν ἐπικήρων τερπνῶν, πανσόφως ἀντηλλάξατο ὅθεν, νῦν μετὰ Ἀγγέλων, χορεύει εἰς αἰῶνας.

**Θεοτοκίον**

Θαῦμα πῶς λοχεύεις καὶ ἁγνεύεις, Παρθένος καὶ Μήτηρ ὄντως πέφηνας, πάντα ὑπὲρ ἔννοιαν, καὶ ὑπὲρ κατάληψιν, τὰ τοῦ σοῦ τόκου· Πάναγνε θεῖα μυστήρια· ἐν σοὶ γὰρ οἱ τῆς φύσεως ὅροι, καινοποιοῦνται Κόρη, ὡς οἶδεν ὁ Υἱός σου.

**Ὁ Εἱρμὸς**

» Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ » τόκος τῆς Θεοτόκου διεσώσατο, »τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργού»μενος, τὴν οἰκουμένην ἅπασαν, ἀγεί»ρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε »τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας »τοὺς αἰῶνας.

### Ὠδὴ θ'.
**Ἅπας γηγενὴς**

Λύσαντες δεινήν, ἀπάτης σκοτόμαιναν φωτὶ τῆς χάριτος, μάρτυρες πανεύφημοι, καὶ ταῖς τῶν ἄθλων θείαις λαμπρότησιν, εἰς οὐρανοὺς μετέστητε φωτὸς πληρούμενοι, τοῦ ἀδύτου, καὶ καταξιούμενοι, τῆς ἀλήκτου χαρᾶς καὶ ἐφέσεως. Δὶς

Ὅλος γλυκασμός, ὅλος εὐφροσύνη τε καὶ ἀγαλλίασις, ὅλος χαρὰ ἄληκτος, καὶ θυμηδία ἡ ἀνεκλάλητος, καὶ ὅλος θεία ἔφεσις ὑπάρχεις ὦ Ἰησοῦ, ἀνεβόων, μάρτυρες οἱ ἔνδοξοι, ἀμοιβὰς τῶν ἀγώνων δεχόμενοι.

Ὕλης κοσμικῆς ἐναποσεισάμενοι τὴν ματαιότητα, μάρτυρες πανεύφημοι, γεώδους σώματος ἠλογίσασθε, καὶ αἰκισμοὺς καὶ μάστιγας, καθυπεμείνατε, δι' ἀγάπην τοῦ σαρκὶ



πτωχεύσαντος, καὶ χαρᾶς τῆς ἀλήκτου ἐτύχετε.

**Δόξα**

Συνόντες Χριστῷ, καλλίνικοι μάρτυρες καὶ στεφανούμενοι, καὶ φωτὸς πληρούμενοι, τοῦ ἀνεσπέρου μὴ ἐπιλάθησθε, τοὺς τὴν ἡμῶν πανήγυριν ἐπιτελοῦντας φαιδρῶς, τῶν κινδύνων, πάντων ἐξαιρούμενοι, εὐπροσδέκτοις ὑμῶν παρακλήσεσι.

**Καὶ νῦν**

Δώρησαι ἡμῖν, πλουσίως τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, Δέσποινα Πανύμνητε, καὶ ῥῦσαι πάσης δεινῆς κακώσεως, ἁμαρτιῶν καὶ θλίψεων σὺ γὰρ ἡμῶν ἡ ἐλπίς, ἡ βεβαία, καὶ ἀκαταμάχητος, καὶ ἐν σοὶ πεποιθότες σωζόμεθα.

**Ὁ Εἱρμὸς**

» Ἅπας γηγενής, σκιρτάτω τῷ » πνεύματι λαμπαδουχούμενος· »πανηγυριζέτω δέ, ἀΰλων Νόων φύ»σις γεραίρουσα, τὴν ἱερὰν πανήγυ»ριν τῆς Θεομήτορος, καὶ βοάτω· χαί»ροις, Παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ἐξαποστειλάριον

**Τῶν μαθητῶν ὁρώντων σε**

Τῇ φωτονύμῳ κλήσει σου καταλλήλως, βίον φωτὸς ἔμπλεων ἐπεδείξω, σύμφωνον τοῖς λόγοις καὶ τοῖς ἔργοις σου, καὶ σελασφόροις θαύμασι· διὸ φωτὸς ἀπολαύεις, ἐν οὐρανοῖς ἀθλοφόρε.

**Θεοτοκίον**

Χρυσοπλοκώτατε Πύργε, καὶ δωδεκάτειχε Πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ Προσόμοια

**Ἦχος α'.**

**Τῶν οὐρανίων ταγμάτων**

Παρὰ τὸ φρέαρ ὡς εἶδες τὸν προσδοκώμενον, αἰτούμενόν σοι ὕδωρ, ᾠκειώθης τῇ πίστει, καὶ ἤντλησας τὸ ὕδωρ τὸ ζωηρόν, καὶ τοῖς διψῶσι μετέδωκας· ὡς ἰσαπόστολος πρώτη ἐν γυναιξί, Φωτεινὴ θεομακάριστε. Δὶς

Θωρακισθεῖσα τῷ ὅπλῳ τοῦ ζωηφόρου σταυροῦ, πρὸς συμπλοκὴν ἐξῆλθες, τοῦ ἐχθροῦ ὃν καθεῖλες, εἰς τέλος καὶ ἐδέξω παρὰ Χριστοῦ, τὸν τῆς νίκης σου στέφανον, ἐν οὐρανοῖς μετ' ἀγγέλων περιχαρῶς, συγχορεύουσα ἀοίδιμε.

Ὥσπερ ἀλάβαστρον μύρον Χριστῷ προσήγαγες, τοὺς σοὺς γενναίους ἄθλους, οὓς προθύμως ὑπέστης, ὑπὲρ τῆς ἀληθείας μάρτυς σεμνή, καὶ τῶν θαυμάτων ἀπείληφας, τὴν θείαν χάριν διὸ σου τὴν ἱεράν, ἑορτάζομεν πανήγυριν.

**Δόξα**

**Ἦχος β'.**

Τῆς θείας δωρεᾶς τὰ νάματα, ἀντλήσασα, παρὰ τοῦ Σωτῆρος Χριστοῦ, Φωτεινὴ ἀξιάγαστε, πηγὴ ὤφθης ἀνεξάντλητος, τὸ ζῶν καὶ ἀλλόμενον ὕδωρ ἀναβλύζουσα· ὡς αὐτὸς σοι ὑπέσχετο· ὅθεν καὶ τὰς ἐκτακείσας ψυχάς, τῷ καύσωνι τῆς ἀγνωσίας, ἀποστολικῶς καταρδεύσασα· καὶ διὰ βασάνων πολυπλόκων, τοῦ μαρτυρικοῦ τέλους ἀξιωθεῖσα, ἐν οὐρανοῖς συναγάλλῃ, μετὰ τῶν οἰκείων σου, πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Καὶ νῦν

Τὴν πᾶσαν ἐλπίδα μου

Δοξολογία μεγάλη καὶ ἀπόλυσις

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικὰ γ΄. καὶ ϛ΄. Ὠδὴ ἐκ τοῦ Κανόνος τῆς ἁγίας.

Ὁ Ἀπόστολος τῆς ια΄ Κυριακῆς.

«Ἀδελφοὶ ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς...»

Καὶ τὸ Εὐαγγέλιόν της ἤγουν τῆς ε΄ Κυριακῆς μετὰ τὸ Πάσχα.

Κοινωνικὸν

Εἰς πᾶσαν τὴν γῆν . . .

## Βίος τῆς ἁγίας καὶ ἐνδόξου μεγαλομάρτυρος Φωτεινῆς τῆς Σαμαρείτιδος.

Αὕτη ἡ ἁγία μεγαλομάρτυς τοῦ Χριστοῦ Φωτεινὴ εἶναι ἡ Σαμαρεῖτις ἐκείνη γυνή, ὅπου διηγεῖται ὁ Εὐαγγελιστὴς Ἰωάννης ὁ Θεολόγος, εἰς τὸ ἱερὸν αὐτοῦ Εὐαγγέλιον, ὅτι συνωμίλησε μὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, εἰς τὸ φρέαρ τοῦ πατριάρχου Ἰακώβ, καὶ ἐπίστευσεν εἰς αὐτόν· ἡ ὁποία μετὰ τὴν εἰς οὐρανοὺς Ἀνάληψιν τοῦ Κυρίου καὶ τὴν τοῦ ἁγίου Πνεύματος κατάβασιν εἰς τοὺς θείους ἀποστόλους τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἐβαπτίσθη ἀπὸ τοὺς ἀποστόλους καὶ ἐκείνη μὲ τοὺς δύω της υἱούς, καὶ τὰς πέντε ἀδελφὰς αὐτῆς, καὶ ἠκολούθησαν τοὺς ἁγίους Ἀποστόλους καὶ ἐκήρυττον τὴν πίστιν τοῦ Χριστοῦ ἀπὸ τόπον εἰς τόπον καὶ ἀπὸ χώραν εἰς χώραν καὶ ἐπέστρεφαν πολλοὺς εἰδωλολάτρας ἀπὸ τὴν ἀσέβειαν καὶ τοὺς ἔκαμναν Χριστιανούς. Εἰς δὲ τὰς ἡμέρας τοῦ ἀσεβεστάτου βασιλέως τῆς Ρώμης Νέρωνος ἐν ἔτει ξϛ΄. (66), ἐκινήθη μέγας διωγμὸς ἐναντίον τῶν χριστιανῶν, καὶ μετὰ τὸ μαρτύριον τῶν κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου ἐζήτουν οἱ διῶκται νὰ θανατώσωσι τοὺς μαθητὰς τῶν ἀποστόλων καὶ ὅλους ἐκείνους ὅπου ἐπίστευον εἰς τὸν Χριστόν, σπουδάζοντες οἱ μάταιοι νὰ ἐξαλείψουν ἀπὸ τὸν κόσμον τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ δὲν ἤξευραν οἱ ἀνόητοι πῶς ὅσον ἐκεῖνοι ἐκατάτρεχαν τὴν πίστιν τοῦ Χριστοῦ, τόσον περισσότερον ἐστερεώνετο καὶ ἐπλατύνετο, διότι καθὼς εἶπεν ὁ Κύριος «πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς».

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἡ ἁγία Φωτεινὴ μετὰ τοῦ μικροτέρου υἱοῦ της Ἰωσῆ εὑρισκομένη εἰς τὴν Καρθαγένην, πόλιν τῆς Ἀφρικῆς (τὸ νῦν Τούνεζι), ἐκήρυττε μὲ παρρησίαν τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Βίκτωρ δὲ ὁ μεγαλείτερος υἱὸς τῆς ἁγίας ἦτο στρατιώτης εἰς τὸ στράτευμα τῶν Ρωμαίων, καὶ μὲ τὸ νὰ ἔκαμνε μεγάλας ἀνδραγαθίας καὶ νίκας εἰς τὸν τότε γενόμενον πόλεμον κατὰ τῶν ἀράβων, οἱ ὁποῖοι ἐστράτευσαν κατὰ τῶν Ρωμαίων καὶ διὰ τοῦτο ἔγινεν ἀρχιστράτηγος ἀπὸ τὸν βασιλέα. Ὁ δὲ βασιλεὺς μὴ ἠξεύρων ὅτι ὁ Βίκτωρ ἦτο χριστιανός, ἔπεμψεν αὐτὸν εἰς τὴν Ἰταλίαν καὶ τὸν ἐπρόσταξε νὰ τιμωρῇ τοὺς ἐκεῖσε εὑρισκομένους χριστιανούς. Ὁ δὲ Σεβαστιανὸς ὁ Δοὺξ τῆς Ἰταλίας, ἀκούσας ταῦτα εἶπεν εἰς τὸν Βίκτωρα· «ἐγὼ ἠξεύρω καλῶς, ὦ



στρατηλάτα, ὅτι εἶσαι χριστιανὸς καὶ ὅτι ἡ μήτηρ σου ὁμοῦ μὲ τὸν ἀδελφόν σου Ἰωσῆν εἶναι καὶ αὐτοὶ χριστιανοί, ἐπειδὴ ἠκολούθησαν εἰς τὸν πρότερον μαρτυρήσαντα ἀπόστολον Πέτρον· ὅμως σὲ συμβουλεύω νὰ κάμῃς ἐκεῖνο ὅπου σὲ ἐπρόσταξεν ὁ βασιλεύς, διὰ νὰ μὴ κινδυνεύσῃ ἡ ζωή σου». Ὁ Βίκτωρ ἀπεκρίθη, «ἐγὼ θέλω νὰ κάμω τὸ θέλημα τοῦ ἐπουρανίου καὶ ἀθανάτου βασιλέως Χριστοῦ, τοῦ δὲ ἐπιγείου βασιλέως Νέρωνος τὴν προσταγήν, ἡ ὁποία μοὶ ἐδόθη διὰ νὰ τιμωρῶ τοὺς χριστιανούς, οὐδὲ νὰ ἀκούσω καταδέχομαι». Ὁ Δοὺξ τοῦ εἶπεν· «ἐγὼ ἀδελφὲ σὲ συμβουλεύω ὡς γνήσιον φίλον μου τὸ συμφέρον σου· διότι ἂν σὺ καθίσῃς εἰς τὸ κριτήριον καὶ θελήσῃς νὰ κρίνῃς καὶ νὰ βασανίζῃς τοὺς χριστιανούς, ἤξευρε ὅτι καὶ τὸν βασιλέα θέλεις εὐχαριστήσει καὶ τὰ χρήματα τῶν χριστιανῶν θέλεις κερδίσει· ἀλλὰ καὶ εἰς μητέρα σου καὶ τὸν ἀδελφόν σου γράψον νὰ μὴ διδάσκωσι παρρησίᾳ τοὺς Ἕλληνας νὰ ἀρνῶνται τὴν πάτριον θρησκείαν ἵνα μὴ καὶ σὺ κινδυνεύσῃς δι᾽ αὐτούς, κρυφίως δὲ ἔχετε τὴν πίστιν τοῦ Χριστοῦ καθὼς θέλετε». Τότε ὁ Βίκτωρ ἀπεκρίθη· «μή μοι γένοιτο νὰ κάμω ὅσα λέγεις, ἤτοι τὸ νὰ τιμωρήσω ἐγὼ τοὺς χριστιανοὺς διὰ νὰ κερδίσω τι ἀπὸ αὐτοὺς ἢ νὰ συμβουλεύσω τὴν μητέρα καὶ τὸν ἀδελφόν μου νὰ μὴ κηρύττωσιν ὅτι ὁ Χριστὸς εἶναι Θεός· ἀλλὰ μάλιστα καὶ ἐγὼ κῆρυξ εἶμαι καὶ θὰ εἶμαι τῆς θεότητος τοῦ Χριστοῦ καθὼς καὶ ἐκεῖνοι». Ὁ δὲ Δοὺξ εἶπεν· «ἐγὼ μὲν σὲ συνεβούλευσα ὅσα σοὶ συμφέρουσι, σὺ δὲ σκέφθητι τί θὰ κάμῃς».

Ταῦτα εἰπὼν ὁ Δούξ, εὐθὺς ἐτυφλώθη καὶ πεσὼν εἰς τὴν γῆν, ἀπὸ τοὺς ὑπερβολικοὺς πόνους τῶν ὀφθαλμῶν του, ἔμεινεν ἄφωνος· ὅθεν ἐσήκωσαν αὐτὸν οἱ παρεστῶτες, καὶ τὸν ἔβαλαν ἐπάνω εἰς τὴν κλίνην, καὶ ἐκεῖ ἔμεινε τρεῖς ἡμέρας χωρὶς νὰ λαλήσῃ τελείως. Μετὰ δὲ τὴν τρίτην ἡμέραν ἐφώναξε μὲ μεγάλην φωνὴν λέγων· «εἷς εἶναι ὁ Θεὸς τῶν Χριστιανῶν». Ἐλθὼν δὲ ὁ Βίκτωρ εἰς αὐτόν, τί τόσῳ ταχέως, εἶπε, μετεβλήθη; ὁ δὲ Δοὺξ ἀπεκρίθη· «ὁ Χριστὸς μὲ προσκαλεῖ, γλυκύτατε Βίκτωρ». Ὅθεν εὐθὺς κατηχηθεὶς ἀπὸ τὸν Βίκτορα ἐβαπτίσθη, καὶ ἐξελθὼν ἀπὸ τὴν ἁγίαν κολυμβήθραν, παρευθὺς ἔλαβε τὸ φῶς τῶν ὀφθαλμῶν του, καὶ ἐδόξαζε τὸν Θεόν. Βλέποντας δὲ τὰ πλήθη τῶν Ἑλλήνων τὸ παράδοξον τοῦτο θαῦμα, ἐφοβήθησαν, μήπως καὶ αὐτοὶ πάθωσι τὰ ὅμοια, καὶ διὰ τοῦτο προσέτρεξαν εἰς τὸν Βίκτορα καὶ ἐβαπτίσθησαν.

Μετὰ ταῦτα ἔφθασεν εἰς τὴν ἀκοὴν τοῦ Νέρωνος ἡ φήμη, ὅτι ὁ στρατηλάτης τῆς Ἰταλίας Βίκτωρ καὶ ὁ Δοὺξ τῆς αὐτῆς Σεβαστιανὸς κηρύττουσι τὸ κήρυγμα Πέτρου καὶ Παύλου καὶ ὅλους τοὺς ἕλληνας προσφέρουσιν εἰς τὸν Χριστὸν διὰ τῆς πίστεως, καὶ ὅτι ἡ μήτηρ τοῦ στρατηλάτου Φωτεινὴ ὁμοῦ μὲ τὸν υἱόν της Ἰωσῆν, πορευθεῖσα εἰς Καρθαγένην, κάμνει καὶ ἐκείνη τὰ ἴδια, ἤναψεν ἀπὸ τὸν θυμόν, καὶ παρευθὺς στέλλει στρατιώτας εἰς τὴν Ἰταλίαν, διὰ νὰ φέρωσιν ἔμπροσθέν του τοὺς ἐκεῖ εὑρισκομένους

Athos Library
Αγιορειτική Βιβλιοθήκη

χριστιανοὺς ἄνδρας τε καὶ γυναῖκας· ἐφάνη δὲ προλαβόντως εἰς ἐκείνους ὁ Κύριος λέγων· «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· μὴ φοβεῖσθε, ἐγώ εἰμι μεθ' ὑμῶν καὶ ὁ Νέρων θέλει νικηθῇ ὁμοῦ μὲ τοὺς συντρόφους του». Ἐφάνη δὲ καὶ χωριστὰ εἰς τὸν Βίκτορα καὶ τῷ εἶπεν, «ἀπὸ σήμερον, θὰ ἦναι τὸ ὄνομά σου Φωτεινός, ἐπειδὴ πολλοὶ ἐφωτίσθησαν διὰ σοῦ, καὶ προσεφέρθησαν εἰς ἐμὲ διὰ τῆς πίστεως· τὸν δὲ Σεβαστιανὸν δυνάμωσον εἰς τὸ μαρτύριον μὲ τοὺς λόγους σου, καὶ μακάριος εἶναι ὅστις ἕως τέλους ἀγωνισθῇ».

Ταῦτα εἰπὼν ὁ Κύριος, ἀνέβη εἰς τοὺς οὐρανούς, ἀπεκαλύφθησαν δὲ ἐκ Θεοῦ καὶ εἰς τὴν ἁγίαν Φωτεινὴν ὅσα ἔμελλον νὰ συμβῶσιν εἰς αὐτήν. Ὅθεν ἀναχωρήσασα ἀπὸ τὴν Καρθαγένην ὁμοῦ μὲ πλῆθος χριστιανῶν, ὑπῆγεν εἰς τὴν Ρώμην καὶ ἐκήρυττε τὸν Χριστόν. Ἐσείσθη δὲ ὅλη ἡ πόλις λέγουσα, ποία εἶναι αὐτὴ ἥτις ἦλθεν ἐδῶ μὲ τόσον πλῆθος; ποία εἶναι ἥτις κηρύττει τὸν Χριστὸν μὲ τόσην παρρησίαν; τότε ἐφέρθη ἀπὸ τοὺς στρατιώτας εἰς τὴν Ρώμην καὶ ὁ Φωτεινὸς ὁ υἱὸς τῆς ἁγίας, ὁμοίως καὶ ὁ Δοὺξ Σεβαστιανός. Ἡ δὲ ἁγία Φωτεινὴ ἐπρόλαβε καὶ ὑπῆγε ἔμπροσθεν τοῦ Νέρωνος ὁμοῦ μὲ τὸν υἱόν της Ἰωσῆν καὶ τοὺς χριστιανούς. Βλέπων δὲ αὐτοὺς ὁ Νέρων, τοὺς ἠρώτησε, «διὰ ποῖον αἴτιον ἤλθετε εἰς ἡμᾶς;» ἡ ἁγία ἀπεκρίθη, διὰ νὰ σὲ διδάξομεν νὰ πιστεύσῃς εἰς τὸν Χριστόν».

Οἱ δὲ παρεστῶτες ἄρχοντες εἶπον εἰς τὸν βασιλέα, «ὁ Δοὺξ Σεβαστιανὸς καὶ ὁ στρατηλάτης Βίκτωρ, οἱ ὁποῖοι δὲν πείθονται εἰς τοὺς θεούς, ἦλθον ἀπὸ τὴν Ἰταλίαν», ὁ βασιλεὺς εἶπεν, «ἂς ἔλθωσι»· καὶ ὅτε ἐκεῖνοι παρεστάθησαν ἔμπροσθέν του, τοὺς λέγει, «τὶ εἶναι αὐτὰ ὅσα ἤκουσα περὶ ὑμῶν;» οἱ ἅγιοι ἀπεκρίθησαν· «ὅσα ἤκουσας δι' ἡμᾶς, ὦ βασιλεῦ, ἀληθινὰ εἶναι.» Ὁ δὲ βασιλεὺς βλέπων τοὺς ἁγίους μὲ ἄγριον ὄμμα, ἀρνεῖσθε, εἶπε, σεῖς τὸν Χριστὸν ἢ προτιμᾶτε νὰ ἀποθάνετε μὲ κακὸν θάνατον; οἱ δὲ ἅγιοι σηκώνοντας τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανόν, μὴ γένοιτα! ἀπεκρίθησαν, μὴ γένοιτο εἰς ἡμᾶς, Χριστὲ βασιλεῦ, νὰ χωρισθῶμεν ἀπὸ τὴν πίστιν καὶ ἀγάπην σου! ἔπειτα πάλιν ἠρώτησεν ὁ βασιλεὺς τοὺς ἁγίους· «πῶς ὀνομάζεσθε σεῖς;» ἡ ἁγία ἀπεκρίθη· «ἐγὼ μὲν ἡ πρώτη ἀδελφὴ ὠνομάσθην ἀπὸ τὸν Ἰησοῦν Χριστὸν τὸν Θεόν μου, Φωτεινή, ἡ δὲ δευτέρα μου ἀδελφὴ ὀνομάζεται Ἀνατολή, ἡ τρίτη ὀνομάζεται Φωτώ, ἡ τετάρτη Φωτίς, ἡ πέμπτη Παρασκευή, καὶ ἡ ἕκτη Κυριακή· ἀπὸ δὲ τοὺς υἱούς μου, ὁ μὲν πρῶτος ὀνομάζεται Βίκτωρ, ἀπὸ δὲ τὸν Κύριόν μου Ἰησοῦν Χριστὸν μετωνομάσθη Φωτεινός· ὁ δὲ δεύτερος, ὅστις εἶναι μαζί μου, ὀνομάζεται Ἰωσῆς». Τότε ὁ Νέρων λέγει, «ὅλοι σεῖς ἐσυμφωνήσατε νὰ τιμωρηθῆτε καὶ νὰ ἀποθάνητε διὰ τὸν Ναζωραῖον;» ἡ ἁγία ἀπεκρίθη· «ναὶ ὅλοι ἡμεῖς διὰ τὴν αὐτοῦ ἀγάπην χαίροντες καὶ ἀγαλλόμενοι ἀποθνήσκομεν». Τότε ἐπρόσταξεν ὁ βασιλεὺς νὰ συντριβῶσι μὲ σφαίρας σιδηρᾶς οἱ ἁρμοὶ τῶν δακτύλων τῶν χειρῶν των· καὶ λοιπὸν εὐθὺς ἅμα ἐφέρθη ἐκεῖ



εἰς ἄκμων, ἔβαλον οἱ ἅγιοι τὰς χεῖράς των ἐπάνω εἰς αὐτόν, καὶ ἤρχισαν νὰ τοὺς κτυπῶσιν οἱ ὑπηρέται ἀπὸ τὴν τρίτην ὥραν τῆς ἡμέρας ἕως εἰς τὴν ἕκτην· καὶ αὐτοὶ μὲν ἠλλάχθησαν τρεῖς φοράς, κτυπῶντες τὰς χεῖρας τῶν ἁγίων· οἱ δὲ ἅγιοι δὲν ἠσθάνοντο τελείως τὴν βάσανον, οὔτε αἱ χεῖρές των συνετρίβησαν.

Τοῦτο δὲ μαθὼν ὁ βασιλεὺς ἐταράχθη, καὶ ἐπρόσταξε νὰ κόψωσι τὰς χεῖρας τῶν ἁγίων· παρευθὺς δὲ οἱ ὑπηρέται ἔδεσαν τὰς χεῖράς των, καὶ τὰς ἔβαλαν ἐπάνω εἰς τὸν ἄκμωνα καὶ κατεβάσαντες ἑπτάκις τὰς μαχαίρας τίποτε δὲν κατώρθωσαν· ἀλλὰ παρελύθησαν καὶ ἔπεσον κάτω ὡς νεκροί. Ἡ δὲ ἁγία ἀβλαβὴς διαφυλαχθεῖσα ἀπὸ τὴν χάριν τοῦ Θεοῦ, ἔλεγε χαίρουσα τὰ τοῦ Δαβὶδ λόγια, «Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι, τὶ ποιήσει μοι ἄνθρωπος». Ἤρχισε λοιπὸν ὁ βασιλεὺς νὰ ἀπορῇ καὶ νὰ διαλογίζεται, μὲ ποίους τρόπους καὶ τέχνας νὰ νικήσῃ τοὺς ἁγίους· καὶ τοὺς μὲν ἄνδρας ἐπρόσταξε νὰ βάλωσιν εἰς μίαν σκοτεινὴν φυλακὴν τὴν δὲ ἁγίαν καὶ τὰς ἀδελφάς της νὰ τὰς φέρωσιν εἰς τὸ χρυσὸν αὐτοῦ κουβούκλιον καὶ ἐκεῖ νὰ στρώσωσιν ἑπτὰ κλίνας χρυσᾶς καὶ ἑπτὰ χρυσοῦς θρόνους καὶ τράπεζαν, καὶ νὰ βάλωσιν ἔμπροσθέν των χρήματα πολλὰ καὶ στολίδια χρυσᾶ καὶ φορέματα καὶ ζώνας χρυσᾶς· ἔπειτα ἐπρόσταξε καὶ τὴν θυγατέρα του Δομνίναν νὰ ὑπάγῃ ἐκεῖ μὲ τὰς ὑπηρετρίας της καὶ νὰ συνομιλῇ μὲ τὰς ἁγίας. Βλέπουσα δὲ ἡ ἁγία Φωτεινὴ τὴν Δομνίναν εἶπεν εἰς αὐτήν, «χαῖρε ἡ τοῦ Χριστοῦ νύμφη»· ἡ δὲ Δομνίνα ἀπεκρίθη, «χαίροις καὶ σὺ κυρία μου Φωτεινή, ἡ λαμπὰς τοῦ Χριστοῦ». Ἀκούσασα δὲ ἡ ἁγία Φωτεινὴ τὸ ὄνομα τοῦ Χριστοῦ, εὐχαρίστησε τὸν Κύριον καὶ ἀγκαλισαμένη τὴν Δομνίναν ἐφίλησεν αὐτήν, ἔπειτα κατήχησεν ὁμοῦ μὲ τὰς ἑκατὸν ὑπηρετρίας της καὶ τὰς ἐβάπτισεν ὅλας· καὶ τὴν μὲν Δομνίναν μετωνόμασεν Ἀνθοῦσαν, τὴν δὲ μεγαλειτέραν ὑπηρέτριάν της ὠνόμασε Στεφανίδα. Παρευθὺς δὲ ἐπρόσταξεν ἡ ἁγία Ἀνθοῦσα καὶ ἐμοίρασεν εἰς τοὺς πτωχοὺς ὅλα τὰ χρήματα καὶ στολίδια ὅσα ἦσαν μέσα εἰς τὸ κουβούκλιον.

Ταῦτα δὲ μαθὼν ὁ βασιλεὺς ἐθυμώθη πολὺ καὶ προστάζει νὰ καύσωσιν ἑπτὰ ἡμέρας μίαν κάμινον καὶ μέσα εἰς αὐτὴν νὰ βάλλωσι τὴν ἁγίαν Φωτεινὴν καὶ ὅλους τοὺς συντρόφους της ἄνδρες τε καὶ γυναῖκας· ἀφοῦ δὲ τοῦτο ἔγεινεν, ἔμειναν οἱ ἅγιοι εἰς τὸ μέσον τῆς καμίνου ἡμέρας τρεῖς. Ὁ δὲ τύραννος νομίζων ὅτι κατεκαύθησαν ἀπὸ τὸ πῦρ, ἐπρόσταξε νὰ ἀνοιχθῇ ἡ κάμινος καὶ τὰ κόκκαλα τῶν ἁγίων νὰ ριφθῶσιν εἰς τὸν ποταμόν. Ἀνοίξαντες δὲ εὗρον ὢ τοῦ θαύματος! ὅλους τοὺς ἁγίους σώους καὶ ἀβλαβεῖς, δοξάζοντας καὶ εὐλογοῦντας τὸν Θεόν· ὅθεν ἐξέστησαν ἅπαντες, ἐπειδὴ τελείως δὲν ἤγγισεν εἰς αὐτοὺς τὸ πῦρ. Τοῦτο τὸ παράδοξον θαῦμα ὡς εἶδον καὶ ἤκουσαν οἱ ἐν Ρώμῃ εὑρισκόμενοι, ἐξεπλάγησαν καὶ ἐδόξαζον καὶ αὐτοὶ τὸν Θεόν· ὁ δὲ βασιλεὺς τελείως ἀσύνετος ὤν, ἐπρόσταξε νὰ δοθῇ εἰς τοὺς ἁγίους μάρτυρας θανατηφόρον φάρμακον·

Athos Library
Αγιορειτική Βιβλιοθήκη

προσεκλήθη δὲ ὁ μάγος Λαμπάδιος ὀνομαζόμενος διὰ νὰ κατασκευάσῃ τὸ φαρμάκιον τὸ ὁποῖον ἔλαβε πρῶτον ἡ ἁγία Φωτεινὴ λέγουσα πρὸς τὸν μάγον· «δὲν ἔπρεπε τελείως νὰ πιάσωμεν ἀπὸ τὰς χεῖράς σου τὸ φαρμάκιον καὶ νὰ τὸ πίωμεν ἐπειδὴ εἶσαι ἀκάθαρτος, διὰ νὰ γνωρίσῃς ὅμως σὺ καὶ ὁ βασιλεὺς τὴν δύναμιν τοῦ Χριστοῦ καὶ Θεοῦ μου, ἰδοὺ ἐγὼ πίνω αὐτὸ πρότερον ἀπὸ ὅλους ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ μου· ἔπειτα θὰ πίωσιν αὐτὸ καὶ ὅλοι ὅσοι εἶναι μαζί μου.

Ἀφοῦ δὲ τοῦτο ἔπιον ὅλοι καὶ ἔμειναν ἀβλαβεῖς, βλέπων ὁ μάγος ἐξεπλάγη· εἶτα θεωρήσας τὴν ἁγίαν Φωτεινήν, ἔχω, εἶπε, καὶ ἄλλο φαρμάκιον πολλὰ δυνατώτερον, καὶ ἂν σεῖς πίετε τοῦτο καὶ δὲν βλαφθῆτε, καὶ ἐγὼ θὰ πιστεύσω εἰς τὸν Χριστόν σας. Ἐπειδὴ δὲ ἔπιον ὅλοι καὶ ἀπὸ ἐκεῖνο καὶ δὲν ἔπαθον κανὲν κακόν, τούτου χάριν ἐπῆρεν ὁ μάγος τὰ μαγικά του βιβλία καὶ τὰ ἔρριψεν εἰς τὸ πῦρ, καὶ πιστεύσας εἰς τὸν Χριστόν, ἐβαπτίσθη καὶ μετωνομάσθη Θεόκλητος. Τοῦτο μαθὼν ὁ βασιλεύς, ἐπρόσταξε νὰ ἁρπάσωσιν αὐτὸν ἀπὸ τὸ μέσον τῶν ἁγίων, καὶ νὰ ὑπάγωσι νὰ τὸν ἀποκεφαλίσωσιν ἔξω ἀπὸ τὸ τεῖχος τῆς πόλεως, καὶ οὕτω πρὸ τῶν ἄλλων ἐτελείωσε τὸ μαρτύριον ὁ ἀοίδιμος Θεόκλητος, καὶ ἔλαβε παρὰ Κυρίου τὸν ἄφθαρτον στέφανον. Τῶν δὲ ἄλλων ἁγίων ὁμοῦ καὶ τῆς μεγαλομάρτυρος Φωτεινῆς ἐπρόσταξε νὰ κόψωσι τὰ νεῦρα· τούτου δὲ γενομένου· οἱ ἅγιοι ἐνέπαιζον τὸν βασιλέα καὶ τοὺς θεούς του. Τότε ὁ ἀλιτήριος προστάζει νὰ ποτίσωσι μὲν τὴν ἁγίαν Φωτεινὴν μόλυβδον βρασμένον ὁμοῦ μὲ θεῖον, νὰ χύσουν δὲ τοῦτο καὶ εἰς τὰ ὦτα τῶν ἄλλων ἁγίων.

Ἐπειδὴ δὲ ὅλοι ἔμειναν ἀβλαβεῖς ἀπὸ τὴν βάσανον ταύτην, εὐχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς ἡμῶν ἔλεγον, ὅτι διὰ μέσου τοῦ μολύβδου ἐδρόσισας τὰς καρδίας μας, αἱ ὁποῖαι ἐδιψοῦσαν, ὡς ἀπὸ μεγάλην καῦσιν. Τότε ὁ Νέρων θαυμάζων καὶ ἐκπληττόμενος, ἐπρόσταξε νὰ κρεμασθῶσιν οἱ ἅγιοι, καὶ οὕτω νὰ ξεσχίζωνται δυνατὰ εἰς ὅλον τὸ σῶμα, καὶ νὰ κατακαίωνται μὲ λαμπάδας. Ἐπειδὴ δὲ οἱ ἅγιοι, προσευχηθέντες, ἐδυναμώθησαν ὑπὸ τῆς θείας χάριτος, θυμωθεὶς ὁ Νέρων, ἐπρόσταξε νὰ ἑνωθῇ στάκτη ὁμοῦ μὲ ὀξύδιον καὶ οὕτω νὰ χυθῇ μέσα εἰς τὰς ῥίνας τῶν ἁγίων. Ταύτην δὲ τὴν βάσανον λαβόντες οἱ ἅγιοι, τὸ ὀξύδιόν σου, εἶπον ὦ βασιλεῦ, γλυκύτερον φαίνεται εἰς ἡμᾶς ἀπὸ τὸ μέλι καὶ τὸ κηρίον.

Ἐκ τούτου λοιπὸν θυμωθεὶς ὁ τύραννος περισσότερον, ἐπρόσταξε νὰ ἐκβάλωσι τοὺς ὀφθαλμοὺς τῶν ἁγίων, καὶ νὰ ῥίψωσιν αὐτοὺς εἰς μίαν σκοτεινὴν φυλακήν, ἡ ὁποία ἦτο γεμάτη ἀπὸ φαρμακερὰ ὀφείδια καὶ ἄλλα ζωΰφια, καὶ ὢ τοῦ θαύματος! τὰ μὲν φαρμακερὰ ἐκεῖνα ζωΰφια ἐνεκρώθησαν, ἡ δὲ βρῶμα ἥτις ἐξήρχετο ἐκεῖθεν μετεβλήθη εἰς εὐωδίαν καὶ τὸ σκότος τῆς φυλακῆς ἔγεινε φῶς ὑπέρλαμπρον. Τότε δὲ ὁ Χριστὸς ἐφάνη ἀναμέσον εἰς τοὺς ἁγίους καὶ λέγει εἰς αὐτούς, «εἰρήνη ὑμῖν»· καὶ λαβὼν τὴν ἁγίαν Φωτεινὴν ἀπὸ τὴν χεῖρα, ἐσήκωσεν αὐτὴν καὶ εἶπεν, «ἐγὼ εἶμαι μὲ σᾶς



πάντοτε· ὅθεν μὴ φοβεῖσθε, ἀλλὰ μᾶλλον πάντοτε χαίρετε.» Καὶ συγχρόνως μὲ τὸν λόγον του εὐθὺς ἔπεσαν ἀπὸ τοὺς ὀφθαλμούς των ὡς ἂν λέπια, καὶ οὕτω οἱ ἅγιοι ἔλαβον τὸ φῶς τῶν ὀφθαλμῶν των, καὶ εἶδον τὸν Κύριον καὶ ἐπροσκύνησαν αὐτόν. Ὁ δὲ Κύριος εὐλογῶν αὐτούς, εἶπεν· ἀνδρίζεσθε καὶ δυναμόνεσθε» καὶ οὕτως ἀνέβη εἰς τοὺς οὐρανούς.

Ὁ δὲ ἀσεβὴς Νέρων ἄφησε τοὺς ἁγίους εἰς τὴν φυλακὴν χρόνους τρεῖς, ἵνα ἀπὸ τὴν κακοπάθειαν τελειώσωσι τὴν ζωὴν μὲ πικρὸν θάνατον· ἀφοῦ δὲ παρῆλθον οἱ τρεῖς χρόνοι, εἶχεν ὁ βασιλεὺς ἕνα δοῦλον κλεισμένον εἰς τὴν φυλακήν, καὶ ἐπρόσταξε νὰ τὸν ἐκβάλωσι. Οἱ δὲ ἀποσταλλέντες διὰ νὰ ἐκβάλωσι τὸν δοῦλον, ἅμα εἶδον τοὺς ἁγίους μάρτυρας ὑγιεῖς καὶ δυνατούς, ἐφανέρωσαν εἰς τὸν βασιλέα, ὅτι οἱ τυφλωθέντες Γαλιλαῖοι βλέπουσι καὶ εἶναι ὑγιεῖς, καὶ ὅτι ἡ φυλακὴ λάμπουσα ἀπὸ φῶς καὶ ἀπὸ μῦρα εὐωδιάζουσα, μετεβλήθη εἰς οἶκον Θεοῦ εἰς τὴν ὁποίαν συντρέχοντες οἱ Ἕλληνες βαπτίζονται ἀπὸ αὐτούς, πιστεύοντες εἰς τὸν ὑπ' αὐτῶν κηρυττόμενον Χριστόν. Ταῦτα ἀκούσας ὁ βασιλεὺς ἐξεπλάγη· καὶ ἀποστείλας ὑπηρέτας ἔφερε τοὺς ἁγίους ἔμπροσθέν του καὶ λέγει· «δὲν σᾶς ἐδιωρίσαμεν μὲ προσταγὴν βασιλικὴν νὰ μὴν κηρύττετε τὸν Χριστὸν εἰς τὴν πόλιν ταύτην τῶν Ρωμαίων, πῶς λοιπὸν σεῖς εἰς τὴν φυλακὴν εὑρισκόμενοι κηρύττετε τὸν Χριστόν; Μάθετε, ὅτι διὰ τοῦτο θέλω σᾶς βασανίσει μὲ πολλὰς καὶ μεγάλας τιμωρίας». Οἱ δὲ ἅγιοι ἀπεκρίθησαν «ὅ,τι θέλεις ποίησον, διότι ἡμεῖς δὲν θέλομεν παύσει ἀπὸ τοῦ νὰ κηρύττωμεν τὸν Χριστὸν ὅστις εἶναι Θεὸς ἀληθινὸς καὶ ποιητὴς τοῦ παντός». Τότε ὁ Νέρων θυμωθείς, ἐπρόσταξε νὰ σταυρώσωσι τοὺς ἁγίους κατακέφαλα εἰς τρεῖς ἡμέρας, καὶ νὰ καταξεσχίσωσι τὰς σάρκας των μὲ βούνευρα, ἕως οὗ νὰ διαλυθῶσιν οἱ ἁρμοὶ αὐτῶν. ἀφοῦ δὲ τοῦτο ἔγεινεν, ἐπρόσταξε νὰ μείνωσι κρεμασμένοι ἀκόμη τέσσαρας ἡμέρας, τὴν δὲ πέμπτην ἡμέραν ἐλθόντες οἱ δήμιοι νὰ ἴδωσιν ἂν ζῶσιν οἱ ἅγιοι, καθὼς εἶδον αὐτοὺς κρεμασμένους· αὐτοὶ μὲν οἱ δήμιοι ἐτυφλώθησαν, ἄγγελος δὲ Κυρίου καταβὰς ἀπὸ τοὺς οὐρανούς, ἔλυσε τοὺς ἁγίους, εἶτα χαιρετίσας αὐτούς, τοὺς ἀφῆκεν ὑγιεῖς.

Ἡ δὲ ἁγία Φωτεινὴ σπλαγχνισθεῖσα τὴν τύφλωσιν τῶν δημίων προσηυχήθη καὶ εὐθὺς ἐκεῖνοι ἔλαβον τὸ φῶς τῶν ὀφθαλμῶν των· ὅθεν ἐπίστευσαν εἰς τὸν Χριστὸν καὶ ἐβαπτίσθησαν. Ἀκούσας δὲ τότε ὁ Νέρων ἐθυμώθη καὶ ἐπρόσταξε νὰ ἐκδάρωσι τὸ δέρμα τῆς ἁγ. Φωτεινῆς· τούτου δὲ γενομένου, ἡ ἁγία ἔψαλλε λέγουσα, «Κύριε ἐδοκίμασάς με καὶ ἔγνως με». Ἀφοῦ δὲ ἐξέβαλον τὸ δέρμα της τὸ ἔρριψαν εἰς τὸν ποταμόν, καὶ τὴν ἁγίαν τὴν ἔρριψαν εἰς ἕνα ξηροπήγαδον· τὸν δὲ ἅγιον Σεβαστιανὸν καὶ Φωτεινὸν καὶ Ἰωσῆν πιάσαντες, ἔκοψαν τὰ κρύφια μέλη των καὶ τὰ ἔρριψαν εἰς τοὺς σκύλλους· καὶ ἔπειτα ἐξέδειραν τὰ δέρματά των καὶ τὸ ἔρριψαν εἰς τὸν ποταμὸν καὶ αὐτοὺς τοὺς ἔκλεισαν μέσα εἰς ἕνα λουτρὸν παλαιόν, τὰς δὲ πέντε ἀδελφὰς τῆς ἁγίας Φωτει-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νῆς παρέστησεν ἔμπροσθέν του ὁ Νέρων καὶ πρῶτον μὲν ἐπρόσταξε νὰ κόψωσι τοὺς μαστούς των, ἔπειτ ι νὰ ἐκβ ίλωσι τὸ δέρμα των. Ὅθεν λοιπὸν ἦλθον οἱ δήμιοι διὰ νὰ ἐκδάρωσι τὴν ἁγίαν Φωτίδα, τὴν τετάρτην ἀδελφήν δὲν κατεδέχθη ἐκείνη νὰ πιασθῇ ἀπό τινα, καθὼς αἱ λοιπαὶ ἀδελφαί της, ἀλλὰ μόνη ἐστάθη ἀνδρείως καὶ ἐξέδαρον τὸ δέρμα της. Ὥστε ἐθαύμασιν ὁ βασιλεὺς τὴν ἀνδρείαν καὶ μεγαλοψυχίαν της.

Δια τοῦτο θυμωθεὶς δυνατὰ ὕστερον ἀπὸ τὴν βάσανον ταύτην, ἐπενόησεν ὁ θηριώδης καὶ ἄλλην κατὰ τῆς ἁγίας Φωτίδος, πολλὰ δεινὴν καὶ ὀλεθρίαν· ἐπρόσταξε δηλαδὴ νὰ κλίνωσι μὲ βίαν τὰς κορυφὰς δύω δένδρων, ἅτινα ἦσαν εἰς τὸν κῆπόν του καὶ εἰς αὐτὰς νὰ δέσωσι τὴν ἁγίαν. Ἔπειτα ἐπρόσταξε νὰ ἀφήσωσι πάλιν τὰς κορυφὰς νὰ γυρίσωσιν εἰς τὸ πρότερον σχῆμά των· ὅθεν ὑπὸ τούτων σχισθεῖσα ἡ ἁγία εἰς δύω μέρη, παρέδωκεν ἡ μακαρία τὴν ψυχήν της εἰς χεῖρας Θεοῦ καὶ ἔλαβε τὸν τοῦ μαρτυρίου ἀμάραντον στέφανον. Τότε ἐπρόσταξε νὰ ἀποκεφαλίσωσι μὲν ὅλους τοὺς ἁγίους, μόνην δὲ τὴν ἁγίαν Φωτεινὴν νὰ ἐκβάλωσιν ἀπὸ τὸ ξηροπήγαδον καὶ νὰ τὴν βάλωσιν εἰς τὴν φυλακήν. Ὅθεν αὕτη ἐλυπεῖτο διότι ἔμεινε μόνη καὶ δὲν ἐστεφανώθη ὁμοῦ μὲ τὰς λοιπάς της ἀδελφάς· διὰ τοῦτο ἐδέετο τοῦ Θεοῦ περὶ τούτου. ὁ ὁποῖος ἐμφανισθεὶς καὶ σφραγίσας αὐτὴν μὲ τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ τρεῖς φοράς, καὶ γεμίσας αὐτὴν ἀπὸ χαρὰν τὴν κατέστησεν ὑγιῆ. Ὕστερον δὲ ἀπὸ πολλὰς ἡμέρας, ὑμνοῦσα καὶ εὐλογοῦσα τὸν Θεόν, παρέδωκε τὴν ψυχήν της εἰς χεῖρας αὐτοῦ, καὶ οὕτως ἀπῆλθον ὅλοι πρὸς τὸν ποθούμενον Θεὸν καὶ ἀπέλαβον τὴν οὐράνιον βασιλείαν του, ἧς καὶ ἡμεῖς ταῖς αὐτῶν πρεσβείαις ἀξιωθείημεν. Ἀμήν.

# ΔΙΑΤΑΞΙΣ

## Γρηγορίου Πατριάρχου, περὶ τοῦ πῶς νὰ μνημονεύῃ ὁ ἱερεὺς εἰς τὴν Ἁγίαν Προσκομιδήν.

**«Μνήσθητι Κύριε τῶν δούλων σου, πάσης ἐπισκοπῆς ὀρθοδόξων, Πατριαρχῶν, Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων καὶ μοναχῶν τῶν ἐν πάσῃ τῇ Οἰκουμένῃ, ὧν σὺ Κύριε γινώσκεις τὰ ὀνόματα αὐτῶν. Μνήσθητι Κύριε καὶ τῶν εὐσεβεστάτων Βασιλέων ἡμῶν παντὸς τοῦ Παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, καὶ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, καὶ τῶν ἐγκεχειρισμένων τὰς Πολιτικὰς ἐπιστασίας. Μνήσθητι Κύριε, πάντων τῶν θλιβομένων, δεομένων, πενήτων ἀδελφῶν ἡμῶν, τῶν ἐν ἀνάγκαις, νοσούντων, καμνόντων, αἰχμαλώτων. Μνήσθητι Κύριε τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς, τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Μνήσθητι Κύριε τῶν μεμνημένων τῶν πενήτων, πάντων τῶν ἁμαρτανόντων καὶ παρεκτραπέντων ἐκ τῶν θείων σου ἐντολῶν· τῶν δι' ἐμοῦ πλημμελησάντων καὶ σκανδαλισθέντων. Μνήσθητι Κύριε τῶν νεοφωτίστων καὶ τῶν ἀναδόχων ἡμῶν ἐκ τοῦ θείου Βαπτίσματος, τῶν γονέων καὶ συγγενῶν ἡμῶν κατὰ σάρκα, τῶν ἐν θαλάσσῃ πλεόντων καὶ ὁδοιπορούντων, τῶν ἐν πικραῖς δουλείαις καὶ μετάλλοις καὶ ἐξορίαις καὶ φυλακαῖς καταπονουμένων, πάντων τῶν κακουχουμένων ὑπὸ τῶν συνεχουσῶν ἡμᾶς περιστάσεων. Μνήσθητι Κύριε καὶ πάντων τῶν ὀρφανῶν, χηρῶν, νηπίων, νέων, γερόντων, ὁμοζύγων καὶ πάσης ψυχῆς χριστιανῶν ὀρθοδόξων τῶν ἀπὸ περάτων ἕως περάτων τῆς Οἰκουμένης. Μνήσθητι Κύριε τῶν ἐλεούντων καὶ διακονούντων ἡμῖν, τῶν ἐν πάσαις ταῖς Ἁγίαις σου Ἐκκλησίαις καὶ ἱεροῖς Μοναστηρίοις καὶ Σκήτεσι, τῶν κοπιόντων, ψαλλόντων, ἀναγινωσκώντων καὶ ἀγρυπνούντων, τῶν ἐν ἐρημίαις καὶ ὄρεσι».**

**Τώρα ἄρχισον, ὦ ἱερεῦ, νὰ μνημονεύσῃς ζώντων καὶ τεθνεότων τὰ ὀνόματα καὶ ἐν τέλει πάλιν λέγε:**

**«Μνήσθητι Κύριε πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, κεκοιμημένων ὀρθοδόξων ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης Βασιλέων, Πατριαρχῶν, Ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, ὧν σὺ Κύριε τὰ ὀνόματα αὐτῶν γινώσκεις, ὑπὲρ ὧν πρεσβεύει ἡ Ἁγία σου Ἐκκλησία, ἣν ἐξηγόρασας τῷ τιμίῳ σου αἵματι. Μνήσθητι Κύριε καὶ τῶν γονέων ἡμῶν, καὶ διδασκάλων, καὶ προπατόρων, ἀδελφῶν, συγγενῶν, καὶ πνευματικῶν ἀναδόχων. Μνήσθητι Κύριε πάντων τῶν προσενεγκόντων καὶ ὑπὲρ ὧν προσήνεγκαν διὰ τῆς ἐμῆς ἀναξιότητος ὑπὲρ σωτηρίας αὐτῶν, καὶ ἀνάπαυσον τὰς ψυχὰς αὐτῶν ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Πρεσβείαις τῆς Παναχράντου σου Μητρός, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων, ἱκεσίαις πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων καὶ ἐξαγορασθέντων καὶ δικαιωθέντων τῷ ἰδίῳ σου αἵματι.**



ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΑΙ ΛΟΓΟΙ

## *ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ*

**(Ἐκ τοῦ Κώδικος Λ 197)**

(Συνέχεια ἐκ τοῦ ὑπ' ἀριθ. 15 τεύχους)

### Πρὸς τὴν Θεοτόκον

Χαῖρε Παρθένε, σοὶ γὰρ πρέπει τοῦ χαίρειν ἡ πρόσθεσις, ὡς τὴν χαρὰν τὴν οὐσιώδη τῷ κόσμῳ γεννήσασαν. Πέπαυται ἡ κατάρα, ἡ φθορὰ κατήργηται, τὰ στυγνὰ μεμάρανται, ἀνθεῖ τὰ φαιδρά, πάρεστι τὸ πάλαι παρὰ τῶν προφητῶν κηρυττόμενον ἀγαθόν· χαῖρε, ὅτι κατηξιώθης ξενοδοχῆσαι τὸν κοινὸν Δεσπότην· ὅτι τὸν ἀχώρητον βουληθέντα κεχώρηκας, ὅτι τὸν πάντα πληροῦντα προσδέδεξαι, ὅτι τῆς θείας οἰκονομίας γέγονας ἐργαστήριον καθαρότατον· ὅτι τῆς εἰς τὸν βίον εἰσόδου τοῦ Βασιλέως τῶν ὅλων ἄξιον ὄχημα πέφηνας, ὅτι τοῦ πνευματικοῦ μαργαρίτου θησαυρὸς ἀναδέδειξαι· τὴν εἰρήνην τῆς οἰκουμένης μεθ' ἑαυτῆς κέκτησαι· σὺ ὑπὲρ τὴν κτίσιν ἐκαλλωπίσθης, ὑπὲρ τοὺς οὐρανοὺς ἐφαιδρύνθης, ὑπὲρ τὸν ἥλιον ἔλλαμψας, ὑπὲρ τοὺς ἀγγέλους ὑψώθης· σὺ ἐγέννησας τὸν ζωγράφον τῆς φύσεως, τὴν οἰκείαν εἰκό-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

να παλαιωθεῖσαν ἀναζωογραφοῦντα τῇ χάριτι· οὐδεμία τις ἄλλη μακαριωτέρα σοῦ τῆς τεξαμένης τὸν Θεόν· χαῖρε ὅτι δι' ἧς ὁ τῆς φύσεως ἐνήλλακται δρόμος, δι' ἧς πρώτης ὁ νόμος τῆς κυήσεως μεταγέγραπται· δι' ἧς μόνης ξένη τρίβος παιδοποιΐας εὑρέθη· δι' ἧς μόνης τὰ ἀρχαῖα τῆς γονῆς ἔθη νενεωτέρισται.

## Πρὸς φίλον

Πάνυ ἤρεσάς μοι καὶ ἀρέσκεις, ἀγαθέ· εἴθε δὲ καὶ Χριστῷ ἀρέσειας τῷ κριτῇ ἐννοιῶν καὶ ἐμβατεύοντι τὰς καρδίας ἡμῶν καὶ προκόψειας ἐν τοῖς κατ' αὐτὸν ἐπιτηδεύμασιν. Ἀρέσειας τῷ τερπομένῳ τοῖς κάλλεσι τῶν ψυχῶν.

## Πρὸς τὸν διδάσκαλον

Δίδαξόν με παρακαλῶ σαφῶς τὰ γραφόμενα δύσληπτα· τοῦ λόγου τὸ αἴνιγμα· διήγησάς μοι τὸν τρόπον τῆς καταλήψεως· ἑρμήνευσόν μοι τῶν σοφῶν σου ῥημάτων τὴν δύναμιν· χειραγώγησόν με πρὸς τὴν τῶν ὑψηλῶν νοημάτων σου κατανόησιν, ἵνα μάθω, ὁ τὴν ἀμάθειαν τῶν καλῶν μαθημάτων πεπλουτηκὼς ἐκ νεότητος.

## Πρὸς τὴν Θεοτόκον καὶ πρὸς τὸν περίεργον τῆς θείας σαρκώσεως

Χαῖρε δι' ἧς τὰ ἀδύνατα γέγονε δυνατά, τὰ ἀμήχανα εὐμήχανα, τὰ ἄπορα εὔρατο πόρον, τὴν φύσιν ἐπὶ τὸ κρεῖττον ἡ χάρις ἐκαινοτόμησε, ἡ φύσις τῇ χάριτι ἐδούλευσε. Διατὶ ζητεῖς τὰ πᾶσαν ζήτησιν ὑπερβαίνοντα; διατὶ διώκεις τὰ ἀκατάληπτα; διατὶ τὰ ὑπέρ σὲ πολυπραγμονεῖς; διατὶ λογοθετεῖς τὴν ὑπὲρ λόγον χάριν; διατὶ λεπτολογεῖς τὴν ἀνεκδιήγητον γέννησιν; Ἀλλ' ὦ ἁγία ἁγιωτέρα τε καὶ ὑπεραγία Μαρία, ἡ παρθένος τῷ σώματι, ἡ παρθένος τῇ ψυχῇ, ἡ φιλοτιμία τῆς ἀνθρωπότητος (ἀνθρωπίνης φύσεως) ἡ πύλη τῆς ἡμετέρας ζωῆς καὶ τῆς ἡμῶν σωτηρίας ἡ πρόξενος.

— Ἄλλο γέλως προπετὴς καὶ ἄλλο γέλως ἐπωφελής, καὶ περὶ μὲν τοῦ προπετῶς γελῶντος ἄκουσον τῆς σοφίας λεγούσης: ἄφρων ἐν γέλωτι πράσσει κακὰ (Παροιμ. Ι'. κβ'.) Περὶ δὲ τοῦ συνετῶς γελῶντος καὶ ἐπωφελῶς, ἄκουε τοῦ Ἰὼβ λέγοντος: πᾶν δῶρον ἀσεβοῦς οὐ λήψεται, ἀληθινὸν δὲ στόμα, ἐκπλήσει γέλωτος : (Ἰώβ).

## Ὡραῖα

Διατὶ ὁ Ἰωσὴφ ἐπὶ τὸν τράχηλον ἔπεσε καὶ ἔκλαυσε τῶν ἀδελφῶν, οὐχὶ καὶ ἐπὶ ἄλλο μέρος; ἀναγκαίως ἐπὶ τοὺς τραχήλους τοὺς ἀποβαλόντας τὸν ζυγὸν τῆς φιλαδελφίας.

— Ἔστιν ἔστιν ἐποπτικὴ τις δύναμις, ἡ θεωροῦσα τὸν ἀδικοῦντα τὸν πέλας.

— Δεῦρο ἐν τάχει πρὸς ἡμᾶς ἵνα τὴν πολύρριζον ἁμαρτίαν ἀνασκάψωμεν, τῇ δικέλῃ τῆς ἀληθοῦς μετανοίας.

— Οὔτε ἄγγελοι ἰσχύουσιν ἐπαξίως ἐγκωμιάσαι τὴν δύναμιν τοῦ σταυροῦ· τοῦτο γὰρ τὸ ὁρώμενον σημεῖον τοῦ σταυροῦ· ἄγγελοι προσκυνοῦσι οὐ διὰ τὸ εἶδος τοῦ ξύλου, ἀλλὰ διὰ τὸν σταυρωθέντα ἐν αὐτῷ ἑκουσίως ἐν σαρκί.

## Εὐχὴ

Ὁ πᾶσι τοῖς ἁμαρτωλοῖς τὰ τῶν ἁμαρτιῶν χειρόγραφα χαριζόμενος, ἐκ τῆς τραπέζης αὐτοῦ εὐωδία συγχωρήσεως ἐλεύσεται· ἐπὶ σοὶ καὶ ἐφ' ἡμᾶς, καὶ τῇ ἐσκοτισμένῃ μου ψυχῇ ἐκλάμψοι ὁ ὡραῖος κάλλει παρὰ πάντας... ὁ λύων καὶ καθαίρων καὶ ἀποσμήχων τὰς ἁμαρτίας τοῦ κόσμου.

— Ἀληθῶς ἔλαμψεν ἡμῖν ἡμέρα, καὶ ἥλιος δικαιοσύνης· καὶ ἐνιαυτοὺς δεκτοὺς παρὰ Κυρίου· καὶ μεγάλη ἐπισκοπὴ παρὰ Θεοῦ· ἀληθῶς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους.



## Ἐπιστολὴ πρὸς Πατριάρχην

Τοσοῦτόν μου τὸ φίλτρον ἐθέρμανας, καὶ ἐτρώθην τῷ πόθῳ σου, ὡς ὅτι κίνδυνός μοι περίεστι καταλιπεῖν τὰ ἡμέτερα καὶ διαπλεῦσαι εἰς ἡμᾶς καὶ τρυφῆσαι τῶν ἐν σοὶ καλῶν, καὶ ὧν ἡ χάρις τὴν ψυχήν σου πεπλούτηκε, τὴν Μελχὼ τοῦ Σαοὺλ ἐκείνην ἀπομιμούμενος· τὴν τὰ βασίλεια καταλείψασα, καὶ Δαβὶδ τῷ ἐραστῇ ἐπ' ἀρετῇ ἠκολούθησε. Κούφισόν με τοῦ βάρους τοῦ χρέους μου, καὶ μὴ λαθεῖν σπουδάζεις τοὺς ἐπαινοῦντάς σε καὶ καλῶς ποιεῖς ἀποδιώκων ἀπὸ σοῦ τοὺς σὲ δοξάζοντας ἐν τῷ μετὰ σώματος βίῳ, καὶ ἡδέως ἐγκώμια δίκαια μὴ δεχόμενος· διὸ καὶ ἀποστρεφόμενος ἡμᾶς ἀνατρέπεις τὴν ἀλήθειαν, καὶ τὰ ἐμοί σοι ὀφειλομένως σοι λέγειν, ἵνα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῆς οἰκουμένης ἁπάσης ὁρώσης, λήψῃ τοὺς στεφάνους τῆς δόξης καὶ τὸ βραβεῖον· κἂν τούτῳ σὲ μακαρίζομεν ὅτι ταπεινοφροσύνην μετέρχῃ καὶ ἡμῖν διδάσκαλος καὶ ὑπογραμμὸς τῆς ἀρετῆς γενόμενος, διὰ τὸν εἰπόντα φύσει διδάσκαλον : μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ὅτι αὐτῶν ἐστιν Βασιλεία τῶν Οὐρανῶν (Ματθ. Ε' 3) Ἀκροώμεν τοίνυν τῶν σοφῶν σου λόγων, θεόληπτε, καὶ μετὰ πόθου παραδεχόμεθα τὰ σὰ εὐαγγελικὰ παραγγέλματα· οὐκ ἀνακύπτοντες τῷ φρονήματι, οὔτε καθεζόμενοι τοῖς σώμασιν, οὔτε ἀπασχολούμενοι τοῖς τῶν ἄλλων διηγήμασιν· ἀλλὰ νουθετούμεθα καὶ πλουτοῦμεν τῶν εὐαγγελικῶν σου θησαυρῶν καὶ τοῖς κατὰ ψυχὴν ἀσπασμοῖς ἀσπαζόμενοι τὴν θείαν σου κορυφήν, παρακαλοῦμεν κἂν τοῖς ἑξῆς μὴ ἀποκάμῃς ὑπαλείφων ἡμᾶς καὶ εὐφραίνων καὶ πληρῶν τῆς ἐπουρανίου καὶ ψυχικῆς εὐωδίας, ἀνοίγων ἡμῖν ταῖς κλεισὶ τῆς διδασκαλίας τῆς εὐαγγελικῆς διαγωγῆς τὸν παράδεισον· καὶ ἀποσμήχων τὸν βίον ἡμῶν ταῖς καλαῖς ὑφηγήσεσι, καὶ τοῖς τῆς διδασκαλίας σωτηρίοις νάμασι· τὰ ἐκ τῆς τρυφῆς ταύτης τῶν ψυχῶν ἡμῶν θεράπευσον τραύματα· κατάσβεσον τοὺς διαλογισμοὺς καὶ τὰ τῆς σκοτώσεως ὑπεκκαύματα· ἐπιτίμησον ἀνέμους τῶν πονηρῶν πνευμάτων, μεταρρύθμησον εἰς τὴν τῶν προβάτων διαγωγὴν καὶ κατάλογον τὸν λυμεῶνα τῆς θείας ποίμνης· ποιμὴν ποιμένων καὶ παράκλητε μετὰ τὸν Παράκλητον· οὗ αἱ πανάγιαι καὶ θεοπειθεῖς εὐχαί, καὶ οὗ ταῖς ἱλαστικαῖς εὐχαῖς, ἀπονεύσωμεν τῶν ματαίων πόνων οἱ κεκμηκότες ταῖς ἁμαρτίαις, τὸν τοῦ παντὸς βίου εἰς τὸ ἑξῆς ἀπορρίψωμεν τὸν ῥύπον.

— Ἀλλ' ὦ σύστημα θεοσύλλεκτον, ὦ Μήτηρ κοινὴ καὶ Κυρία καὶ Δέσποινα, τέκνων ὑπάρχεις μήτηρ (εἰ καὶ ἐγὼ τῷ λόγῳ τούτῳ διήμαρτον) τούτων τὴν ψυχὴν ἀδελφὴν καταρίθμησον, μέρος καὶ αὐτὴ τῆς οὐσίας ἀφόρισον φιλόπαις εἶ· γενοῦ καὶ φιλόθεος, δι' οὗ τὸ φιλάνθρωπον παῖς ἐκτήσω· μὴ ἐπ' ἐμοὶ μόνῳ ἀπαιδείαν νοσήσῃς· μὴ ἐμπέσῃς εἰς υἱοὺς οὐ δέδωκέ σοι σαυτὴν εὖ ποιοῦσα κληρονόμησον.

Ἀκολουθεῖ

« ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ »
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ
ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΚΔΙΔΟΜΕΝΟΝ ΕΝ ΒΟΛΩ
**Γραφεῖα καὶ τυπογραφεῖα : Κοραῆ 47**
*ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ*
Ἐσωτερικοῦ δρ. 100
Ἐξωτερικοῦ σελίνια 7
Ἀμερικῆς δολλ. 2
Τὸ τεῦχος δρχ. 10
Ἐπιστολαὶ συνδρομαὶ καὶ δωρεαὶ ἀποστέλλονται πρὸς τὸν κ. Σωτ. Σχοινᾶν - Κοραῆ 47 Βόλον.
**Χειρόγραφα δημοσιευόμενα ἢ μή, δὲν ἐπιστρέφονται.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀναλόγους πρὸς τὸν μοναχικὸν βίον, ὡς ἐπὶ παραδείγματι τοὺς Ναζειραίους, τοὺς θεραπευτάς, τοὺς Ἐσσαίους παρα τοῖς Ἑβραίοις; καὶ ἄλλας περιπτώσεις παρὰ τοῖς νεοπλατωνικοῖς καὶ εἰδωλολάτραις. Ἀλλὰ ἡ ἰδέα δὲν ἐννοήθη ἐν τῇ κυριολεξίᾳ της οὐδὲ ἐπραγματοποιήθη πλήρως ἄλλως ἢ διὰ τοῦ χριστιανισμοῦ. Καὶ θὰ ἔθεώρει κανεὶς λίαν ἐπιπολαίως τὰ πράγματα, ἂν ἐνόμιζε τὸν μοναχικὸν βίον ὡς μίμησιν τῶν ξένων αὐτῶν γεγονότων πρὸς τὸν χριστιανισμὸν ἢ ν' ἀποδώσῃ τὴν ἀρχὴν αὐτοῦ εἰς περιστάσεις κλιματολογικὰς (ὡς ἐν Αἰγύπτῳ), ἂν καὶ δὲν δύναται ν' ἀμφισβητήσῃ κανεὶς ὅτι τὰ γεγονότα ταῦτα καὶ αἱ περιστάσεις οὐδεμίαν εἶχον ἐπίδρασιν εἰς τὰ καθ' ἕκαστα, ἀπαραλλάκτως ὡς αἱ γνῶμαι τῆς μιᾶς ἢ τῆς ἄλλης περιόδου ἠδυνήθησαν νὰ εὐνοήσουν ἢ νὰ παρεμποδίσουν τὸν μοναχικὸν βίον. Προκειμένου δὲ περὶ τῆς καταγωγῆς του ὁ μοναχικὸς βίος δὲν δύναται νὰ ἐξηγηθῇ, καὶ νὰ νοηθῇ εἰμὴ ἀπὸ ἀπόψεως χριστιανικῆς καὶ ἐκ τῶν αἰτίων, τὰ ὁποῖα αὐτόθεν προκύπτει.

Ἀπὸ τοῦ β'. αἰῶνος οἱ ἀσκηταὶ ζῶντες ἐν τῷ μέσῳ τῶν οἰκογενειῶν των καὶ τῶν μοναχικῶν κοινοτήτων, παρήγαγον τὰ εὐοσμότερα ἄνθη τῆς χριστιανικῆς ἀρετῆς, ἐνῷ κατὰ τὸν γ'. αἰῶνα κατὰ τοὺς διωγμοὺς τοῦ Δεκίου (249—251) μέγας ἀριθμὸς χριστιανῶν κατέφυγον εἰς τὴν ἔρημον, παραμείναντες ἐκεῖ καὶ μετὰ τὸ πέρας τοῦ διωγμοῦ. Σὺν τῷ χρόνῳ δὲ διὰ τοῦ παραδείγματος τοῦ Μ. Ἀντωνίου, Ἀμμωνίου καὶ Μακαρίου, ἐξηπλώθη ὁ μοναχικὸς βίος εἰς τὴν Αἴγυπτον, Παλαιστίνην, Συρίαν, Μεσοποταμίαν, Περσίαν, Ἀρμενίαν, καὶ Μ. Ἀσίαν.

Ἡ ἐντύπωσις, ἣν ἐνεποίει ὁ βίος τῶν ζηλωτῶν αὐτῶν μοναχῶν ἦτο μεγάλη, ὡς διηγοῦνται οἱ σύγχρονοι. Οἱ ἐθνικοὶ συγκινούμενοι ἐπὶ τῇ θέᾳ αὐτῶν ἐζήτουν τὴν εὐλογίαν των καὶ ἐν τέλει προσήρχοντο εἰς τὸν χριστιανισμόν, ἰδίᾳ ἀφ' ὅτου ὁ Μέγας Βασίλειος συνέπηξε μοναχικὴν κοινότητα πλησίον τῆς Νεοκαισαρείας. Οἱ κανόνες δὲ τοὺς ὁποίους οἱ ἱδρυταὶ οὗτοι συνέταξαν ἦσαν ἐν γένει ἤπιοι καὶ οὐδεμίαν ἄλλην ὑποχρέωσιν ἐπέβαλλον εἰμὴ τὸν μονήρη βίον, τὴν χειροτεχνικὴν ἐργασίαν, τὴν μετριοφροσύνην εἰς τὴν ἱκανοποίησιν τῶν σωματικῶν ἀναγκῶν καὶ τὴν ἐπίδοσιν εἰς πνευματικὰς ἀσκήσεις.

Ὅσοι τῶν πιστῶν κατὰ κόσμον ζῶντες, ἔχουσι ὑπ' ὄψει τὰς ὑψηλὰς ἀρχὰς καθὼς καὶ τὰς ἀξιώσεις τοῦ χριστιανοῦ τοῦ ἀποβλέποντος εἰς τὴν κατὰ τὸ δυνατὸν προαγωγὴν αὐτοῦ μέχρι τοῦ σημείου ἐκείνου, ὅπερ ἐν τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ θεωρεῖται ὡς θέωσις τοῦ ἀνθρώπου, θὰ δυνηθοῦν νὰ δικαιολογήσουν τὸν ὀρθόδοξον μοναχόν, ὅστις παλαίων ἐναντίον τόσων ἀντιξόων περιστάσεων ζητεῖ ἐν τῇ ἐκ τοῦ κόσμου ἀποχωρήσει νὰ πραγματοποιήσῃ τὰς ὑψηλὰς ἐφέσεις τῆς ψυχῆς του, προσκολλώμενος εἰς Αὐτὸν τὸν Δημιουργόν του, ὅστις εἶναι ἡ ἀρχικὴ οὐσία της. Ἀξίζει λοιπὸν παρ' ὅσα ἂν λέγωνται παρὰ τῶν σημερινῶν Ἐπικουρείων, τὰς ἀρχὰς τῶν ὁποίων ἐνσαρκοῦσι τὰ μασωνικὰ θρέμματα, περισσότερον ὁ οὐρανὸς ἀπὸ τὴν γῆν.

ΣΑΒΒΑ ΜΟΝΑΧΟΥ ΦΙΛΟΘΕΪΤΟΥ

# ΕΡΜΗΝΕΙΑ ΤΟΥ ΧΕΙΡΟΥΒΙΚΟΥ ΥΜΝΟΥ

## ΠΡΟΛΕΓΟΜΕΝΑ

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

«Πᾶν ἀγαθόν, ἄνωθεν καταβαίνει ἐξ αὐτοῦ τοῦ Πατρὸς τῶν φώτων» (Ἰάκωβ. α'. 17) καὶ οὐκ ἔστι καλὸν ἐπὶ τῆς γῆς, εἰμὴ διὰ Ἰησοῦ



Χριστοῦ· καὶ τὸ καλὸν οὐκ ἔστι καλόν, ἐὰν μὴ καλῶς γένηται. Διὰ τοῦτο, τὸ καλὸν οἱουδήποτε εἴδους καὶ ἂν εἶναι, ἐπειδὴ εἶναι καλόν, δὲν πρέπει νὰ θάπτηται ἐντὸς τῆς καρδίας, οὐδὲ ἐν ἀποκρύφῳ τινὶ τόπῳ, ἀλλὰ νὰ τίθηται ἐν τῷ δημοσίῳ πρὸς ὠφέλειαν πολλῶν, διότι εἶναι καλόν.

Πᾶν δὲ καλὸν προέρχεται ἐκ τοῦ πλουσιοπαρόχου καὶ ἀγαθοδότου Θεοῦ· τοῦ χαριτοβρύτου παναγίου Πνεύματος, τῆς χάριτος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅστις (εἶναι) «χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας».

Δι' αὐτὸν τὸν λόγον πρέπει νὰ μὴ καλύπτηται σκεύει, ἀλλὰ νὰ ἐξαγγέληται πρὸς δόξαν αὐτοῦ τοῦ Θεοῦ, καὶ οὐχὶ ἡμῶν. «Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν· ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν, ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου» (Ψαλμ. ΡΙΓ'. 9)· ὅτι σοὶ μόνῳ πρέπει δόξα, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐπειδὴ καθ' ἡμέραν, ἀγαπητοί, ψάλλομεν καὶ ἀναγινώσκομεν τοὺς ὡραίους καὶ ὑψίστης σημασίας ὕμνους ἐν τῇ ψαλμῳδίᾳ τῆς καθ' ἡμᾶς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας καὶ ἐπειδὴ πολλοὶ ἐξ ἡμῶν ἐξ ἀμαθείας, μὴ γνωρίζοντες τὴν βαθεῖαν καὶ ὑψηλὴν ἔννοιαν τοῦ ψαλλομένου, παραμελοῦσι καὶ ἀδιαφοροῦσι νὰ δώσωσι τὴν πρέπουσαν προσοχὴν εἰς τὸ ψαλλόμενον, τούτου ἕνεκα, πρὸς δόξαν τοῦ Θεοῦ καὶ ὠφέλειαν ἡμῶν ἀπεφάσισα, θείᾳ βοηθείᾳ, νὰ ἑρμηνεύσω ὡς ἔφθην εἰπών, κατὰ τὸ δυνατὸν, τὸν ὡραῖον Χερουβικὸν ὕμνον. Ἐδόθη μοι δὲ ἡ αἰτία πρὸς ἑρμήνευσιν τούτου, ἐξ ἀφορμῆς λάθους τινος, τὸ ὁποῖον γίνεται, ἐξ ἀγνοίας βεβαίως, ἐκ μέρους τινῶν ἐν τῇ ψαλμῳδίᾳ τοῦ ὕμνου τούτου, τὸ ὁποῖον λάθος δὲν εἶναι μὲν ἐφάμαρτον, ἀλλὰ παράλογον καὶ παρὰ τὸν κανόνα τῆς τε συντάξεως καὶ αὐτῆς τῆς ἐννοίας ἀκόμη· τὸ λάθος δὲ γίνεται εἰς τὸ ἑξῆς σημεῖον. Ἐνῷ ἡ πρότασις εἶναι «πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν», ἔνιοι ἐκ τῶν ἱεροψαλτῶν ἐπαναλαμβάνουσι τὴν λέξιν «πᾶσαν» μετὰ τὸ ἀποθώμεθα· δηλαδὴ λέγουσι «πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα πᾶσαν μέριμναν»· χωρίζοντες τὴν λέξιν μέριμναν ἀπὸ τὴν βιωτικήν, ἀλλοιοῦσι τὴν ἔννοιαν: διότι ἡ μὲν λέξις πᾶσαν ἐπιτείνει τὴν βιωτικήν· καὶ θὰ ἐρωτήσωμεν, τὶ ἀποθώμεθα; «πᾶσαν τὴν βιωτικὴν μέριμναν».

Οὔτε πάλιν ἐπιτρέπεται εἰς τὴν μουσικὴν τέχνην ἡ ἐπανάληψις λέξεως πρὸ τριῶν λέξεων. Δὲν εἶναι λοιπὸν ὀρθὸν τοῦτο ἀλλὰ νὰ λέγηται ὅπως εἶναι γεγραμμένον· «πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν». Πρὸς ἄρσιν δὲ τῆς ἀμφιβολίας ὅτι δὲν εἶναι ὀρθὴ ἡ ἐπανάληψις ταύτης τῆς λέξεως «πᾶσαν», παραπέμπω τὸν ἀναγνώστην εἰς ὅλους τοὺς παλαιοὺς διδασκάλους τῆς Ἐκκλησιαστικῆς βυζαντινῆς μουσικῆς. Χρύσανθον, Χουρμούζιον, Γρηγόριον, Δανιήλ, Πέτρον λαμπαδάριον, Ἰάκωβον, Θεόδωρον Φωκαέα, Νικόλαον Πρ. Σμύρνης κλπ. ὅπου θὰ ἴδῃ ὅτι κανεὶς ἐξ αὐτῶν ποιεῖ τὴν ἐπανάληψιν τῆς λέξεως ταύτης.

Πρὸς τοῦτο ἀρκοῦσι τὰ ὀλίγα ταῦτα· ἄς ἔλθωμεν δὲ ἤδη εἰς τὴν ἑρμηνείαν τοῦ Χερουβικοῦ Ὕμνου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΧΕΡΟΥΒΙΚΟΣ ΥΜΝΟΣ

**Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ Ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν, ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν.**

### Α.΄ Ἁπλῆ ἐξήγησις

Ἡμεῖς, οἵτινες εἰκονίζομεν τὰ Χερουβίμ, καὶ οἱ ὁποῖοι προσᾴδομεν τὸν Τρισάγιον ὕμνον πρὸς τὴν ζωοποιὸν Τριάδα, ἂς ἀποβάλωμεν πᾶσαν βιωτικὴν μέριμναν, διότι θὰ ὑποδεχθῶμεν τὸν Βασιλέα τῶν ὅλων, ὅστις ἀοράτως δορυφορεῖται ὑπὸ ἀγγελικῶν τάξεων (1).

### Β΄. Ἑρμηνεία (2)

Θέλων ὁ ἱερὸς ᾀσματογράφος, ὅστις συνέταξε τὸν ὕμνον τοῦτον νὰ δώσῃ τὴν πρέπουσαν σημασίαν εἰς τὸ πανάγιον Μυστήριον τῆς θείας εὐχαριστίας, πρὸς τούτοις δὲ νὰ συστήσῃ καὶ εἰς ἡμᾶς τὴν προσοχήν, τοὺς ἐν πηλίνῳ στόματι προσᾴδοντας τὸν Τρισάγιον ὕμνον νὰ ἐννοήσωμεν, ὁποῖοι πρέπει νὰ εἴμεθα καθ' ἣν ὥραν ψάλλομεν τὸν Χερουβικὸν τοῦτον ὕμνον· εἰκονίζει ἡμᾶς μὲ τὰ οὐράνια ἀγγελικὰ τάγματα τῶν Χερουβίμ (1), τὰ ἐν ἀΰλῳ στόματι ἀκαταπαύστως ψάλλοντα τῇ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι τὸν Τρισάγιον ὕμνον.

#### Γενικὴ ἔννοια τῆς Ἑρμηνείας

«Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες». Ἡμεῖς λέγει, (οἱ χριστιανοὶ) οἵτινες κατὰ μυστικώτατον τρόπον εἰκονίζωμεν τὰ ἀσώματα Χερουβίμ, ἅτινα σὺν φόβῳ ἀεννάως προσᾴδουσιν ὕμνους καὶ δοξολογίας πρὸς τὸν Τρισυπόστατον Θεόν, πέριξ τοῦ φοβεροῦ θρόνου Αὐτοῦ, κράζοντα Καδώς, Καδώς, Καδώς, δηλαδὴ Ἅγιος, Ἅγιος, Ἅγιος, ὡς εἶδε καὶ ἤκουσεν ὁ μεγαλοφωνότατος τῶν Προφητῶν Ἡσαΐας· ἡμεῖς, λέγει, οἱ ὁποῖοι μυστικῶς εἰκονίζομεν τὰ Χερουβὶμ καὶ προσήλθομεν σήμερον καὶ ὁσάκις τελεῖται τὸ μέγα Μυστήριον τοῦτο, ἵνα προσφέρωμεν ψαλμικῶς τὸν Τρισάγιον ὕμνον πρὸς τὴν ζωοποιὸν Τριάδα, πῶς καὶ τίνι τρόπῳ πρέπει νὰ εἴμεθα προετοιμασμένοι; Ἀφοῦ αὐτοὶ οἱ ἀσώματοι Ἄγγελοι τρέμουσιν ἀπὸ προσώπου τῆς δυνάμεως Αὐτοῦ, ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι, οἱ τὰ ἐπίγεια φρονοῦντες, πῶς θὰ ὑποδεχθῶμεν τὸν Βασιλέα τῶν ὅλων; καὶ ἐνῷ ὁ μὲν ὡς ἄνω μέγας τῶν Προφητῶν Ἡσαΐας ὅτε εἶδε τὸν Κύριον ἐν θρόνῳ ἐπηρμένῳ, καὶ ἓν τῶν Σεραφὶμ προσελθὸν καὶ βαστάζον ἄνθρακα σὺν τῇ λαβίδι, ἥψατο τῶν χειλέων αὐτοῦ, ἐβόησε μετὰ κατανύξεως, «ὢ τάλας ἐγώ, ἄνθρωπος ὤν! καὶ ἀκάθαρτα χείλη ἔχων, εἶδον τὸν Κύριόν μου ἐν θρόνῳ ἐπηρμένῳ ἐν δόξῃ», ὁ δὲ Προφήτης Δανιὴλ ὁ ἀνὴρ ἐπιθυμιῶν, ὅτε εἶδε τὴν μεγάλην ἐκείνην ὀπτασίαν, ἥτις προεσήμαινε τὴν μέλλουσαν σάρκωσιν τοῦ Κυρίου καὶ τὴν δόξαν Αὐτοῦ, ἐστράφησαν τὰ ἐντόσθιά του εἰς τὰ ὀπίσω καὶ ἔμεινεν ἡμιθανής! ἕως ὅτου πλησιάσας ὁ Ἄγγελος ἐνίσχυσεν αὐτόν, ἡμεῖς λοιπὸν πῶς πρέπει νὰ ὑποδεχθῶμεν τὸν Κύριον; «πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν». Πρέπει λέγει, νὰ ἀποβάλωμεν ἀπὸ τὸν νοῦν μας πᾶσαν βιωτικὴν φροντίδα καὶ μέριμναν. Πρέπει κατὰ τὴν ὥραν ταύτην νὰ ἀποσπάσωμεν τὸν νοῦν μας ἀπὸ πᾶσαν προσπάθειαν τοῦ ἐπιγείου βίου· νὰ ἀπορρίψωμεν πᾶσαν ἔννοιαν κοσμικήν, πᾶσαν ἐπιθυμίαν βλαβεράν, πάντα λογισμόν, ὅστις ἀντίκειται πρὸς τὸ θέλημα τοῦ Θεοῦ.

Ἐπειδὴ ὁ νοῦς, ἀγαπητοί, εἰκονίζει τὸν Θεὸν καὶ Πατέρα, ὅστις εἶναι Νοῦς ἀπεριόριστος καὶ ἀπερίγραπτος, καὶ ἐπειδὴ διὰ τῆς διανοίας πολλάκις ἁμαρτάνει ὁ ἄνθρωπος καὶ καθ' ἣν στιγμὴν τὸ σῶμα ἡσυχάζει, διὰ τοῦτο προστάζει ὁ Θεὸς διὰ τοῦ Ἀπ. Παύλου νὰ καθαρίσωμεν τὸν νοῦν ἡμῶν ἀπὸ αἰσχροὺς καὶ βλασφήμους λογισμούς· «καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος» (Β΄. Κορινθ. ζ΄· 1). Ἐπειδὴ δὲ ὁ νοῦς μετὰ τῆς καρδίας ἔχουν τόσον σφιγκτὰς σχέσεις ὡσὰν ἕνας τόσον ταχύτατος τηλεφωνικὸς μαγνητισμός, ὥστε οὔτε ὁ νοῦς δύναται νὰ χωρισθῇ ἀπὸ τῆς καρδίας, οὔτε ἡ καρδία δύναται νὰ ἀποσπασθῇ ἀπὸ τοῦ νοὸς (μὲ τὴν διαφορὰν ὅτι ὁ νοῦς διατάσσει), διὰ τοῦτο καὶ τὸ ἀποτέλεσμα τοῦ συνδυασμοῦ τῶν δύο τούτων ψυχικῶν δυνάμεων εἶναι τελεσφορικόν· ἐπὶ καλοῦ μὲν ἐὰν καλῶς διαννοηθῇ, ἐπὶ κακοῦ δὲ ἐὰν κακῶς (ὅρα εἰς τοὺς νηπτικοὺς Πατέρας περὶ νήψεως καὶ προσοχῆς), διὰ τοῦτο ὁ Θεὸς διὰ τῆς Ἁγίας Γραφῆς συνιστᾷ εἰς ἡμᾶς μεγίστην προσοχὴν «πρόσεχε σεαυτῷ καὶ φύλαξον τὴν ψυχήν σου σφόδρα». Διὰ νὰ μᾶς δώσῃ δὲ ὁ Κύριος νὰ ἐννοήσωμεν πόσῃ προσοχὴ δεῖται διὰ νὰ φυλάξῃ τις τὸν νοῦν καὶ τὴν καρδίαν του καθαράν, συνιστῶν λέγει, «προσέχετε δὲ

---

(1) Ἡ λέξις δορυφορῶ εἶναι ἴσως εἰλημμένη ἐκ τῆς ἐποχῆς τῶν Ἑλλήνων Βυζαντινῶν Αὐτοκρατόρων, ἢ πιθανώτερον τῆς ἐποχῆς τῶν ἀρχαίων Ἑλλήνων Βασιλέων, οἵτινες συνωδεύοντο καὶ ἐδορυφοροῦντο εἰς ἐπισήμους τελετὰς καὶ ἑορτὰς ὑπὸ στρατιωτικῶν παρατάξεων καὶ αἵτινες ἐπαρουσίαζον τὰ δόρη ἔνθεν καὶ ἔνθεν τοῦ Βασιλέως, πρὸς σεβασμὸν καὶ δεῖγμα ὑπηκοότητος. Τὸ αὐτὸ καὶ σήμερον γίνεται εἰς ἐπισήμους στρατιωτικὰς παρατάξεις καὶ ὑποδοχὰς ἀνωτέρων Ἀξιωματικῶν, Στρατηγῶν Ὑπουργῶν καὶ Βασιλέων εἰς ὡρισμένας τελετὰς καὶ ἐθνικὰς ἑορτάς.

(2) Ἐν τῇ ἑρμηνείᾳ ταύτῃ διατυποῦνται δύο τινα ἡ προσοχὴ καὶ ἡ σχετικότης ἡμῶν πρὸς τὸν Θεάνθρωπον Ἰησοῦν. Καὶ ἐν μὲν τῇ προσοχῇ, ἐπειδὴ ἐνεργεῖ ὁ νοῦς καὶ ἀναπλάττονται παλαιαὶ μεταβεβλημέναι παραστάσεις ἢ καὶ νέαι τοιαῦται ἐν τῇ συνειδήσει ἡμῶν, αἵτινες ἐὰν μὲν εἶναι ἠθικαὶ ὠφελοῦν, ἐὰν δὲ ἀνήθικοι βλάπτουν, ἔνθα λαμβάνει χώραν ἡ φαντασία, γίνεται λόγος περὶ φαντασίας. Ἀλλ' ἐπειδὴ τὸ μάθημα τοῦτο εἶναι ψυχολογικὸν κατατάσσομεν τοῦτο εἰς ἕτερον ἄρθρον μετὰ τὴν παροῦσαν ἑρμηνείαν.
Ἐν δὲ τῇ σχετικότητι ἡμῶν πρὸς τὸν Θεάνθρωπον Ἰησοῦν, ἀπαριθμοῦνται συνοπτικῶς τὰ μεγάλα εὐεργετήματα, ἅπερ ἐποίησεν ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, καὶ τί ὀφείλει ὁ ἄνθρωπος πρὸς τὸν Θεὸν ἀπέναντι τοιούτων χαρισμάτων.

(1) Τὰ ἀσώματα ἀγγελικὰ τάγματα, κατὰ τὴν γνώμην τῆς Ἐκκλησίας, εἶνε ἐννέα· ἐννοεῖται λοιπὸν ὅτι τὰ Χερουβὶμ εἶναι ἓν τάγμα ἐκ τῶν ἐννέα ἀγγελικῶν ταγμάτων. Ἤτοι Χερουβίμ, Σεραφείμ, Θρόνοι, Κυριότητες, Ἀρχαί, Ἐξουσίαι, Δυνάμεις, Ἀρχάγγελοι καὶ Ἄγγελοι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἑαυτοῖς μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη». (Λουκ. κα'. 34) Πόση δὲ καθαρότης τῆς καρδίας χρειάζεται διὰ νὰ ἀξιωθῇ τις νὰ ὑποδεχθῇ ἐπαξίως τὸν Θεόν, Αὐτὸς ὁ ἴδιος μακαρίζων τοὺς τοιούτους λέγει· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται»· (Ματθ. ε'. 8) διότι πνεῦμα ὁ Θεὸς καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν». (Ἰωάν. δ'. 24).

Πόσον ὅμως βαρέως ἁμαρτάνουν, ὅσοι κατὰ τὴν ὥραν τῆς προσευχῆς ἀφήνουν τὸν νοῦν των νὰ χρονίζῃ εἰς αἰσχρὰς ἐπιθυμίας καὶ βδελυρὰς πράξεις, ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης αὐτὸς μᾶς ἐξηγεῖ, καταδικάζων [1] περισσότερον τοὺς ἁμαρτάνοντας διὰ τοῦ νοῦ, παρὰ τοὺς ἁμαρτάνοντας διὰ τοῦ σώματος. Διότι ἡ μὲν διὰ τοῦ σώματος ἁμαρτία διὰ νὰ τελεσθῇ, πρέπει νὰ εὑρεθῇ ὁ κατάλληλος καιρός, νὰ συντελέσῃ ὁ τόπος, τὸ πρόσωπον κλπ. ἡ δὲ διὰ τοῦ νοὸς ἁμαρτία πανταχοῦ καὶ πάντοτε δύναται νὰ τελῆται, ἐὰν δὲν προσέχῃ ὁ ἄνθρωπος. Πρέπει νὰ γνωρίζωμεν, ἀγαπητοί, ὅτι κατὰ τὴν διάρκειαν τῆς τελέσεως τοῦ Μυστηρίου τῆς θείας εὐχαριστίας δύο εἶναι αἱ κυριώτεραι στιγμαί, καθ' ἃς πρέπει ὁ πιστὸς νὰ εἶναι τόσον προσεκτικός, ὥστε νὰ μὴ ἀφήνῃ τὸν νοῦν του νὰ περιφέρηται εἰς ματαίας καὶ ψυχοβλαβεῖς σκέψεις. Πρώτη εἶναι ἡ στιγμὴ αὕτη καθ' ἣν ἐξέρχονται τὰ Ἅγια, διὸ καὶ μεγάλη εἴσοδος λέγεται καὶ δευτέρα, ἡ στιγμὴ κατὰ τὴν ὁποίαν μεταβάλλονται τὰ τίμια Δῶρα εἰς τίμιον Σῶμα καὶ τίμιον Αἷμα· κατὰ τὴν στιγμὴν ταύτην κατέρχεται τὸ ἅγιον Πνεῦμα καὶ μετουσιοῖ αὐτὰ εἰς σάρκα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δηλαδὴ κατὰ τὴν στιγμὴν καθ' ἣν ὁ ἱερεὺς λέγει, «καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ Σου· Ἀμήν· τὸ δὲ ἐν τῷ ποτηρίῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ Σου· Ἀμήν· μεταβαλὼν τῷ Πνεύματί Σου τῷ Ἁγίῳ· Ἀμήν, Ἀμήν, Ἀμήν. (Θ. Λειτουργία).

Διὰ τοῦτο κατερχόμεθα ἐκ τῶν στασιδίων καὶ ἀποκαλυπτόμεθα, προσκυνοῦντες σὺν φόβῳ καὶ σεβασμῷ τὸν Βασιλέα τῶν ὅλων, τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν θυσιασθέντα ἐπὶ τοῦ Σταυροῦ καὶ θυσιαζόμενον πάντοτε ὑπὲρ ἡμῶν.

Προσοχῆς λοιπὸν χρεία, ἀγαπητοί.

(Ἀκολουθεῖ)

[1] Τὴν αὐτὴν τιμωρίαν ἐπιφέρει καὶ καταδικάζει τοὺς ἁμαρτάνοντας διὰ τοῦ νοῦ καὶ ὁ Μ. Βασίλειος εἰς τὴν ὁμιλίαν «Πρόσεχε σεαυτῷ».

ΕΚ ΤΗΣ ΣΥΛΛΟΓΗΣ ΣΠΥΡΙΔ. ΛΑΥΡΙΩΤΟΥ ΜΟΝΑΧΟΥ-ΙΑΤΡΟΥ

## ΑΠΟΦΘΕΓΜΑΤΑ ΦΙΛΟΣΟΦΙΚΑ

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

### ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Κρεῖσσον ὀλιγοχρόνιος Βασιλεία μακρᾶς τυραννίδος καὶ ὀλίγη μερὶς τιμία, πολλῆς κτήσεως ἀτίμου καὶ σφαλερᾶς καὶ πολλοῦ σκότους ὀλίγον φῶς.

— Στρατοσθένης ὁ Κυρηναῖος, τῆς ἡλικίας, ἔφη· τὸ μὲν ἀκμάζον ἔαρ εἶναι θέρος δὲ καὶ φθινόπωρον τὸ μετὰ τὴν ἀκμήν, χειμῶνα δὲ τὸ γῆρας. Ὁ μὲν χειμὼν σκέπης, τὸ δὲ γῆρας ἀλυπίας δεῖται.



— Ἀριστοτέλης θεασάμενος μειράκιον ἐπὶ πολυτελείᾳ χλαμύδος σεμνυνόμενον, οὐ παύσῃ, ἔφη, μειράκιον ἐπὶ προβάτου σεμνυνόμενος ἀρετῇ;

— Μόναι τῶν ὁμοιοπαθῶν ὁμιλίαι, τοῖς ἀθυμοῦσιν εὑρίσκονται παρηγορία.

— Σοφός τις ἐρωτηθεὶς τὶ λυπεῖ τοὺς ἀγαθούς; ἔφη· εὐτυχία πονηρῶν. Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, τὰς δὲ λύπας μακράς. Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργίας, ὅμοιον ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας θεοσεβοῦσιν.

— Σωκράτης ἐρωτηθεὶς διὰ ποίαν αἰτίαν τοὺς ἄλλους διδάσκων λέγειν, αὐτὸς σιωπᾷς; ἔφη· καὶ γὰρ ἡ ἀκόνη αὐτὴ μὲν οὐ τέμνει, τὰ δὲ ξίφη ὀξέα ποιεῖ.

— Φαύλου ἀνδρός, καθάπερ κυνὸς σιγηροῦ δεῖ τὴν σιγήν, ἢ τὴν φωνὴν εὐλαβεῖσθαι.

— Θεόφραστος ὁ περιπατητικὸς φιλόσοφος ἐν συμποσίῳ νεανίσκον τινὰ βλέπων ἡσυχίαν ἔχοντα, εἶπεν· εἰ μὲν ἀπαίδευτος ὢν σιωπᾷς, πεπαιδευμένως ὑπάρχεις· εἰ δὲ πεπαιδευμένος, ἀπαιδεύτως σιωπᾷ. Ἡ παιδεία εὐτυχοῦσί μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ παραμύθιον.

— Σωκράτης ἰδών τινα πλούσιον ἀπαίδευτον ἔφη· ἰδοὺ καὶ τὸ χρυσίον ἀνδράποδον· ὀνειδιζόμενος ὑπό τινος ὅτι βαρβαρίζει ἔφη· ἐγὼ μὲν τῷ λόγῳ, ὑμεῖς δὲ τῷ τρόπῳ.

— Ὀνειδιζόμενος Λάκων παρά τινος ὡς εἰς ἀκαθάρτους τόπους εἰσέρχεται, ἔφη· καὶ ὁ ἥλιος, ἀλλ' οὐ μολύνεται.

— Τοσοῦτον διαφέρει ἡ γνῶσις τῶν λοιπῶν ἀρετῶν, ὅσῳ ἡ ὅρασις τῶν ἄλλων αἰσθήσεων.

— Οὔτε ἵππον χωρὶς χαλινοῦ, οὔτε πλούσιον δίχα φρονήσεως δυνατὸν κρατηθῆναι.

— Σοφός τις ἐρωτηθείς, τὶς ἄριστος σύμβουλος, ἔφη· ὁ καιρός.

— Ἀλέξανδρος θεασάμενός τινα ὁμώνυμον αὐτοῦ δειλὸν ὄντα, ἔφη· νεανίσκε ἢ τὸ ὄνομα ἢ τὸν τρόπον ἄλλαξον.

— Ἀνὴρ δίκαιός ἐστιν οὐχ' ὁ μὴ ἀδικῶν, ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος, οὐ βούλεται· ὄφιν τρέφειν καὶ πονηρὸν εὐεργετεῖν ταὐτόν ἐστιν, οὐδετέρου γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ.

— Δημοσθένης ἐρωτηθείς· τὶ ἄνθρωπος ἔχει ὅμοιον τῷ Θεῷ; ἔφη· τὸ εὐεργετεῖν καὶ τὸ ἀληθεύειν.

— Ποθητὸς εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν βίον προαιροῦ, ὃν γὰρ πάντες φοβοῦνται πάντας φοβεῖται.

— Ἠρωτήθη τις τῶν φιλοσόφων τὶ ἡ γῆ βαρύτερον βαστάζει; ἔφη· ἄνθρωπον ἀπαίδευτον.

— Ἀξιοπιστότερα τραύματα φίλου ἢ ἑκούσια φιλήματα ἐχθροῦ.

— Μὴ ἐγκαταλείπῃς φίλον ἀρχαῖον, ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἐπίσης αὐτῷ.

— Μίσους ὄντως ἀξία καὶ καταγνώσεως ἡ ἀργία, μύρμηκος καὶ μελίσσης χείρονα ποιοῦσα τὸν ἄνθρωπον.

— Δεινὸν πόνοις κάμνοντι προσθεῖναι πόνους· ἀλλ' οὐν πόνους ἔπαυσε πόνος.

— Ὁ μὲν γὰρ εὐορκῶν τυχὸν ἄν ποτε καὶ παρασφαλείη· ὁ δὲ μὴ ὀμνύων τὸν τῆς ἐπιορκείας κίνδυνον διαπέφευγεν. Ὁ νόμος φησὶν οὐκ ἐπιορκήσεις, σὺ δὲ τὴν ἀρχὴν οὐ μικρὸν οὐ μεῖζον ἐπὶ τοῦ ὅρκου τὴν ἐπιορκίαν τίκτοντος. (Σειράχ)

— Σπόρος ἐπὶ πέτραν, εὐχὴ μνησικάκου.

— Δένδρον ἄκαρπον, ἀσκητὴς ἀνελεήμων.

— Παγὶς κεκρυμμένη, ἔπαινος δόλιος.

— Πηγὴ γλυκεῖα, ὁμιλία συνετῶν.

— Φίλος μωρός, ταμεῖον ζημίας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

— Ὁ παύσας ὀργήν, ἀνεῖλε μνησικακίαν.

— Ἄνθρακες πυρός, σπινθῆρας ἐρεύγονται καὶ μνησίκακοι ψυχαί, λογισμοὺς πονηρούς.

— Ὁ δαίμοσι μνησικακῶν οὐ μνησικακεῖ ἀδελφοῖς, εἰρηνεύει δὲ μετὰ δαιμόνων, ὁ τῷ ἀδελφῷ μνησικακῶν.

— Σὲ ἐλύπησέ τις μὴ ἀντιλυπήσῃς, ἐπεὶ γέγονας ἐκείνῳ πάλιν ἴσος· οὐδεὶς γὰρ κακῷ κακὸν ἰᾶται.

— Ὥσπερ τις σπείρων ἐν θαλάσσῃ καὶ προσδοκῶν θερίσαι, οὕτως ὁ μνησικακῶν καὶ προσευχόμενος.

— Πολλοὶ φίλους αἱροῦνται οὐ τοὺς ἀρίστους, ἀλλὰ τοὺς πλουτοῦντας. Αἱ νέαι φιλίαι ἀναγκαῖαι, αἱ δὲ παλαιαὶ ἀναγκαιότεραι.

— Σκεύη τὰ μὲν καινὰ κρείττονα, φιλία δὲ ἡ παλαιοτέρα. Κρεῖσσον φίλος ἐγγὺς ἢ ἀδελφὸς μακρὰν οἰκῶν.

**Περὶ ἔχθρας**

— Ὁ κατέχων ἔχθραν καὶ μετανοεῖν δοκῶν, ὅμοιός ἐστι τῷ καθ' ὕπνους τρέχειν δοκοῦντι.

— Λεπρός ἐστι πᾶς ὁ ἔχων ἔχθραν πρὸς τὸν πλησίον, ἢ μῖσος, ἢ φθόνον, ἢ καταλαλιάν, ἐὰν δὲ καταλίπῃ αὐτὰ ἐκαθαρίσθη.

— Φεύγειν δεῖ κακῶν φιλίαν, καὶ ἀγαθῶν ἔχθραν. Χρή, τὴν μὲν ἔχθραν εἰς ὕδωρ γράφειν ἵνα ταχέως ἀφανίζεται, τὴν δὲ φιλίαν εἰς χαλκόν, ἵνα διὰ παντὸς βεβαία καὶ ἀκίνητος διατηρεῖται. Οὐκ ἔστι τῆς ἀρετῆς ἐπιμελούμενον μὴ πολλοὺς ἔχειν ἐχθρούς.

---

Ἐκ τοῦ Κώδικος Ω 111 φυλ. 183

# ΔΥΟ ΚΑΝΟΝΕΣ

## Πρὸς τοὺς ἁγίους Βασιλεῖς Κωνσταντῖνον καὶ Ἑλένην

**(Ποίημα Κυρίλλου Λαυριώτου)**

Ἦχος πλ. α'.

ᾨδὴ α'. **Τῷ Σωτῆρι Θεῷ**

Κωνσταντίνου πιστοί, τοῦ βασιλέως σοφοῦ, ἰδοὺ ἡ μνήμη ἀνατέταλκεν, ἡ τοῖς πιστοῖς πᾶσι φαιδρὰ καὶ κοσμοπόθητος, διὸ πάντες ᾄσωμεν πανηγυρίζοντες

Ὁ προγνώστης Θεός, ὁ ἐκ μὴ ὄντων τὸ πᾶν, σοφῇ προνοίᾳ, ὡς ἐπίσταται, καὶ τὸν σοφὸν Κωνσταντῖνον ἔδοξεν, ὡς πάμφωτον ἥλιον ἐνδόξως λάμποντα.

Τῷ φωτὶ ἐλλαμφθείς, τοῦ ζωηφόρου σταυροῦ, εἰδώλων πλάνην πᾶσαν ἔλειπες, καὶ τὸν Χριστὸν πάντων Θεὸν ὄντα προέκρινας, διὸ καὶ δεδόξασαι ὑπ' αὐτοῦ πάνσοφε.

**Θεοτοκίον**

Ἄχραντε μήτηρ Θεοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ. καὶ ἐκ τῶν κόλπων τοῦ Γεννήτορος, μὴ ἐκφοιτήσαντα Θεὸν ἀπαύστως πρέσβευε, πάσης περιστάσεως, σῶσαι οὓς ἔπλασεν.

**ᾨδὴ γ'.**

**Δυνάμει τοῦ σταυροῦ σου**

Ὑπῆλθες τῷ ζυγῷ τοῦ Χριστοῦ, στερεωθείς σου τὴν διάνοιαν, τῷ θείῳ ζήλῳ τῷ τῆς πίστεως, Κωνσταντῖνε ἰσαπόστολε.



Ἑλένη μακαρία σταυρόν, τὸ θεῖον ὅπλον, καὶ σωτήριον τῶν χριστιανῶν τὴν πεποίθησιν, ἔνδοξε τοῖς πᾶσιν ἐδήλωσας.

Δυνάμει τοῦ σταυροῦ τοῦ Χριστοῦ, ἐχθρὸν τὸν τύραννον ἀπέπνιξας, καὶ τοῖς πιστοῖς σὺ ἐκήρυξας, τὴν ἀήττητον ἐνέργειαν.

**Θεοτοκίον**

Ἱκέτευε ἀπαύστως Ἁγνή, τὸν σαρκωθέντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης διαβόλου, τοὺς ὑμνοῦντάς σε Παρθένε ἁγνή.

**ᾨδὴ δ'.**

**Εἰσακήκοα Κύριε τὴν ἀκοὴν**

Ῥητορεύειν τὰ κρείττονα, σὲ ὁ Θεὸς σαφῶς ἐξελέξατο τῷ κόσμῳ, ὡς μόνος Θεός ἐστιν ἡ Τριὰς καὶ ἐκραύγαζες, ἐπέγνωτε πάντες τὸν Κύριον.

Κωνσταντῖνε θεσπέσιε καὶ βασιλεὺς καὶ ἰσαπόστολος τυγχάνεις, βασιλέως τῶν δυνάμεων Θεοῦ, τοῦ σὲ ζωγρήσαντος, ὅθεν πάντες σὲ γεραίρομεν.

Καὶ τοῖς τρόποις φιλόθεος, ἐν γυναιξὶ καὶ ταῖς πράξεσι μακαρία, ὡς παράδεισος ἐφάνης τῷ Θεῷ, ὦ βασίλισσα Ἑλένη, ὄντως ἰσαπόστολε.

**Θεοτοκίον**

Ἡ Παρθένος ἔτεκε, καὶ τὰ μητέρων οὐκ ἔγνω· ἀλλὰ Μήτηρ μέν ἐστι, Παρθένος δὲ διέμεινεν· ἣν ἀνυμνοῦντες, Χαῖρε Θεοτόκε κραυγάζομεν.

**ᾨδὴ ε'.**

**Ὀρθρίζοντες βοῶμέν σοι**

Ἰδών σε βασιλέα ἀθάνατον ὕπαρ ὁ σὸς Κωνσταντῖνος ἐβόα σοι, ἐκτός σου ἄλλον οὐκ ἐπίσταμαι.

Πιστεύσας ὁλοτρόπως εἰς Κύριον, θεῖε ὡς πρὶν βασιλεῦ οἱ ἀπόστολοι, πανταχοῦ τοῦτον ἐκήρυξας.

Τρωθεῖσα τῇ ἀγάπῃ τοῦ Κτίστου σου, ταύτῃ καὶ τὸν υἱὸν μετερρύθμισας, Ἑλένη θεία κοσμοπόθητε.

**Θεοτοκίον**

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε· σὺ γὰρ τὸν Θεὸν λόγον, σαρκὶ τῷ κόσμῳ ἐκύησας.

**ᾨδὴ ς'.**

**Ἐκύκλωσέ με ἄβυσσος**

Λαμπρότητι τοῦ κτίσαντος τὸν τίμιον εἶδες λαμπόμενον, σταυρὸν ὁδηγοῦντά σε, καὶ ἐκδιδάσκοντα, ὦ Κωνσταντῖνε, ἐν τούτῳ νίκα πάντοτε,

Συνήθροισας πανεύφημε τῶν θείων Πατέρων τὸν ὅμιλον, τριάδα ἐκήρυξας, μιᾷ τῇ θεότητι, σέβειν τοὺς πάντας, Κωνσταντῖνε ἰσαπόστολε.

Πανήγυριν ἡ σύμπασα σὴν μνήμην ὀρθόδοξον σήμερον, ἐνδόξως νῦν κέκτηται, Κωνσταντῖνε μέγιστε, Ἑλένη θεία, ὦ βασιλεῖς θεόσοφοι.

**Θεοτοκίον**

Βάτον σε ἀκατάφλεκτον, καὶ ὄρος καὶ κλίμακα ἔμψυχον, καὶ πύλην οὐράνιον, ἀξίως δοξάζομεν. Μαρία ἔνδοξε, Ὀρθοδόξων καύχημα.

**ᾨδὴ ζ'.**

**Ὁ ἐν καμίνῳ πυρὸς**

Λαμπρυνομένη Θεοῦ, φωτὶ ἡ δυὰς τῶν βασιλέων, εὐλογητὸς ἐκβοᾷ ὁ τῶν Πατέρων Θεός.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ ἀποστόλους ποτέ, τῷ πυρὶ τοῦ Πνεύματος στομώσας, τοὺς βασιλεῖς ὁ αὐτός, Πνεύματος θείου ἔπλησεν.

Ὁ βασιλεῖς ἐκλεκτούς, καὶ ἀποστόλους τούτους δείξας, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

**Θεοτοκίον**

Ὁ ἐκ παρθένου τεχθείς, καὶ Θεοτόκον ταύτην δείξας, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'.

**Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων**

Ὁ ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθεὶς Υἱὸς καὶ Θεός, Κωνσταντῖνον βασιλέα, καὶ σαρκωθεὶς ἐκ Παρθένου μητρός, σὺ ἔχρισω τοῦτον, ἵν' οὕτως σὲ κηρύττῃ εἰς πάντας τοὺς αἰῶνας.

Ὁ πορφυρίδα ἐνθέως, τὴν συμπάθειαν στολισθείς, καὶ ὁ χλαμύδα τὴν καλλίστην, τὴν πρᾳότητα κοσμηθείς, βασιλεὺς ὁ θεῖος, ὑμνεῖ ὁ Κωνσταντῖνος, τὸν Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁ Κωνσταντῖνος ὁ μέγας, θεία Ἑλένη οἱ βασιλεῖς, νῦν ἐνδίκως τιμῶνται, ὡς κηρύξαντες παρρησίᾳ Χριστόν, λέγοντες τοῖς πᾶσι λαὸς ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον**

Τῶν Χερουβὶμ ὑπερτέρα, ἀνεδείχθης Θεοτόκε ἁγνή, ἐν τῇ γαστρί σου τὸν τούτοις ἐποχούμενον βαστάσαντα· ὃν σὺν Ἀσωμάτοις, βροτοὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'.

**Σὲ τὴν ὑπὲρ νοῦν**

Σὲ ὁ λυτρωτὴς τοῦ κόσμου Χριστὸς ὁ Θεός, Κωνσταντῖνε τοῖς πέρασι, βασιλέα κέχρικεν, ἡμεῖς δὲ σὲ τιμῶντες ἀγαλλόμεθα.

Σὲ τὴν παμφαῆ δυάδα τοὺς θείους βασιλεῖς, Κωνσταντῖνον τὸν μέγιστον, Ἑλένην τὴν πάνσεπτον οἱ πιστοὶ ὁμοφρόνως νῦν γεραίρομεν.

Σοῦ τὴν ἱερὰν βασιλικὴ Θεοῦ δυάς, Κωνσταντῖνε Ἑλένη τε, ἡμέραν γεραίροντες, τοὺς πιστοὺς περιέποιτε φυλάττοντες.

Ἐν ἔτει αψοη' Ὀκτωβρίου κγ'. ἐν τῇ Λαύρᾳ ὑμνοποιηθεὶς παρ' ἐμοῦ τοῦ εὐτελοῦς Κυρίλλου Προηγουμένου.

---

ΕΤΕΡΟΣ ΚΑΝΩΝ

Πρὸς τοὺς ἁγίους Βασιλεῖς Κωνσταντῖνον καὶ Ἑλένην, οὗ ἡ Ἀκροστιχὶς κατὰ Ἀλφάβητον ἐν δὲ τοῖς Θεοτοκίοις «Κυρίλλου».

Ὠδὴ α'.

**Ἦχος πλ. β'.**

**Ὡς ἐν ἠπείρῳ**

Ἄναξ ἀνάκτων, ὦ Λόγε Υἱὲ Θεοῦ, τὴν ψυχήν μου φώτισον, ἀνυμνῆσαι εὐκλεῶς, βασιλέα ὃν ἔστεψας ἐν γῇ, Κωνσταντῖνον τὸν σεπτὸν τὸν σὲ δοξάσαντα.

Βασιλικὴν τὴν καρδίαν καὶ τὴν ψυχὴν ἐσχηκότα πάνταρχος Θεὸς Λόγος προειδὼς βασιλέα ἔστεψεν ἐν γῇ, Κωνσταντῖνε κραταιὸν πιστῶν σε πρώτιστον.

Γάννυται χαῖρον τὸ φύλον τῶν γυναικῶν, σὲ πλουτῆσαν καύχημα, κλέος δόξαν καὶ τιμήν, καὶ πιστὴν βασίλισσαν πιστῶν, διὸ τοῦτό σε πιστῶς γεραίρει πάντοτε.

**Θεοτοκίον**

Κυριοτόκον σὲ οἴδαμεν εὐσεβῶς, ὡς Θεὸν γεννήσασαν καὶ ἐλπίζομεν εἰς σέ, τοῦ σωθῆναι πάντων ὦ ἐλπίς, λιθωθήτωσαν οἱ δ' οὕτω μὴ δοξάζοντες.



Ὠδὴ γ'.

**Οὐκ ἔστιν ἅγιος**

Δαιμόνων πλάνην καὶ κωφά, εἴδωλα σὺ μισήσας, ἠγαπήσω δὲ μόνον, τὸν σταυρωθέντα Χριστόν, ὃς ἀμοιβὴν σοι διδούς, τῶν πιστῶν σε, βασιλέα κέχρικεν.

Ἐν τούτῳ νίκα τῷ σταυρῷ τοῦ Χριστοῦ ἐπακούσας, βασιλεῦ Κωνσταντῖνε, ἐνίκησας τοὺς ἐχθρούς, ἐστερέωσας σεαυτὸν θείῳ φόβῳ, μάκαρ ἐβασίλευσας.

Ζωὴν βαστάσαντα σταυρόν, μακαρία Ἑλένη, εὑραμένη τὸ κέρας τῶν πιστῶν περιχαρῶς, προέκρινας ἐν αὐτῷ, ἐγκαυχᾶσθαι, καὶ ἐγκαλλωπίζεσθαι.

**Θεοτοκίον**

Ὕσωπε δόξης θεϊκῆς, ἡ καθάρασα πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν Θεοτόκε Μαριάμ, ῥερυπωμένον πολλαῖς ἁμαρτίαις, κάθαρόν με Δέσποινα.

Ὠδὴ δ'.

**Χριστός μου δύναμις**

Ἡ μόνη γέφυρα Θεὸς καὶ Κύριος ὁπηνίκα σὲ εἶδεν ἐν τοῖς δεινοῖς, τῆς γεφύρας ἔσωσε, τὸν δ' ἐχθρόν σου τῷ βυθῷ, παραδίδωσι θεσπέσιε.

Θεός μου Κύριος Χριστὲ καὶ δύναμις, σὲ ὑμνῶ σὲ δοξάζω περιχαρῶς, Κωνσταντῖνος ἔκραζε, καὶ σὲ κηρύττω εὐσεβῶς, κόσμον ὅθεν εἰς τὸν σύμπαντα.

Ἱλέῳ ὄμματι Ἑλένη πάνσεπτε εὐλαβῶς σου τελοῦντας τὴν ἑορτὴν πρόσδεξαι καὶ δώρησαι καλῶς τοῦ βίου ἐξελθεῖν, καὶ τυχεῖν τῆς σῆς ἀλήκτου χαρᾶς.

**Θεοτοκίον**

Ῥημάτων Πάναγνε τὸ πέρας βλέποντες, τῶν θεηγόρων σοὶ λέγομεν εὐσεβῶς· Χριστοῦ Μῆτερ ἄνανδρε, χαῖρε τὸ ὄρος τοῦ Θεοῦ, τὸ κατάσκιον ἐν πνεύματι.

Ὠδὴ ε'.

**Τῷ θείῳ φέγγει σου**

Κοσμίους πάσας τὰς ἡδονάς, καίπερ βασιλεῖς τῶν ἐπὶ γῆς, ὅλως ἠλογίσασθε ἅγιοι, Κωνσταντῖνε μάκαρ σοφέ, Ἑλένη σεπτή, διὸ ἐπαξίως ἀεὶ ἀγάλλεσθε.

Λαμπρυνομένη σου ἡ δυάς, ἡ ἁγνοτάτη τὰς ψυχάς, Λόγε Θεοῦ ὑπεράγαθε, φωτί σου θείῳ, Λόγε Θεοῦ, ποιητὴν τοῦ παντός, εἰς τὸν σύμπαντα κόσμον σὲ κατήγγειλε.

Μεγάλως πᾶσαν ἐπὶ τὴν γῆν, τὸν Χριστὸν δοξάσαντα ὑμᾶς τοῦτον ἡμεῖς ἐδοξάσατε, τοῦ εἰδέναι Λόγον Θεοῦ τὸν ὄντως Θεόν, κηρύξαντες τοῖς πᾶσι, κόσμου τοῖς πέρασιν.

**Θεοτοκίον**

Ἰδοὺ ἣν πάλαι ὁ τοῦ Θεοῦ, μέγιστος προφήτης προορῶν εἶπε Παρθένον Μητέρα τε, σὲ δοξολογοῦμεν Μητέρα Θεοῦ τοῦ ὄντος Θεοῦ, τοῦ ζόφου τῶν πταισμάτων ἡμᾶς ἐξάγοντος.

Ὠδὴ ϛ'.

**Τοῦ βίου τὴν θάλασσαν**

Ναὸς τοῦ παντάνακτος, ἐχρημάτισας σοφέ, ὦ Μέδον κοσμοπόθητε, Κωνσταντῖνε παμμέγιστε Βασιλεῦ, κηρύξας τοῖς πέρασιν, ἀληθῶς τοῦ Χριστοῦ τὴν ἐνανθρώπησιν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ξοάνων καθαίρεσιν, καὶ ὑπέρμαχον Χριστοῦ, καὶ εὐσεβείας κήρυγμα, τῆς ἀσεβείας ἀντίπαλον καὶ ἐχθρόν, εἰδότες σε ἔνδοξε Κωνσταντῖνε οἱ πάντες σε γεραίρομεν.

Ὁ πόθος τοῦ κτίστου σου, καὶ ἀγάπη τοῦ σταυροῦ, τοῦ ζωηφόρου ἔπεισε, καταλαβεῖν σε τάφον τὸν τοῦ Χριστοῦ, Ἑλένη πανσέβαστε, βασιλίδων τὸ κλέος καὶ τὸ καύχημα.

Θεοτοκίον

Λαμπὰς πανυπέρφωτε, μυριώνυμε ἁγνή, Παρθένε πανευλόγητε, ἡ τοῦ Κυρίου Μήτηρ ἡ ἀληθής, ἐλπίδα μου ἅπασαν, ἐσχηκότα πρὸς σέ με διαφύλαττε.

'Ωδὴ ζ'.

Δροσοβόλον με τὴν κάμινον

Προσταγμάτων με τῶν θείων ὡς ὑπήκοος, γέγονε Κωνσταντῖνος τῶν σῶν, παρανόμων δὲ παρατάξεις ἔλυσε σαφῶς, καὶ τοὺς πάντας ἐδίδαξε βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ῥαθυμίαν πρὸς τὸν Κτίστην ἀπωσάμενοι, ἄγγελοι ὡς καθάπερ σοφοί, ὑμεῖς ἔνδοξοι, βασιλεῖς προετρέπετε ἀεί, τοὺς πάντας διδάσκοντες βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Σωτηρίας τὸ πανάγιον γνωρίσασα, ξύλον ἡμῶν αἰτίας σοφή, προθυμίᾳ τοῦτο ἤνεγκας Ἑλένη εἰς φῶς, τοὺς πάντας διδάσκουσα βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον

Λαμπρυνόμενοι τῷ φέγγει τῆς σῆς χάριτος, ἄχραντε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, Κωνσταντῖνος καὶ Ἑλένη, οἱ ἅγιοι Βασιλεῖς τοὺς πάντας προέτρεπον βοᾶν, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

'Ωδὴ η'.

'Εκ φλογὸς τοῖς ὁσίοις

Τοῦ Χριστοῦ ὁλοτρόπως τὴν εὐσυμπάθητον, μιμησάμενοι γνώμην ἔνδοξοι Μέδοντες ἅπασι, πραεῖς, καθωράθητε ψάλλοντες, σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ὑμετέραν ὁρῶντες τὴν εὐσυμπάθητον, Βασιλέων τῶν θείων γνώμην καὶ ἔνθεον, καὶ τὴν πρὸς Θεὸν ὁλικὴν οἰκειότητα, Χριστὸν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Φρυκτωρίαις ἐνθέοις τοῦ σὲ δοξάσαντος, ἐπὶ γῆς σε μεγάλως Ἑλένη ἔνδοξε, πάντων τὸν σταυρόν, τὴν ἐλπίδα καὶ στήριγμα, ἔδειξας ἐν κόσμῳ, προσκυνεῖσθαι εἰς αἰῶνας.

Θεοτοκίον

Ὁ τῆς γῆς καὶ τοῦ πόλου Κτίστης καὶ Κύριος, ὁ Υἱὸς τοῦ ἀνάρχου Πατρὸς σὸς γέγονεν, οὗτος καὶ σεπτοὺς Κωνσταντῖνον Ἑλένην τε, ἔδειξε τοῖς πᾶσι, Μαριὰμ εὐλογημένη.

'Ωδὴ θ'.

Θεὸν ἀνθρώποις ἰδεῖν

Χαρᾶς ἀπείρου Χριστὸς ὁ Κύριος, Κωνσταντῖνε τρισμάκαρ τοῖς σὲ πιστῶς ποθοῦσί σε ἀνέδειξε τὸν σὸν τάφον, ἐν ᾧ τὸ ἱερόν, σῶμα πεπληρωμένον, ὅθεν οἱ ἅπαντες ῥῶσίν τε τρυγῶμεν, καὶ παθῶν τὴν ἀπολύτρωσιν.

Ψυχῶν σωμάτων ἡμῶν ἀκέστορας, ἐσχηκότες τοὺς θείους Βασιλεῖς δεῦτε ἅπαντες, ὁμοφρόνως κράξωμεν πίστει πρὸς αὐτούς, πάντα ἡμῶν τὰ πάθη νῦν θεραπεύσατε, ὅπως ἀνυμνῶμεν τὸν ὑμᾶς Θεὸν δοξάσαντα.

Ὦ Μέδον εὐσεβείας τὸ στήριγμα, ὦ Κωνσταντῖνε θεῖε καὶ Ἑλένη πανσέβαστε, ὦ δυὰς πανθαύμαστε, τὸ κλέος τῶν πιστῶν, πάντας τοὺς τὴν ἁγίαν μνήμην γεραίροντας, ὑμῶν τῶν παντοίων πειρασμῶν ἀπολυτρώσασθε.

Θεοτοκίον

Ὑμνεῖν Παρθένε σὲ οὐ παυόμεθα, τὴν βοηθὸν τὴν σκέπην τὴν ταχεῖαν ἀντίληψιν, τὴν προστάτιν ἡμῶν ἀκαταίσχυντον, τήρησον σοὺς οἰκέτας πάσης κακώσεως, πάσης μηχανῆς τοῦ πονηροῦ ἐκλυτρουμένη ἀεί.

Καὶ οὕτος εἴληφε πέρας ὁ κανών, πονηθεὶς παρ' ἐμοῦ τοῦ εὐτελοῦς προηγουμένου τῆς Μεγίστης Λαύρας Κυρίλλου, ἐν ἔτει αψοη'. κατὰ μῆνα Νοέμβριον.

Κύριλλος.

---

ΤΟ ΔΙΗΓΗΜΑ ΜΑΣ

## Η ΡΟΖΑ ΤΟΥ ΤΑΝΝΑΝΒΟΥΡΓΟΥ

### ΚΕΦΑΛΑΙΟΝ Α.'

### Η ΡΟΖΑ ΑΝΑΤΡΕΦΟΜΕΝΗ ΥΠΟ ΚΑΛΗΣ ΜΗΤΡΟΣ

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

Εὑρίσκετο ὁ κῆπος οὗτος εἰς καλὴν κατάστασιν, καὶ ἡ ἐν αὐτῷ τακτικὴ περιδιάβασίς της τὴν καθίστα ὑγιεστέραν ὡς ἐκ τῆς δρόσου καὶ αὔρας αὐτοῦ, οὐχ ἧττον δὲ καὶ ἡ Ρόζα ἀκολουθοῦσα τὸ παράδειγμα τῆς μητρός της ᾐσθάνετο πολλὴν διάθεσιν διὰ τὸν κῆπον. Ἡ μήτηρ της θέλουσα, ἵνα ἡ Ῥόζα ἀσχολῆται ἐν τῷ κήπῳ, τῇ ἐπροσδιόρισέ τινας πρασίας κεχωρισμένας καὶ παρήγγειλε νὰ τῇ προετοιμάσωσι τὰ ἁρμόδια διὰ τὴν καλλιέργειαν ἐργαλεῖα, ἤτοι ἓν ξύστρον (δίκελλον) καὶ ἓν ὡραῖον ποτιστήριον. Ἀφοῦ τὸ ἄνθος τῆς ῥοδακηνιᾶς ἀνήγγελλε τὴν ἄνοιξιν, μέχρι τῆς στιγμῆς, καθ' ἣν τὸ φθινόπωρον ἀπεγύμνωνε τὰ δένδρα ἐκ τῶν φυλλωμάτων των, ἡ Ῥόζα σταθερῶς ἠσχολεῖτο εἰς τὸν κῆπον, ὁτὲ μὲν μὲ ἀκούραστον προθυμίαν ἔσπειρε σπόρους εἰς τὰς πρὸς τοῦτο ἑτοιμασθείσας πρασίας, ἢ ἐφύτευε νέα ἄνθη· ὁτὲ δὲ ἐπότιζε τὰ χρήσιμα φυτὰ καὶ ἐξερρίζωνε τὰ περὶ αὐτὰ ἄγρια χόρτα, εἰς τρόπον ὥστε ἐκεῖνα ἀνεπτύσσοντο, προπάντων δὲ συνάζουσα τὸν χοῦν εἰς σωροὺς πέριξ τῶν νέων λαχάνων, ὑπεστήριζε τοὺς κεκλιμένους ἐκ τοῦ καρποῦ κλάδους αὐτῶν.

Ἡ εὐχαρίστησις τῆς Ῥόζας ὑπῆρξεν ὑπερβολική, ὅταν εἶδε νὰ τεθῶσιν ἐπὶ τῆς τραπέζης τὰ πρῶτα μπιζέλια, τὰ ὁποῖα αὐτὴ ἡ ἰδία εἶχε φυτεύσει, παρεσκευασμένα καὶ μαγειρευμένα. Ποτὲ ἕως τότε κανὲν φαγητὸν δὲν τῇ ἐφάνη τόσον ἡδύ. «Ἰδοὺ οἱ γλυκεῖς καρποὶ τῶν κόπων σου, τῇ εἶπεν ἡ μήτηρ της· τοιουτοτρόπως ὁ Θεὸς ἀνταμείβει τὴν ἐργασίαν, καὶ τοῦτο συμβαίνει ἐπί τε τῶν μικρῶν καὶ ἐπὶ τῶν μεγάλων πραγμάτων. Ὅλος ὁ τόπος, ὅστις περικυκλόνει τὸ φρούριόν μας, ἦτο ἄλλοτε μία ἀγρία ἔρημος, καὶ διὰ μόνης τῆς ἐργασίας μετεβλήθη εἰς μειδιῶντα καὶ γόνιμον κῆπον.» Ἡ Ματθίλδη δὲν ἐσκέπτετο μόνον ἵνα συνειθίζῃ τὴν θυγατέρα της εἰς συνεχῆ ἐνέργειαν, ἀλλ' ἵνα διαποικίλλῃ τὰς ἀσχολίας της, ὅπως προλαμβάνῃ ἐνοχλητικὴν ὁμοιότητα ἐργασίας, ζητοῦσα πρὸς τούτοις νὰ τῇ παρέχῃ ἀνάπαυσιν. Δὶς ἢ τρὶς τῆς ἑβδομάδος ἐπέτρεψεν ἡ Ματθίλδη εἰς πτωχὰ μέν τινα κοράσια, ἀλλὰ καλῶς ἀνατεθραμμένα, καὶ ὁμήλικα μὲ τὴν Ῥόζαν, νὰ ἔρχωνται εἰς ἐπίσκεψιν αὐτῆς, ἐξ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ῶν τὸ ἓν πρὸ πάντων, Ἁγνὴ ὀνομαζόμενον, διεκρίνετο διὰ τὴν ἀγαθότητα τῆς καρδίας του. Ἅμα προσήρχοντο ταῦτα, ἡ Ῥόζα τῆς προσέφερε δροσιστικά τινα ποτά, μετὰ ταῦτα, ἀφοῦ παρήρχετο ἡ ὥρα τῆς συνεργασίας των, διεσκέδαζον μὲ διάφορα παιγνίδια, εἴτε εἰς τὸν κῆπον, εἴτε ἐντὸς τῶν δωματίων τῆς οἰκίας. Ἐν τούτοις ἡ μήτηρ τῆς Ῥόζας δὲν ἄφινε τὰ παιδία νὰ ἀπομακρυνθῶσιν ἀπὸ τὴν ὅρασίν της, καὶ χωρὶς αὐτὰ νὰ ἐννοῶσιν ἠκροάζετο ὅλας αὐτῶν τὰς συνομιλίας. Συχνάκις τοῖς διώριζε νέα παιγνίδια, τὰ ὁποῖα αὐτὴ ἡ ἰδία ἤξευρε νὰ τὰς διδάξῃ. Τοιουτοτρόπως ὑπεστήριζε τὴν εὐθυμίαν καὶ τὴν καλὴν διάθεσιν τῆς θυγατρός της καὶ τοῦτο ἐθεώρει ὡς τὸ οὐσιῶδες εἰς τὴν καλὴν ἀνατροφήν. Ἡ φρόνιμος μήτηρ ἐζήτει πρὸ πάντων ν' ἀποφεύγῃ, ὥστε ἡ ματαιότης καὶ ἡ κλίσις πρὸς τὸν στολισμὸν νὰ μὴ διαφθείρωσι τὴν καρδίαν τῆς θυγατρός της. Ὅτε ἡ Ῥόζα εἰσῆλθεν εἰς τὴν νεανικὴν ἡλικίαν της, καὶ ὁ δοὺξ τῆς Σουηβίας ἦλθεν εἰς τὸ Ταννανβοῦργον διὰ νὰ ἐπισκεφθῇ τὸν φίλον του πατέρα της Ἐδελβέρτην καὶ πολλοὶ γείτονες ἱππόται προσεκλήθησαν ἐκεῖ μετὰ τῶν κυριῶν των, αὕτη ἐπαρουσιάσθη μὲ ἔνδυμα σύμφωνον μὲ τὴν τάξιν της· τὰ μεταξωτὰ ἐνδύματά της καὶ οἱ πολύτιμοι λίθοι συνεπλήρουν τὸν στολισμόν της. Οἱ σύσσιτοι ξένοι τῇ ἀπηύθυνον ὑπερμέτρους ἐπαίνους ἐπὶ τῇ ὡραιότητί της καὶ ἐπὶ τῇ φυσιογνωμίᾳ της· ἡ δὲ Ῥόζα ἐφαίνετο ἀκούουσα μετ' εὐχαριστήσεως τὰς κολακείας, ἀπὸ τὰς ὁποίας ἦτο πεπληρωμένη. Ὅτε οἱ ξένοι οὗτοι ἀπεμακρύνθησαν, ἡ Ματθίλδη εἶπεν εἰς τὴν θυγατέρα της: «Οἱ λόγοι τῶν κυρίων καὶ τῶν κυριῶν ἐκείνων ζωηρῶς μ' ἐλύπησαν διὰ τὸ ἀντικείμενον τῶν ἐπαίνων των, ὅπερ ἄλλως δὲν ἦσο σύ, ἀλλὰ τὰ λάμποντα ταῦτα στολίδια, ἅτινα σὲ ἐκάλυπτον καὶ ἅτινα ἀποθέτεις ἤδη. Εἰς τοὺς ἐργάτας, οἵτινες ὕφαναν τὴν μέταξαν ταύτην καὶ οἵτινες ἐκαθάρισαν τοὺς πολυτίμους τούτους λίθους ἀπευθύνοντο τὰ ἐγκώμιά των, καὶ οὐχὶ πρὸς σέ. Ἐνεκωμίαζον πρὸς τούτοις τὴν μορφήν σου τῆς ὁποίας ἡ ἀξία δὲν σοὶ ἀνήκει καὶ τῆς ὁποίας ἡ ὡραιότης εἶναι ἐφήμερος, καθὸ μαρανθησομένη καὶ μεταβληθησομένη εἰς κόνιν μίαν ἡμέραν. Φεῦ! Θεέ μου, θὰ ἤμην δυστυχεστάτη μήτηρ, ἐὰν εἰς τὸ ἑξῆς θὰ ὑπάρξῃ τι τῶν ἐξωτερικῶν στολισμῶν, δι' ὧν νὰ ἐπαινῆται ἡ Ῥόζα μου Ὦ ἀκριβὴ καὶ καλή μου θύγατερ! Ζήτησον ν' ἀποκτήσῃς προτερήματα, ἅτινα δύνανται ἀληθῶς νὰ σὲ τιμῶσιν ἀείποτε».

Τάττουσα τότε λυπηρῶς τὰ κοσμήματα εἰς τὴν περικαλλῆ θήκην. «Ἆ! ἐπανέλαβε, τίνα εἰσὶ τὰ πολύτιμα ταῦτα κοσμήματα ἀπέναντι μιᾶς εὐγενοῦς καρδίας;. Τὰ ἀντικείμενα ταῦτα δὲν δύνανται νὰ μᾶς δώσωσι τὴν εὐτυχίαν. Μίαν ἡμέραν ὅταν μὲ θέσωσιν εἰς τάφον, ἡ περικαλλὴς αὕτη θήκη δὲν θέλει μὲ ἀκολουθήσει ἐκεῖ. Ἐκεῖ τὰ εὐγενῆ αἰσθήματα καὶ αἱ ἐνάρετοι πράξεις, οὗτοι οἱ ἀληθεῖς, οἱ ἀπρόσβλητοι καὶ ἀθάνατοι θησαυροί, οἱ μόνοι, οἱ διατηροῦντες τὴν ἀξίαν των εἰς τὸν ἀληθῆ κόσμον, αὐτοὶ καὶ μόνοι θὰ μὲ ἀκολουθήσωσι.»

Τὰ παραδείγματα τῆς Ματθίλδης ἐνήργησαν ἰσχυρότερον καὶ ἔτι ἀποτελεσματικώτερον ἐπὶ τοῦ πνεύματος τῆς θυγατρός της παρὰ οἱ λόγοι της. Ἅπασα ἡ διαγωγή της, ὁμοία μὲ ἓν λάμπον καὶ καθαρὸν κάτοπτρον, ἐδείκνυε καθημερινῶς εἰς τὴν Ῥόζαν τὰ αἰσθήματα καὶ τὰς ἀρετάς, τὰς ὁποίας ἔπρεπε ζητοῦσα νὰ ἀποκτήσῃ. Ἡ Ματθίλδη ἦτο σύζυγος καὶ μήτηρ τόσον γλυκεῖα, τόσον σώφρων, τόσον προφυλακτική, ὥστε ὁ βίος της ἐφαίνετο ὅτι ἦτο ἡ ἄφωνος πανήγυρις τῶν διαφόρων αὐτῆς ἀρετῶν. Οὐδέποτε ἐζήτει νὰ καυχᾶται ὑπὲρ ἑαυτῆς, οὐδέποτε οὐδεὶς ἠδύνατο εὐκόλως νὰ αἰσθανθῇ τὰ πλεονεκτήματα τοῦ βαθμοῦ της, τοῦ πλούτου της, καὶ τῶν γνώσεών της· οὐδέποτε ὁ θυμὸς μετέβαλλε τὰ τῆς ὄψεώς της χαρακτηριστικά, εἰς τὰ ὁποῖα ἀείποτε ἐζωγραφισμένη ἦτο ἡ γλυκύτης καὶ ἡ ἀγαθότης· οὐδέποτε ἔλεγε κακὸν δι' ἄλλον, καὶ τὸ στόμα της οὔτε βλασφημίας οὔτε ἀξιοκατακρίτους λόγους ἐπρόφερεν. Ἡ δὲ εὐσέβειά της καὶ πρὸ πάντων ἡ εὐσπλαγχνία της πρὸς τοὺς ἄλλους ἐπροξένει εἰς τὴν καρδίαν τῆς θυγατρός της τόσον βαθεῖαν ἐντύπωσιν ὥστε, οὐδὲν ἠδύνατο νὰ ἀφαιρεθῇ ἀφ' ὅλον τὸν βίον της.

Τὸ φρούριόν των περιέκλειεν ἀρχαῖον παρεκκλήσιον, τοῦ ὁποίου αἱ ὕελοι ἦσαν κεχρωματισμέναι μὲ διάφορα χρώματα. ἐν αὐτῷ συχνάκις ἡ εὐσεβὴς μήτηρ εἰσήρχετο μετὰ τῆς θυγατρός της Ῥόζας, καὶ γονυκλιτοῦσα μετ' αὐτῆς ἔμπροσθεν τοῦ βωμοῦ, ἐδέετο τοῦ Ὑψίστου Θεοῦ μετὰ τοσαύτης συναισθήσεως καὶ ζέσεως, ὥστε ὁ οὐρανὸς ἐφαίνετο ἐπιλάμπων εἰς τὴν ὄψιν αὐτῆς, καὶ ἡ καθαρὰ ψυχή της ὡς προσδεχομένη ὑπὸ τοῦ Πλάστου.

Ἀκολουθεῖ

---

## ΔΗΛΩΣΙΣ

Ἡ Διεύθυνσις τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» δέχεται συνεργασίαν ἀπὸ πάντα ἐπιστήμονα ἢ διανοούμενον, ἀποστέλλοντα εἰς αὐτὴν ὕλην ἱστορικήν, ἔχουσαν σχέσιν πάντοτε μὲ τὸ Ἅγιον Ὄρος. Ὡσαύτως ὕλην ἐπαγωγὸν καὶ χρήσιμον διὰ τῆς σωτηρίαν τῆς ψυχῆς.

Διεύθυνσις. : Σωτήριον Σχοινᾶν. Βόλον.

---

**Διαδόσατε τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην».**



**Διὰ τὰς ἐν ἁπάσῃ τῇ ἐπικρατείᾳ ἱερὰς Μονὰς καὶ λοιπὰ εὐαγῆ καθιδρύματα.**

Δηλοῦμεν ὅτι αἱ ἱεραὶ Μοναὶ καὶ τὰ λοιπὰ Ἐκκλησιαστικὰ καθιδρύματα, τὰ ἔχοντα Ἀκολουθίας ἁγίων προστατῶν αὐτῶν ἢ πολιούχων, ἢ ἄλλως πως ἐκκλησιαστικὴν ὕλην πρὸς ἔκδοσιν εἰς βιβλία μικρὰ ἢ μεγάλα, δύνανται μὲ μικροτέραν ἀμοιβὴν νὰ δημοσιεύωνται. Αἱ μὲν ἀκολουθίαι ἁγίων ὁλόκληροι εἰς τὸ περιοδικόν μας καθὼς καὶ μικραὶ Ἐκκλησιαστικαὶ διατριβαί, ἡ δὲ λοιπὴ ὕλη, ἡ δυναμένη νὰ τυπωθῇ εἰς βιβλιάριον, ἀναλαμβάνομεν τὴν ἐκτύπωσιν αὐτοῦ μὲ μικρὰν τιμήν. Εἰς τοὺς οἰκονομικῶς ἀδυνάτους, παρέχομεν εὐκολίαν πληρωμῆς.

**Ἡ Διεύθυνσις**

---

Οἱ ἀποστείλαντες ἐσχάτως τὰς συνδρομάς των.

**α'. Ἔτος**

Ι. Μονὴ Ἁγ. Γερασίμου Κεφαλληνία
Ι. » Λογγοβάρδας Πάρος
Ἀρχιμ. Δωρόθεος Βασιλείου Τύρναβος
Ἱερεὺς Νικ. Κουρτελέσης Κέρκυρα
Ἀρχιμ. Σίλβεστρος Ἱεροσόλυμα

**β.' Ἔτος**

Σεβ. Μητροπολίτης Βασίλειος Σιδηρόκαστρον
Ἀρχιμ. Νίκανδρος Πινάτσης Νέα-Κίος
Ἱερομ. Γερμανὸς Ἀνδρικόπουλος Δερβένι-Κορίνθου (ἑξάμηνον)
Ἱερεὺς Χρῆστος Σαλάτας Ζεμενὸν-Κορινθίας
Ι. Μονὴ Ἁγ. Τριάδος διὰ τὸ 1938 Καλαμπάκα

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΙΜΟΚΑΤΑΛΟΓΟΣ ΒΙΒΛΙΩΝ

Εὑρισκομένων παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Ν. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλομένων ἐλευθέρων ταχυδρομικῶν τελῶν.

## "ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,

ΕΤΟΣ Α.'

| | | |
|---|---|---|
| Ὑπάρχουν μόνον 15 τόμοι συμπεπληρωμένοι πανόδετοι | δραχ. | 250 |
| Ἀπὸ τὸ τεῦχος τοῦ Ν)βρίου-Αὐγούστου τόμοι 12 ἄδετοι | » | 150 |
| Ἀπὸ τὸ τεῦχος τοῦ Δ)βρίου-Αὐγούστου τόμοι 6 ἄδετοι | » | 130 |
| Ἀπὸ τὸ τεῦχος τοῦ Ἰαν)ρίου-Αὐγούστου τόμοι 19 ἄδετοι | » | 120 |
| Ἀπὸ τὸ τεῦχος τοῦ Φ)ρίου-Αὐγούστου τόμοι 7 ἄδετοι | » | 1 0 |
| Μάρτιος. **Κανόνες Χρυσοστόμου** | » | 10 |
| Ἀπρίλιος. **Ἀκολουθία Ἁγ. Λέοντος καὶ Ζωοδόχου Πηγῆς** | » | 1 |
| Μάϊος. **Ἀκολουθία Ἁγ Βενιαμὶν τοῦ Πέρσου** | » | 10 |
| Ἰούνιος. **Κανόνες Ἰω. Προδρόμου** | » | 10 |
| Ἰούλιος. **Ἀκολουθία Συμεὼν τοῦ Θεοδόχου** | » | 10 |
| Αὔγουστος. **Ἀκολουθία Ἁγ. Παρασκευῆς** | » | 10 |
| **Θέατρον Πολιτικὸν** ὑπὸ Ν. Μαυροκορδάτου σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον | Δραχ. | 75 |
| πανόδετον | » | 100 |
| δερμάτινον | » | 125 |

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

| | | |
|---|---|---|
| **Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα | » | 15 |
| **Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον | » | 50 |
| πανόδετον | » | 70 |
| **Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ ἄδετον | » | 40 |
| πανόδετον | » | 60 |
| **Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου Ἀρχιμανδρίτου | » | 15 |
| **Ἀκολουθία τοῦ Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος | » | 10 |
| **Ἱστορικὴ μελέτη τῆς Ἱ. Μονῆς Ἁγ. Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ | » | 10 |
| **Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησιαστικοὺς ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια | » | 50 |
| **Ἑρμηνεία τῶν 14 ἐπιστολῶν** καὶ τῶν 7 καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον | » | 250 |
| Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα | » | 400 |
| **Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ Ἑορτοδρομίου τοῦ αὐτοῦ τόμοι 3** | » | 150 |
| Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα | » | 300 |
| **Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ,** Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον | » | 28 |
| **Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ στεφάνου Παπαδημητρίου | » | 25 |
| **Ἡ Ζωὴ τῆς ψυχῆς τοῦ αὐτοῦ** (ἄρτι ἐκδοθὲν) | » | 12 |
| **Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ,** Ι. Βουνιάνου | » | 25 |
| **Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** | » | 20 |
| **Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ:** Τὸ περίφημον δραματικὸν ἔργον τῆς γερμανίδος συγγραφέως Καρλόττας Pfeiffer, μεταφρασμένον μὲ πολλὴν εὐσυνειδησίαν. Βιβλίον ἐξόχως διδακτικὸν καὶ ἀριστούργημα ἀπὸ λογοτεχνικῆς ἀπόψεως | » | 15 |
| δεδεμένον | » | 25 |
| **Μαργαρῖται Χρυσοστόμου** | » | 60 |
| πανόδετον | » | 80 |
| δερμάτινον | » | 105 |
| **Ἀποστολικὴ Σαγήνη** ἄδετον | » | 65 |
| πανόδετον | » | 95 |
| δερμάτινον | » | 120 |
| Ἀκολουθία τῆς Θείας Μεταλήψεως | » | 3 |

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία.

---

ΣΗΜ. Δεχόμεθα παντὸς εἴδους θρησκευτικὰ βιβλία πρὸς πώλησιν.

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΤΟΣ Β.' ΑΡΙΘ. 18
ΙΔΡΥΤΗΣ: ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ-ΙΑΤΡΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
# ΕΙΡΗΝΗΣ

ΠΟΙΗΜΑ ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΛΑΥΡΙΩΤΟΥ

Ἀντιγραφεῖσα ἐκ τοῦ Κώδικος ω. 111 τῆς ἐν τῷ ἁγίῳ Ὄρει τοῦ Ἄθω ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας.

ΥΠΟ
ΣΠΥΡΙΔΩΝΟΣ (ΑΘΑΝΑΣΙΟΥ) ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΦΕΒΡΟΥΑΡΙΟΣ 1938

1938
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἡ Α. Θ. Παναγιότης ὁ Οἰκουμενικὸς Πατριάρχης κ. κ. Βενιαμίν, ἡ Ἀνωτάτη Ἐκκλησιαστικὴ Ἀρχή, τιμῶν καὶ εὐλογῶν τὸ ἔργον τοῦ περιοδικοῦ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης», ἀπέστειλε πρὸς τὸν Διευθυντὴν αὐτῆς τὴν κατωτέρω ἐπιστολὴν Αὐτοῦ:

Ἐντιμότατε κύριε Σωτήριε Ν. Σχοινᾶ, τέκνον ἐν Κυρίῳ ἀγαπητὸν τῆς ἡμῶν Μετριότητος, χάρις εἴη τῇ ὑμετέρᾳ Ἐντιμότητι καὶ εἰρήνη παρὰ Θεοῦ,

Ἀσμένως ἐλάβομεν τὰ ἀποσταλέντα ἡμῖν φυλλάδια τῆς ὑπὸ τῆς ὑμετέρας Ἐντιμότητος ἐκδιδομένης «Ἁγιορειτικῆς Βιβλιοθήκης».

Θερμῶς ἐπὶ τῇ πρόφρονι τούτων ἀποστολῇ εὐχαριστοῦντες, αἰτούμεθα αὐτῇ τὰ κράτιστα παρὰ Θεοῦ, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς ὑμετέρας Ἐντιμότητος.

αϡλη΄. Φεβρουαρίου ιη΄.

ὁ Κων)πόλεως
ΒΕΝΙΑΜΙΝ Διάπυρος πρὸς Θεὸν εὐχέτης

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΜΗΝΙ ΜΑΪΩ Ε΄

# Μνήμη τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πολυάθλου Εἰρήνης.

**ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι**

Εἰς τὸ Κύριε Ἐκέκραξα ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ τρία στιχηρὰ τοῦ μηναίου.

Πορφύραν ἐξ αἵματος λαμπρὰν (δίς)
Πυρὸς καταφλέγοντος ὁρμὴν
Ἐθέλχθης τῷ ἔρωτι Χριστοῦ

**Δόξα. Ἦχος β΄.**

Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν Εἰρήνη ἡ καλλιπάρθενος μάρτυς, τὴν λαμπάδα ἄσβεστον τηρήσασα· ἀκούσωμεν τῆς Παρθένου ἐγκώμιον, ὢ παρθενία ναὸς Θεοῦ· ὢ παρθενία ἁγίων δόξα, ὢ παρθενία ἀγγέλων ὁμότιμε.

**Καὶ νῦν.** Τῆς ἑορτῆς

**Εἰς τὸν Στίχον**

**Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ**

Οἶκος ὁ τῶν πιστῶν, ἐν τῷ τεμένει ταύτης, τῶν ἀθλητῶν τὸ κλέος, τιμήσωμεν ἀξίως, Εἰρήνην τὴν πολύαθλον.

**Στίχ. ὑπομένων ὑπέμεινα τὸν Κύριον**

Ἤθλησας ἀνδρικῶς, δρόμον τοῦ μαρτυρίου, ὢ Εἰρήνη διό σε, Χριστῷ καὶ συναγάλλῃ, ἐνθέως τῷ νυμφίῳ σου.

**Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου**

Μέμνησο τῶν πιστῶς, τιμώντων σου τὴν μνήμην, καὶ δὸς ἡμῖν σὴν χάριν, καὶ ἄφεσιν πταισμάτων, Εἰρήνη μεγαλώνυμε.

**Δόξα. Ἦχος α΄.**

Μετὰ τῶν ἄνω ταγμάτων, καὶ τοῖς χοροῖς τῶν μαρτύρων, συνηριθμήθης ἔνδοξε, Εἰρήνη πολύαθλε, κόσμον καὶ βασιλείαν λιποῦσα, καὶ τὸν Χριστὸν ποθήσασα ἀδιστάκτῳ τῇ γνώμῃ ἐν τοῖς φρικτοῖς κολαστηρίοις· πρέσβευε οὖν σωθῆναι τὰς ψυχὰς τῶν σὲ τιμώντων ἐκ πόθου, μαρτύρων ἀγαλλίαμα.

**Καὶ νῦν τῆς ἑορτῆς**

**ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**

Τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄. καὶ ψάλλομεν τῆς τυχούσης ἑορτῆς δύο καὶ τῆς ἁγίας ἕξ.

Στιχηρὰ τῆς Ἁγίας. **Ἦχος πλ. β΄.**

**Ὅλην ἀποθέμενοι**

Ὅλη ἐκ νεότητος ἀνατεθεῖσα Κυρίῳ, κόσμου τὴν προσπάθειαν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀπηρνήσω πάνσοφε καὶ ὡς σκύβαλα, τοῦ πατρὸς ἅπαντα, ἀποσεισαμένη, τῷ Σωτῆρι ἠκολούθησας, καὶ τοῦτον στέργουσα, διὰ πολυπλόκων κολάσεων, καὶ πόνων τῶν τοῦ σώματος, πρὸς αὐτὸν ἐνδόξως ἀνέδραμες, ὅθεν ἐν ὑψίστοις, τοῖς ἄνω συγχορεύεις λειτουργοῖς, μετὰ μαρτύρων πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰρήνη ἡ πάνσεμνος, τῶν ἀθλοφόρων τὸ κλέος, τῶν πιστῶν διάσωσμα, τῷ Θεῷ προσήγαγε τοὺς παράφρονας, φωτισμῷ γνώσεως, ἀγνωσίας σκότος, ἀπ' αὐτῶν διασκεδάσασα, καὶ τοὺς πιστεύοντας ἐκλυτρωσαμένη κολάσεως, δαιμόνων ἐπηρείας τε, καὶ ἁμαρτιῶν τούτους ἅπαντας, ταύτης σὺν τὴν μνήμην, τὴν θείαν καὶ φωσφόρον καὶ σεπτήν, ἐπιτελοῦντες φιλέορτοι, Χριστὸν ἀνυμνήσωμεν.

Εἰρήνην τὴν ἔνδοξον, τὴν ἐν κοιλάδι τοῦ βίου, ὡς ῥόδον ἀνθήσασαν, τῶν ᾀσμάτων ἄνθεσι κατεστέψωμεν, οἱ πιστοὶ σήμερον, ἐν ἀγαλλιάσει, ταῖς δομαῖς καὶ γὰρ ἐφαίδρυνεν, ὥνπερ διήνυσεν, ἄθλων ἀνδρικῶν τοὺς θεόφρονας, στιγμάτων ταῖς λαμπρότησι, κτίσιν φρυκτωροῦσα τὴν σύμπασαν, ταῖς δὲ τῶν θαυμάτων, ἀκτῖσι καταλάμπουσα φαιδρῶς, τοὺς τὴν σεπτὴν αὐτῆς ἄθλησιν πίστει ἑορτάζοντας.

Ἕτερα. Ἦχος δ'.

Ἔδωκας σημείωσιν

Κόσμου τὴν προσπάθειαν, καὶ γεννητόρων ἀσέβειαν, ἐβδελύξω πανεύφημε, πόνους δὲ καὶ στίγματα διὰ μαρτυρίου, μάρτυς ἑλομένη, δι' ὃν ἐπόθησας Χριστόν, τοὺς ἀνομοῦντας πάντας ἐβάπτισας, καὶ τούτους πρὸς οὐράνιον διεβιβάσω, ἀκρόπολιν, ἧς τυχεῖν ἡμᾶς πρέσβευε, ὦ Εἰρήνη πολύαθλε.

Ὥσπερ ἄλλου πάσχοντος, ἐνεκαρτέρεις ταῖς μάστιξιν, ἀθλητῶν ἐγκαλλώπισμα, Εἰρήνη πανένδοξε, τῶν πιστῶν γὰρ δόξα, ἐδόθης θεόθεν, ὅθεν φωτίζεις πᾶσαν γῆν καὶ διασώζεις τοὺς σοὶ προστρέχοντας, κινδύνων τε καὶ θλίψεων δαιμονικαῖς ἐπηρείαις τε, τῶν παρθένων ἀγλάϊσμα, δυσωποῦσα τὸν Κύριον.

Νόμον τὸν σωτήριον, ἐν σῇ καρδίᾳ τυπώσασα, βασιλέων ἐνώπιον, τυράννων ὠμότητος, τὸν Χριστὸν πανσόφως, ἐκήρυξας πᾶσιν, ἡ τῶν μαρτύρων καλλονή, Θεὸν τῶν πάντων οὐδόλως πτήξασα, τὰς τούτων τυραννίας τε, καὶ τὰς κολάσεις πανένδοξε, ὑπὲρ πάντων οὖν πρέσβευε, ὦ Εἰρήνη θεόσοφε.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον συγκαλεῖται ἡμᾶς τῆς ἀθληφόρου ἡ σεβάσμιος πανήγυρις, τράπεζαν προτιθεῖσαν ἡμῖν, τὰ σεπτὰ αὐτῆς καὶ ὑπὲρ φύσιν ἀγωνίσματα· δεῦτε οὖν οἱ πάντες τρυφήσωμεν δαψιλῶς, καὶ κορεσθῶμεν ἐνθέως, τῶν θαυμάτων τὸ μέγεθος, πᾶσι γὰρ πρόκειται μυστικῶς, τοῖς μετὰ πόθου αὐτὴν ἑορτάζουσι, καὶ τῷ Χριστῷ ἀδιαλείπτως ἐκβοῶσι· παράσχου ἀγαθὲ πρεσβείαις Εἰρήνης τῆς ἐνδόξου, ἁμαρτιῶν τὴν ἄφεσιν καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

## Καὶ νῦν τῆς ἑορτῆς

Εἴσοδος· τὸ φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα

Κεφ. ΜΓ'. 9. Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν;



Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. Γ' 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Υἱὲ ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντα ὑγιῶς, ἄνοιγε σὸν στόμα καὶ κρῖνε δικαίως, διάκρινε δὲ πένητα καὶ ἀσθενῆ. (Κεφ. ΛΑ' 10.) Γυναῖκα ἀνδρείαν τὶς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθὰ πάντα τὸν βίον· μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις, θεωρήσασα γεώργιον ἐπρίατο· ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφῦν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο δὲ ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζῃ τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς ὅταν που χρονίζῃ. Πάντες δὲ οἱ παρ' αὐτῇ ἐνδεδυμένοι εἰσί. Διττὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο, περιζώματα τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ ηὐφράνθη ἐν ἡμέραις ἐσχάταις, στόμα αὐτῆς διήνοιξε προσε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

χόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ αὐτῆς ἀνοίγει σοφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησαν τὰ τέκνα αὐτῆς καὶ ἐπλούτισαν καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν· σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ἦχος α΄.**

Ὡς ἐν πέτρᾳ στερρᾷ τῆς ὁμολογίας Χριστοῦ προσερεισθεῖσα Εἰρήνη πανεύφημε, τὸν παλαμναῖον ἐχθρὸν εἰς χάος ἐβύθισας, καὶ τὸ τῆς νίκης στέφος ἐπαξίως ἀπείληφας.

**Ὁ αὐτὸς**

Ἡ κλεινὴ καὶ λαμπρὰ Εἰρήνη, σήμερον ὡς ἔαρ ἐπέφανεν ἡμῖν· δεῦτε οὖν φιλέορτοι, πιστῶς πανηγυρίσωμεν, καὶ μυστικῶς εὐφρανθῶμεν, σὺν ταῖς ἀσωμάτοις δυνάμεσι, ἐπίγειον γὰρ καὶ οὐράνιον αὕτη ἡ πολύαθλος πανήγυριν ἤγειρε, καὶ συνεορτάζειν ἡμῖν, τοῖς δι᾿ αὐτὴν ἠθροισμένοις ὡς Χριστοῦ νύμφη παραγέγονε· διόπερ αὐτὴν ἀξίως τιμήσωμεν, ἀπαύστως πρεσβεύουσαν τῷ τῶν ὅλων Θεῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

**Ὁ αὐτὸς**

Ἀγάλλεται σήμερον ἐν τῇ θείᾳ μνήμῃ σου, Εἰρήνη πανένδοξε, τὰ ὑπερκόσμια τάγματα, ἀπεδέξαντό σε καὶ γάρ, οἱ μὲν ἄγγελοι, τὴν ἐν ἁγνείᾳ ἰσάγγελον· οἱ μάρτυρες δὲ πάλιν τὴν ἐν συνάθλοις ἀπαράμιλλον, καὶ οἱ τοῦ Λόγου ἀπόστολοι τὴν ἰσαπόστολον καὶ χριστοκήρυκα· ἡμεῖς δὲ πλουτοῦντες, τῶν ἰαμάτων σε πηγήν, γηθοσύνως βοῶμεν· πρέσβευε Εἰρήνη πανεύφημε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ὁ αὐτὸς**

Ναὸς ἐγένου τοῦ Θεοῦ, Εἰρήνη πανέκλαμπρε, τῇ ἁγνείᾳ καὶ σωφροσύνῃ· τοῦ γὰρ καλοῦ διδασκάλου καὶ γέροντος, ταῖς καλαῖς διδασκαλίαις ἐκόσμησας σεαυτήν, τῷ ἀθανάτῳ κόσμῳ, καὶ τὸ χαῦνον τοῦ θήλεως ἀρρενώσασα, τῇ πανοπλίᾳ τοῦ Πνεύματος, κατεπάλαισας ἀνδρείως ἐν σταδίῳ, καὶ ἐνίκησας τὸν ἀλάστορα καὶ τὰς τούτου μηχανουργίας ποσί σου ὡραίοις· ὧν καὶ ἡμᾶς διαφύλαξον τοὺς εἰς σὲ προστρέχοντας, ἀτρώτους ἀθληφόρε πολύαθλε.

**Ὁ αὐτὸς**

Τὴν ἐν πόνοις τοῦ μαρτυρίου ἀπαράμιλλον, τὴν ὑπὲρ τῆς αἰωνίου ζωῆς ἀγωνισαμένην, ἅπαντες ὑμνήσωμεν λέγοντες. Χαίροις ἡ στερρὰ τῆς πίστεως πέτρα. Χαίροις ἡ νύμφη τοῦ Χριστοῦ, ἡ κηρύξασα αὐτὸν Θεὸν ἀληθῆ, καὶ κτίστην τῶν ἁπάντων· Χαίροις χριστώνυμε Εἰρήνη ἡ ὑπὸ θείου Ἀγγέλου τὸ ὄνομα λαβοῦσα. Χαίροις τῶν θαυμάτων ἀκένωτος πηγή. Χαίροις τῶν εἰς σὲ προστρεχόντων λιμὴν σωτήριος· Χαίροις τῶν μαρτύρων ἀγλάϊσμα καὶ τῆς οἰκουμένης φαιδρὸν ἀγαλλίαμα.

**Ἦχος β΄.**

Ἱερὸν μνημόσυνον τῆς καλλιπαρθένου καὶ μάρτυρος Εἰρήνης, ἡ οἰκουμένη σήμερον λαμπρῶς πανηγυρίζει· καὶ πρὸς αὐτὴν ἐκβοᾷ· ὡς ἀπείληφας τὸ βραβεῖον τῆς θαυμαστῆς καρτερίας σου, ὑπεράνω πάσης κολάσεως



γεγενημένη· οὕτω καὶ ὑπὲρ ἡμῶν πρέσβευε Χριστῷ, τῶν τὴν σὴν ἄθλησιν ἐν πίστει ἀνυμνούντων, τῶν αἰωνίων ἀγαθῶν ἀξιωθῆναι.

**Ἦχος γ΄.**

Νεύσει θείᾳ δεῦτε, τὰ πέρατα τῆς γῆς ἅπαντα, τὴν χριστώνυμον καὶ χριστοκήρυκα Εἰρήνην, ὑμνῳδίαις εὐφημήσωμεν· αὕτη γὰρ τὰ ὑπὲρ φύσιν ἀγωνίσματα τοῦ μαρτυρίου, ἀνδρείως ὑπομείνασα προσήχθη τῷ Χριστῷ, πεποικιλμένη ταῖς μάστιξι, ταύτῃ οὖν ἐκβοήσωμεν, χαίροις Εἰρήνη μεγαλώνυμε, ἡ νύμφη τοῦ Παντάνακτος καὶ ὑπὲρ ἡμῶν, τῶν τὴν σὴν παναγίαν ἄθλησιν, ἐν πίστει ἐκτελούντων, πρέσβευε Χριστῷ τοῦ αἰωνίου πυρὸς ῥυσθῆναι.

**Δόξα. Ἦχος δ΄.**

Ὅτε τὴν αἰώνιον καλλιπάρθενε κόρη, τῆς ῥευστῆς καὶ προσκαίρου βασιλείας προέκρινας μακαριότητα, τότε πάντα ὡς σκύβαλα τὰ τοῦ κόσμου ἐλογίσω, καὶ τοῖς τυράννοις ἐβόας· οὐδὲν με χωρίσει τῆς ἀγάπης τοῦ Χριστοῦ, οὐ ξίφος οὐ πῦρ τὸ ὁμόδουλον, οὐδὲ θάνατος αὐτός· διὸ τέμνετε, καίετε, πυρὶ παραδότε με, καὶ ποικίλαις κολάσεσιν· ἕνα μόνον σέβω, ἕνα μόνον τιμῶ, Θεὸν ἀληθῆ ἐν τριάδι προσώπων ὑμνούμενον, τὸν ὑποστήσαντα ἐξ οὐκ ὄντων τὰ ὄντα. Αὐτῷ οὖν πρέσβευε ὑπὲρ οὗ καὶ τὸ αἷμα ἐξέχεας, ὡς ἔχουσα παρρησίαν παμμακάριστε Εἰρήνη, εἰρηνεῦσαι τὸν κόσμον καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν τῆς ἑορτῆς ὅμοιον**

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Στιχηρὰ Προσόμοια

**Ἦχος β΄.**

**Ὅτε ἐκ τοῦ ξύλου σε**

Σὲ τὴν ὡς καλὴν περιστεράν, τὴν εἰς τὰ οὐράνια ὕψη κατασκηνώσασαν, σήμερον οἱ πάντες σε καθικετεύομεν, ὦ Εἰρήνη πανένδοξε, μαρτύρων τὸ κλέος, σκέπε καὶ διάσωζε, νόσων καὶ θλίψεων, λοίμης πανολέθρου παντοίας, ἅπαντας ψυχήν τε καὶ σῶμα, τοὺς τὸ σὸν μνημόσυνον γεραίροντας.

**Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.**

Κόσμου τὰ φθειρόμενα σαφῶς, ἄρρενι θυμῷ παριδοῦσα, καταπεφρόνηκας, μόνῳ δὲ ἐζήλωσας, μόνον ἐπόθησας, ἐφετὸν τὸ ἀκρότατον, Χριστὸν σὸν νυμφίον, ὅνπερ μέχρις αἵματος ἔστερξες πάνσεμνε, τοῦτον οὖν Εἰρήνη δυσώπει, τῶν πειρατηρίων ῥυσθῆναι, πάντας τοὺς ὑμνοῦντάς σε πανόλβιε.

**Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.**

Ῥώμην καλλονὴν τὴν ἐν Χριστῷ, ἔνδοξε Εἰρήνη ποθοῦσα, πλοῦτον τὸν πρόσκαιρον, καὶ τοὺς σοὺς γεννήτορας πάντα ὡς μάταια, ἀπεσείσω πανίερε· τὸν σὸν δὲ νυμφίον, στέργουσα ὑπέμεινας τὰς ἀφορήτους πληγάς, ἃς δυσωπηθεῖσα νῦν μάρτυς, πρέσβευε ἡμᾶς λυτρωθῆναι, πάσης ἐπηρείας τοῦ ἀλάστορος.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τὴν νοητὴν χελιδόνα τὴν εὔλαλον, καὶ ὡραιοτάτην τρυγόνα τὴν πανεύφημον, νύμφην τοῦ βασιλέως Χριστοῦ, Εἰρήνην τὴν ἀοίδιμον πάντες εὐφημήσωμεν. Αὕτη γὰρ ταῖς χρυσαῖς πετασθεῖσα πτέρυξι τοῦ μαρτυρίου αὐτῆς, πρὸς οὐράνιον ὃν ἐπόθησε νυμφίον κατέπαυσε· καὶ νῦν ἀπαύστως κελαδοῦσα τοὺς ὕμνους αἰτεῖται τὴν εἰρήνην τῷ κόσμῳ, καὶ ἡμῖν τοῖς ἐκ πόθου τελοῦσι τὴν μνήμην αὐτῆς, σωτηρίαν ψυχικήν, καὶ τὸ μέγα ἔλεος.

**Καὶ νῦν τῆς ἑορτῆς**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπολυτίκιον. Ἦχος α'.

**Τῆς ἐρήμου πολίτης**

Τίς μὴ θαυμάσει ἀξίως τοὺς σοὺς ἀγῶνας πανεύφημε, καὶ τοὺς ὑπὲρ φύσιν σου ἄθλους καὶ τὰ γενναῖα παλαίσματα· σπεύδουσα σὺν τάχει τὸν μαρτυρικὸν ἀναδύσασθαι στέφανον, καὶ ἐν οὐρανοῖς συγχορεύεις, διὰ παντὸς τῷ νυμφίῳ καὶ Κτίστῃ σου· οὕτω καὶ ἡμᾶς τοὺς σοὺς οἰκέτας, μετὰ πίστεως προσερχομένους, παντοίας βλάβης περίσωζε· διατηροῦσα ἐν εἰρήνῃ ἀκυμάντῳ, παρθένων κλέος Εἰρήνη ἔνδοξε.

Δόξα. Ἦχος β'.

**Πρὸς τὸ Ἀπόστολε Χριστῷ τῷ Θεῷ**

Ἰσαπόστολε Χριστῷ τῷ Θεῷ κεχαριτωμένη, ἐπιτάχυνον ῥῦσαι λαὸν τοῦ ἀλάστορος, δέχεταί σε προσπίπτουσαν, ὁ σὲ νύμφην αὐτῷ ἐκλεξάμενος, ὃν ἱκέτευε μεγαλομάρτυς Εἰρήνη, καὶ ἐπίμονον νέφος ἁμαρτιῶν διασκεδάσαι, αἰτουμένη ἡμῖν εἰρήνην καὶ μέγα ἔλεος.

**Καὶ νῦν τῆς ἑορτῆς**

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα.

Ἦχος α'.

**Τὸν τάφον σου Σωτὴρ**

Πατρὸς τὸ ἀσεβές, ἀπηρνήσω Εἰρήνη, τυράννων τὴν ὀφρύν, κατεπάτησας πᾶσαν, ἀνδρείως ἀριστεύσασα ἐν Χριστῷ τῷ Κυρίῳ σου, διδασκάλου τε, τοῦ σοῦ τοῖς λόγοις πεισθεῖσα, τὰ δ' οὐράνια κατασκηνοῦσα νῦν κάλλη, ἡμῶν πάντων μνήσθητι.

**Δόξα. Κατεπλάγη Ἰωσὴφ**

Κατεπλάγη τῶν βροτῶν καὶ τῶν ἀγγέλων ἡ πληθύς, τὰ παλαίσματα τὰ σά, πῶς ἐν σταδίῳ τὸν ἐχθρόν, καταβαλοῦσα τὸ τρόπαιον ἀνεστήσω· οὐ ξίφος γὰρ οὐ πῦρ, οὐδὲ θάνατος, τὸ σὸν ἀρρενωπὸν κατεμάλαξαν, οὐχ ἡ τερπνότης ξύμπασα τοῦ βίου, σοῦ τὸ στερρὸν ἐξεθήλυνεν, ἀλλ' ἀνεβόας, Χριστῷ λατρεύω, Χριστόν μου σέβω, οἰκουμένης τὸν Κύριον.

**Καὶ νῦν τῆς ἑορτῆς**

Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα

Ἦχος α'.

**Τοῦ λίθου σφραγισθέντος**

Τῶν μαρτύρων ἀκρότης, τῶν παρθένων τὸ κλέος, θαυματουργιῶν ἐπιδείξει, τὸν κόσμον καταυγάζεις, ἀνίσχεις γὰρ ὡς ἥλιος τῇ γῇ, τὰ πρόσωπα λαμπρύνουσα ἡμῶν, θεραπεύεις τε τὰς νόσους, τῆς ψυχῆς ὁμοῦ καὶ τοῦ σώματος· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι τοῖς πιστοῖς ἐν σοὶ ἰάματα.

Δόξα

**Ἐπεφάνης σήμερον**

Ἐπεφάνη σήμερον, ἡμῖν ἡ θεία, ἑορτὴ τῆς μάρτυρος, καταλαμπρύνουσα ἡμῶν, σὺν ταῖς ψυχαῖς καὶ τὰ σώματα, ἀνευφημούντων αὐτὴν μετὰ πίστεως.

**Καὶ νῦν τῆς ἑορτῆς**

Μετὰ τὸν πολυέλεον. Κάθισμα

Ἦχος γ'.

**Θείας πίστεως**

Πόθῳ ζέοντι, τῷ τῆς ψυχῆς σου, τὸν νυμφίον σου μάρτυς Εἰρήνη, ἀγαπήσασα κατὰ τῆς πλάνης ἐχώρησας, καὶ ἀνεπλέξω νίκης διάδημα, παρὰ Χριστοῦ διττῶς ἐστεφάνωσαι· αὐτὸν ἱκέτευε μεγαλομάρτυς πολύαθλε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.



**Δόξα. Τὴν σοφίαν καὶ λόγον**

Τῶν μαρτύρων ἐφάνης κλέος λαμπρόν, τῶν τυράννων τὰ θράση τῇ προσευχῇ, τελείως ἀπήμβλυνας, ὦ Εἰρήνη πολύαθλε, τῶν θαυμάτων βρύσις ἐδείχθης γὰρ ἔνδοξε, τὰ τῆς πλάνης ἅρματα εἰς χάος βυθίσασα· ὅθεν συνελθόντες, κατὰ χρέος τιμῶμεν, τὴν πάνσεπτον μνήμην σου, τῶν θαυμάτων τὸ πέλαγος Χριστομάρτυς πανένδοξε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Καὶ νῦν τῆς ἑορτῆς**

Οἱ ἀναβαθμοί. Τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. ἤχου.

**Τὸ Προκείμενον**

**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ**

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Τὸ πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον τῆς ἁγίας Βαρβάρας, τὸ τῆς λειτουργίας.

**Ὁ Ν'. Δόξα, ταῖς τῆς πολυάθλου Εἰρήνης, πρεσβείαις ἐλεῆμον.**

**Καὶ νῦν ταῖς τῆς Θεοτόκου**

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον. Τὸ πρῶτον δοξαστικὸν τοῦ ἑσπερινοῦ. Σήμερον συγκαλεῖται ἡμᾶς....

ΟΙ ΚΑΝΟΝΕΣ

Πρῶτος ὁ τῆς τυχούσης ἑορτῆς εἰς ϛ'. καὶ τῆς ἁγίας οἱ δύο εἰς η'.

**Ὁ κανὼν τῆς ἁγίας**, οὗ ἡ ἀκροστιχίς

**Σαῖς με προσευχαῖς μάρτυς Εἰρήνη σκέπε**

Ὠδὴ α'. Ἦχος δ'.

**Ἄσομαί σοι Κύριε**

Στέφανος ὑπάρχων τῆς ἀθληφόρου, ταύτης Χριστὲ ταῖς πρεσβείαις, εἰρήνην τῷ κόσμῳ, καὶ δόξαν τὴν ἀμάραντον, τοῖς ὑμνοῦσί σε δώρησαι.

Αἴγλῃ διαλάμπουσα παρθενίας, καὶ κοσμουμένη τῷ κάλλει, τῆς σῆς μαρτυρίας, Εἰρήνη μεγαλώνυμε, σῷ νυμφίῳ παρίστασαι.

Ἴλεων γενέσθαι ταῖς Ἐκκλησίαις, τὸν σὸν δυσώπει νυμφίον, Εἰρήνη θεόφρον, καὶ πταισμάτων τὴν ἄφεσιν, παρέχειν τοῖς ὑμνοῦσί σε.

Θεοτοκίον

Σάρκα γεγονότα τὸν Θεὸν Λόγον, καὶ πεφηνότα καθ' ἡμᾶς, ἁγία Παρθένε, ἀφράστως ἀπεκύησας, ὑπὲρ λόγον καὶ ἔννοιαν.

Ἕτερος κανὼν τῆς ἁγίας

**Ἦχος α'. Ὠδὴν ἐπινίκιον**

Εἰρήνης ὢν ἄβυσσος καὶ τῆς σοφίας, Εἰρήνην τὴν ἔνδοξον καὶ σοφήν σου μάρτυρα, προθυμουμένῳ μοι, φῶς νῦν κατάπεμψον Χριστέ, ἀνευφημῆσαι πιστῶς.

Ῥημάτων ὡς ἤκουσας τοῦ διδασκάλου, Εἰρήνη φερώνυμε, καὶ πιστοῦ σου φύλακος, πάντων προκρίνας ἀκολουθήσασα Χριστῷ διὰ τὴν ὄντως ζωήν.

Νηδύϊ Θεόπαιδος τὸν σαρκωθέντα, Θεόν τε καὶ ἄνθρωπον, καὶ τοῦ κόσμου Κύριον, καθωμολόγησας Εἰρήνη πάνσεμνε, διὸ αὐτός σε ἐδόξασε.

Θεοτοκίον

Ναὸς τοῦ παντάνακτος γεγενημένη, ναὸν θείου Πνεύματος δυσωπῶ ἀπόδειξον, τὸν προσφυγόντα σοι, ἁμαρτιῶν καὶ γὰρ σειραῖς, τὸν νοῦν συσφίγγομαι.

**Καταβασίαι τῆς ἑορτῆς**

Ὠδὴ γ'.

**Τόξον δυνατῶν ἠσθένησε**

Μύρου κενωθέντος αἴσθησιν, τοῦ τὴν οἰκουμένην εὐωδιάσαντος

Athos.Library Αγιορειτική Βιβλιοθήκη

χάριτι, δεξαμένη ἀνεπτερώθης, πρὸς τὸν τούτου πόθον ἔνδοξε.

Ἔσχες τὸν Θεὸν συλλήπτορα, ἐν τοῖς σοῖς ἀγῶσι, καὶ συνασπίζοντα πάνσοφε· διὰ τοῦτο στεφανωθεῖσα, τοὺς τυράννους κατεπάλαισας.

Πύργος ἀρετῶν ἀκλόνητος, καὶ θεοσεβείας κατοικητήριον γέγονας, καὶ ἀνδρείας καὶ σωφροσύνης, ἐνδιαίτημα πανεύφημε.

Θεοτοκίον

Ῥέων μέχρι σοῦ ὁ θάνατος, ἔστη προσβαλών, τῷ ἐκ σοῦ τεχθέντι Πανάμωμε· διὰ τοῦτο ἀθανασίας, ἀπαρχήν σε ὀνομάζομεν.

Ἄλλος

**Στερεωθήτω ἡ καρδία μου**

Τὴν τῶν τυράννων πᾶσαν κόλασιν, πτήξασα μηδόλως πανένδοξε, μεγαλοφώνως τὸν Χριστόν, ἀνεκήρυξας ἅπασιν, ἐν σταδίῳ παρανόμων, καὶ αὐτῷ ἠκολούθησας.

Μάρτυς θεία ἀπεδείχθης σύ, τοῦ Χριστοῦ Εἰρήνη πανόλβιε, οὐδὲ τὸ πῦρ οὐδ' αἰκισμοί, τῶν τυράννων κραυγάζουσα, οὐ θωπεῖαι πείθουσί με, ἀποστῆναι τοῦ κτίστου μου.

Τύπος ὤφθης καλλιπάρθενε, τοῖς πρὸς τὸν Χριστὸν τοῖς πιστεύουσι καὶ διεναθλοῦσα ἀνδρικῶς, ὦ Εἰρήνη καὶ κράζουσα· ὦ Χριστὲ Θεὲ τῶν ὅλων, ἐν σοί με στερέωσον.

Θεοτοκίον

Ῥανίδα μίαν τοῦ ἐλέους σου, ἔνσταξον ἁγνὴ Κόρη Δέσποινα, τοῦ προσφυγόντος τῇ ψυχῇ, ἐν τῇ σκέπῃ σου ἄχραντε, ἐν τῇ πέτρᾳ στερεώσασα, τῆς σῆς ἀγαπήσεως.

Κάθισμα. Ἦχος α'.

**Τὸν τάφον σου Σωτὴρ**

Τῷ κάλλει σου Χριστέ, ἡ παρθένος τρωθεῖσα, παρέδραμε σπουδῇ, τὰ ὁρώμενα πάντα, καὶ πᾶσαν τὴν τοῦ σώματος, εὐμορφίαν ἐνδέδωκε, ταῖς κολάσεσι, καὶ ταῖς πικραῖς τιμωρίαις, ἀφανίζεσθαι· ἣν εἰς ὡραίους νυμφῶνας, εἰσήγαγες Δέσποτα.

Δόξα. καὶ νῦν. Τῆς ἑορτῆς

Ὠδὴ δ'.

**Τῆς σῆς ἐπὶ τῆς γῆς παρουσίας**

Ὁ τὴν εἰρήνην σοι βραβεύων εἰρηνώνυμε, δι' αὐτὸν μαχομένην σε θεώμενος, ἀνδροπρεποῦς φρονήματος, μάρτυς καὶ δυνάμεως ἔπλησε.

Συντονωτάταις προθυμίαις ὑπερβέβηκας, τὸ τοῦ θήλεος χαῦνον παμμακάριστε, καὶ σταθερῶς διήλεγξας, μάρτυς τοὺς τῇ πλάνῃ δουλεύοντας.

Ἐνθεωτάτην καρτερίαν ἐπιδέδειξαι, καὶ τυράννων τὸ θράσος καταβέβληκας, τῷ σῷ νυμφίῳ κράζουσα· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὑμνολογίαις ἀσιγήτοις καὶ δεήσεσι, τὸν Δεσπότην θεόφρον ὑμνολογήσασα, καὶ πρὸς αὐτὸν ἀνέδραμες, δόξαν δρεπομένη τὴν ἄφραστον.

Θεοτοκίον

Χαρμονικήν σοι γεγηθότες φωνὴν πάναγνε, διὰ σοῦ οἱ σωθέντες ἀνακράζομεν· Χαῖρε Παρθένε πάνσεμνε, χαῖρε Θεοτόκε πανύμνητε.

Ἄλλος

**Ἐν πνεύματι προβλέπων**

Τοὺς πόθῳ σου τελοῦντας, τὴν μνήμην τὴν σεπτήν, σκέπε καὶ διάσωζε ποικίλων πειρασμῶν, Εἰρήνη μάρτυς, τῶν παρθένων ἡ δόξα, καὶ πάντων μαρτύρων τὸ κλέος, ἐπὶ σὲ γὰρ μετὰ Θεὸν καταφεύγομεν.

Ὡς ἔλαφος διψῶσα, Εἰρήνη τοῦ Χριστοῦ, καὶ τούτου θελγομένη ὡραιότητι σεμνῇ, βασάνους κολαστηρίων μυρίων ὑπέστης, ξεσμοὺς ἐκκοπὰς μελῶν τε καὶ στερήσεις, καὶ τέλος σοι ἥδυτατον θάνατον.

Τὸ ἄφραστον σου κάλλος, ὦ Λόγε τοῦ Θεοῦ, ποθήσασα Εἰρήνη ἡ ἔνδοξος σοφῶς, διὰ μαρτυρίου ἀνῆλθεν ἐν τοῖς ὑψίστοις, ταύτης οὖν οἰκτίρμον πρεσβείαις τῆς ἁγίας, πᾶσι τὴν εἰρήνην σου δώρησαι.

Θεοτοκίον

Παρθένε Παναγία, ἀμόλυντε σκηνή, μολυνθέντα πταίσμασι καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου ῥανίσι καθαρωτάταις, καὶ δός μοι χεῖρα βοηθείας ἵνα κράζω, δόξα σοι ἁγνὴ θεοδόξαστε.

Ὠδὴ ε'.

**Τὸν φωτισμόν σου Κύριε**

Ἀνδρειωτέρῳ ἔνδοξε, φρονήματι Χριστόν, Θεὸν τῶν ὅλων, τρανῶς ὡμολόγεις, λόγῳ δὲ στερρῷ τοὺς ἀντιπάλους, ἀθληφόρε κατῄσχυνας.

Ἰχνηλατεῖν ἐπόθησας, τὸ πάθος τοῦ Χριστοῦ, καὶ τῇ μιμήσει θερμῶς ἠκολούθεις, ἀγωνιστικῶς ὑπεραθλοῦσα, τοῦ Δεσπότου πανόλβιε.

Στίφη μαρτύρων ἔνδοξε, προσήνεγκας Χριστῷ, τῇ σῇ σοφίᾳ καὶ θεολογίᾳ, τούτους ἀληθῶς μυσταγωγοῦσα, καὶ τῷ λόγῳ τῆς χάριτος.

Θεοτοκίον

Μεμυημένοι μυστήριον, συλλήψεως τῆς σῆς, καὶ τοῦ ἀφράστου καὶ θείου σου τόκου, σὲ πανευσεβῶς ὑμνολογοῦμεν, Θεοτόκε πανύμνητε.

Ἄλλος

**Τὸ φαεινὸν ἡμῖν**

Νῷ καθαρῷ τὸν σὸν ἀγαπήσασα Νυμφίον, Εἰρήνη σεμνὴ ἠκολούθησας τούτῳ, διὰ μαρτυρίου καὶ ἔκραζες Χριστός με στεφανοῖ, πάσχουσαν ὡς μόνος, τῆς εἰρήνης βασιλεύς.



Σταγόνας ὑετοῦ, τὰς σὰς κολάσεις ἡγοῦμαι μωροὶ δικασταί, ζωὴν δὲ τερπνὴν τοὺς θανάτους ἡγοῦμαι, διὸ καίετε, τέμνετε καὶ κολάζετε, Χριστὸς γάρ μου τῆς εἰρήνης βασιλεύς.

Ὡς ἐν ἐσόπτρῳ τὸν σόν, εἰρηνάρχην, ἑώρας ἐν ταῖς βασάνοις Χριστόν, οὗ καὶ τῷ πόθῳ τρωθεῖσα, τὰς κολάσεις εἰς οὐδὲν ἐλογίσω, λαμβάνουσα θείαν δρόσον αὐτοῦ.

Θεοτοκίον

Δῆγμα θανάτου πικρόν, κατέλαβέ με ἁγνὴ Μήτηρ Θεοῦ, ὀρθρίσας οὖν πρὸς σὲ τὴν εὔσπλαγχνον θερμῶς κράζω, φώτισόν με φωτὶ προσώπου τοῦ Υἱοῦ σου, ἡ μόνη ἐλπὶς τῶν πιστῶν.

Ὠδὴ ς'.

**Ἐβόησε προτυπῶν**

Ἀνώρθωσας, τῆς προμήτορος Εὔας τὴν ἔκπτωσιν, ἀθληφόρε, τοῦ ἐχθροῦ καθελοῦσα τὴν δύναμιν, καὶ καταβαλοῦσα, τὴν ἐκείνου ὀφρὺν θείᾳ χάριτι.

Ῥωμαλέον, κεκτημένη Εἰρήνη τὸ φρόνημα, τοῖς τυράννοις, ἀντετάξω ψυχῆς γενναιότητι, καὶ στεφάνῳ νίκης, πρὸς Χριστοῦ τοῦ Θεοῦ ἐστεφάνωσαι.

Τῷ αἵματι, τῆς ἀθλήσεως μάρτυς φαιδρότερον, ἀπειργάσω, τὸ τῆς φύσεως κάλλος τὸ ἄχραντον, γενικοὺς ἀγῶνας, ὑποστᾶσα στερρῶς καλλιπάρθενε.

Θεοτοκίον

Ὑπέφυνε, τὸ μυστήριον σοῦ τῆς κυήσεως, ὁ Θεόπτης, καιομένην τὴν βάτον θεώμενος, καὶ μὴ φλεγομένην, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Τὸν Προφήτην Ἰωνᾶν

Ἀκροστιχίς: Κωνσταντίνου.

Καλλονὴν τὴν ἱεράν, τῶν μαρτύρων οἱ πιστοί, εὐφημήσωμεν πιστῶς, καὶ αἰτήσωμεν αὐτήν, ἰάματα, ψυχῶν σωμάτων, ἐν τῷ τεμένει αὐτῆς.

Ὢ τρυγὼν ἡ καθαρῶς, ἀγαπήσασα Χριστόν, διαφύλαξον ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ, πολύαθλε, Εἰρήνη μάρτυς, τοὺς σὲ γεραίροντας.

Νηφαλίῳ λογισμῷ, καὶ ἀνδρείᾳ τῆς ψυχῆς ὑπομείνασα στεῤῥῶς, τῶν τυράννων τὰς πληγάς, σὺ πρέσβευε, Εἰρήνη θεία, ἐλεηθῆναι ἡμᾶς.

### Θεοτοκίον

Σωτηρίαν τῆς ἐμῆς, ἐπιγράφομαι ψυχῆς, καὶ αἰτοῦμαί σε θερμῶς, ἐλεῆσαί με Θεοῦ, γεννήτρια, μὴ οὖν παρίδῃς τὸν σοὶ ἐλπίζοντα.

### Κοντάκιον

### Τὰ μεγαλεῖά σου Παρθένε

Τὰ μεγαλεῖά σου Χριστομάρτυς τίς διηγήσεται; βρύεις γὰρ θαύματα καὶ πηγάζεις ἰάματα καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν ὡς παρθενομάρτυς Εἰρήνη σεμνή.

Ἕτερον

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε, καὶ μαρτύρων στέμμασι, στεφανωθεῖσα Εἰρήνη· αἵματι τοῦ μαρτυρίου ἐραντισμένη, θαύμασι καταστραφθεῖσα τῶν ἰαμάτων, εὐσεβῶς μάρτυς ἐδέξω, βραβεῖον νίκης τῆς σῆς ἀθλήσεως.

### Ὁ οἶκος

Τοῦ νυμφίου Χριστοῦ ἔρωτι, παναοίδιμε, ἀπὸ βρέφους σεμνὴ πυρποληθεῖσα ἔδραμες, δορκὰς ὡς διψῶσα πηγαῖς ἀειρρύτοις· καὶ τῇ ἀθλήσει σὲ σαυτὴν συντηρήσασα, ἐν τῷ ἀφθάρτῳ, ὄντως τοῦ Κτίστου σου θαλάμῳ ἔνδοξε, ὡς νύμφη εὐκλεής, ἐστολισμένη, πεποικιλμένη, εἰσῆλθες ὡς ἐκλεκτή, στεφανηφόρος ὁραθεῖσα, ἐξ ἀφθάρτου νυμφίου δεξαμένη, ὡς χρυσίον, βραβεῖον νίκης τῆς σῆς ἀθλήσεως.

### Συναξάριον

Τῇ Ε΄. τοῦ αὐτοῦ μηνὸς μνήμη τῆς Ἁγίας μεγαλομάρτυρος Εἰρήνης.

### Στίχοι

Ξίφει θανοῦσα, καὶ βιώσασα ξένως,
Εἰρηνικῶς τέθνηκας αὖθις Εἰρήνη.

Εἰρήνη τμηθεῖσα, ἀνέγρετο καὶ θάνε πέμπτῃ.

Ταῖς τῆς ἁγίας Εἰρήνης πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

### Ὠδὴ ζ΄.

### Ἀβραμιαῖοί ποτε

Στεφανηφόρος σεμνή, παρισταμένη θρόνῳ, τοῦ σοῦ Δεσπότου περιφρούρησον, τοὺς πίστει κραυγάζοντας. Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν οὐρανίαις σκηναῖς, περιχορεύειν μάρτυς, κατηξιώθης ἀξιάγαστε, Εἰρήνη κραυγάζουσα. Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἱμειρομένη τυχεῖν, τοῦ ἐραστοῦ σου κάλλους, βασάνων πόνους ἐκαρτέρησας, Εἰρήνη κραυγάζουσα. Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

### Θεοτοκίον

Ῥήσει χειλέων τῶν σῶν, ἀκολουθοῦντες πίστει, σὲ Θεομῆτορ μακαρίζομεν, βοῶντες τῷ τόκῳ σου· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

### Ἡ κάμινος Σωτὴρ ἐδροσίζετο

Τὴν ἔνδοξον Εἰρήνην τιμήσωμεν, ᾠδαῖς οἱ πιστοὶ Χριστὸν τὴν κηρύξασαν, ἐν σταδίῳ παρανόμων Θεόν, τοῦ παντὸς καὶ Κύριον.



Ἀνόμοις θεοῖς σέβας οὐκ ἀπένειμας, ἀλλὰ Χριστὸν ἀνδρειοφρόνως ἐκήρυττες, εὐλογητὸς βοῶσα, ὁ Θεός μου καὶ Κύριος.

Νικηφόρος κατὰ τῆς πλάνης πεφανέρωσαι, τοὺς τυράννους πάντας νικήσασα ἀνδρείᾳ καὶ θαύμασι, μεγίστοις τοῖς παρὰ Θεοῦ τοῦ Νυμφίου σου.

### Θεοτοκίον

Τὴν ψυχήν μου Παρθένε ἀνάστησον, τὴν εἰς βάθη κακῶν ὀλισθήσασαν, ἡ γεννήσασα ἀφράστως, τὸν Δεσπότην τῆς κτίσεως.

### Ὠδὴ η΄.

### Παῖδας εὐαγεῖς

Ἤθλησας Εἰρήνη μακαρία, γενναίως καὶ τοὺς τυράννους καταβέβληκας, ἔχουσα συμπράττουσαν, τὴν ἀκαταμάχητον, τοῦ σοῦ Δεσπότου δύναμιν καὶ συνεργοῦσάν σοι, καὶ Κύριον ὑμνεῖτε ἐβόας καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νεᾶνις ἀγάπῃ τετρωμένη, ὀπίσω τοῦ σοῦ νυμφίου ἠκολούθησας, Εἰρήνη πανένδοξε, τούτου τὰ παθήματα, ἐν τῇ σαρκί σου φέρουσα καὶ ἀναμέλπουσα· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ σὴ ἐν βασάνοις καρτερία, Εἰρήνη στεφανηφόρε, κατεγέλασε, τῶν τῆς ματαιότητος, καὶ τῆς ἀθεότητος, ἀντεχομένων ἔνδοξε πίστει δὲ ἔψαλλες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

### Θεοτοκίον

Σοφία Θεοῦ πάντων τεχνῖτις, γαστρί σου Παρθενομῆτορ ἐνσκηνώσασα, οἶκον ᾠκοδόμησεν, ἔννουν τε καὶ ἔμψυχον, τὸν ἑαυτῆς καὶ ἔσωσε κόσμον κραυγάζοντα· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

### Ὃν φρίττουσιν ἄγγελοι

Ἰδεῖν παμμακάριστε τὸν νυμφίον σου Χριστόν, ὅνπερ ἐπεπόθησας μαρτύρων καλλονή, βασάνους ὑπέστης, καὶ ἐβόας τοῖς λαοῖς, Χριστὸν ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ναμάτων ἀένναος ὁ θεῖός σου ναός, τοῖς πίστει προστρέχουσι καὶ τιμῶσί σε σοφή, πολύαθλε Εἰρήνη ὁρᾶται τοῖς λαοῖς, καὶ τὸν Χριστὸν ὑμνοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ παῖδας ῥυσάμενος ἐνδόξως τῆς φλογός, αὐτὸς καὶ σὲ ἔνδοξε μαστίγων καὶ πυρός, θαύμασι κοσμήσας πρὸς πίστιν λαῶν, τῶν ὑπερυψούντων Χριστὸν τὸν σὸν νυμφίον.

### Θεοτοκίον

Ὑλώδους καθάρασα προσπαθείας τὴν ψυχήν, πανύμνητε ποίησον δοχεῖον τοῦ Θεοῦ, τοῦ δούλου σου Παρθένε, ἵνα κράζω θερμῶς, ἀνυμνολογῶν σε εἰς πάντας τοὺς αἰῶνας.

### Ὠδὴ θ΄.

### Εὔα μὲν τῷ τῆς παρακοῆς

Κύκλῳ περὶ τὸν σὸν ἐραστὴν χορεύουσα, ἐν ὑψίστοις καλλιπάρθενε, αἴτησαι κόσμῳ τὴν εἰρήνην, Εἰρήνη καὶ πταισμάτων τὴν ἄφεσιν, τοῖς πίστει ἐκτελοῦσι τὴν μνήμην σου, τὴν φωτοφόρον καὶ πανίερον.

Ἔνδον τῆς παστάδος σε Χριστὸς ὡς μάρτυρα, καὶ παρθένον κατεσκήνωσεν, ἔνθα παρθένοις συναγάλλῃ, καὶ σὺν τοῖς τῶν μαρτύρων στρατεύμασιν, Εἰρήνη στεφανηφόρε πανεύφημε· ὅθεν σε πάντες μακαρίζομεν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Πύλας διανοίξας οὐρανῶν ἐδέξατο, τὴν ψυχήν σου τὴν πανάμωμον, μόνος ὁ πάντων βασιλεύων, καὶ τῆς δικαιοσύνης ὁ πρύτανις, Εἰρήνη, θείας εἰρήνης ἐπώνυμε· ὅθεν σε πάντες μακαρίζομεν.

**Θεοτοκίον**

Ἔχουσα πρὸς τὸν ἐκ σοῦ Υἱὸν πανάχραντε, παρρησίαν ἀνεπαίσχυντον, τοῦτον δυσώπει Παναγία, τῷ κόσμῳ τὴν εἰρήνην δωρήσασθαι, καὶ πάσαις Ἐκκλησίαις ὁμόνοιαν, ἵνα σε πάντες μεγαλύνωμεν.

Ἄλλος

**Τὴν φωτοφόρον νεφέλην**

Τὴν φωτοφόρον Εἰρήνην, τὴν καλλιπάρθενον Κόρην, ἐπινικίους ὦ πιστοί, καταστέψωμεν ὕμνους, καὶ μεγαλύνομεν Χριστόν, τὸν ἡμῖν χαρισάμενον ἀκένωτον, τὴν πλημμύραν τῶν θαυμάτων, καὶ τὸν μέγαν τῶν ναμάτων ποταμόν.

Τοὺς σπαραγμοὺς τῆς σαρκός σου, καὶ τῶν ποδῶν ἀφαιρέσεις, καὶ τῶν μαστίγων τὰς σφοδράς, καὶ σφαγὴν ἑκουσίως, ἐν ποταμῷ καὶ βυθισμόν, ἀνδρείως ὑποίσασαν τοὺς φάλλοντας, καὶ τιμῶντάς σε Εἰρήνη τῆς πανώλους, καὶ παντοίων σῶζε πειρασμῶν.

Μεγαλομάρτυς Εἰρήνη, καὶ καλλιπάρθενε Κόρη, τοῦ ἐκ καρδίας τὴν ᾠδήν, προσδεχομένη σὺν πόθῳ, ἀντιπαράσχου μοι τὴν σήν, χάριν τε καὶ σωτήρια αἰτήματα, τῆς Χριστοῦ βασιλείας κληρονόμον, καὶ τῆς δόξης κοινωνόν.

**Θεοτοκίον**

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, τοὺς καταφεύγοντας πίστει, καὶ προσκυνοῦντας εὐσεβῶς, τὸν Υἱόν σου Παρθένε, θεογεννῆτορ ὡς Θεόν, τοῦ κόσμου καὶ Κύριον ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, καὶ παντοίων πειρασμῶν.

Ἐξαποστειλάριον

**Γυναῖκες ἀκουτίσθητε**

Μαρτύρων τὴν εὐπρέπειαν, καὶ τῶν πιστῶν τὸ στήριγμα, τὴν ὑπομείνασαν εἴδη, κολαστηρίων μυρία, Εἰρήνην τὴν πανένδοξον, πιστῶς ἀνευφημήσωμεν, σήμερον γὰρ παρέχεται, τῶν ἰαμάτων τὴν χάριν, ἐν τῷ σεπτῷ της τεμένει.

Ἕτερον ὅμοιον

Ῥωσθεῖσα καλλιπάρθενε, Σταυρῷ τῷ τοῦ Κυρίου σου, τυράννων ἔλυσας θράσος, ἀθλοῦσα μάρτυς γενναίως· καὶ πρὸς Χριστοῦ ἀπείληφας, βραβεῖα νίκης πάνσοφε, Εἰρήνη μεγαλώνυμε, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν σὲ τιμώντων ἐκ πόθου.

Καὶ τῆς ἑορτῆς.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια

**Ἦχος α'.**

**Τῶν οὐρανίων ταγμάτων**

Τῶν οὐρανίων τὰ κάλλη ἐπιποθοῦσα λαμπρῶς, τῶν ὀρεκτῶν τὸ τέλος, ὢ μαρτύρων τὸ κλέος, μαστίγων ὑπέστης, πάντα καὶ δυσχερῆ, τοὺς ξεσμοὺς καὶ κατάφλεξιν, τοῦ πανιέρου σου σώματος ἀνδρικῶς, ὢ Εἰρήνη μεγαλώνυμε. Δὶς

Εἰρήνης πάντες τὴν μνήμην νῦν ἑορτάσωμεν, αὐτὴ γὰρ ὄντως πάσας, τῶν ἐχθρῶν τὰς δυνάμεις, λόγῳ τε καὶ ἔργῳ καθεῖλε στερρῶς, ὡς σοφὴ ἰσαπόστολος, ἀλλὰ δεήσεσι ταύτης ῥῦσαι ἡμᾶς, ὁ Θεὸς ἐκ πάσης θλίψεως.

Χαίρεις πολύαθλε μάρτυς Εἰρήνη ἔνδοξε, ἡ τὸν Χριστὸν ἀνδρείως



Θεὸν τῆς οἰκουμένης, ἐνώπιον τυράννων, λαμπρᾷ τῇ φωνῇ ἀνακηρύξασα ἅπασιν, ἐν οὐρανοῖς σὺν ὑπάρχουσα σὺν Χριστῷ, ὑπερεύχου τῶν τιμώντων σε.

**Δόξα. Ἦχος πλ. α'.**

Ὅπου ἐπισκιάσει ἡ χάρις σου πολύαθλε, ἐκεῖθεν τῶν νοσημάτων διώκεται ἡ δύναμις· οὐ φέρει γὰρ τῇ κλήσει σου προσμένειν, τὰ ποικίλα τῶν ἀνθρώπων πάθη· διὸ αἰτοῦμέν σε, τοὺς πυρφόρους ἐχθρούς, τοὺς καθ' ἡμῶν κινουμένους ἀπόσβεσον, τῇ πρεσβείᾳ σου λυτρουμένη ἡμᾶς, ἐκ τῶν σκανδάλων αὐτῶν, τὴν ὁμώνυμόν σου εἰρήνην παρέχουσα, πανθαύμαστε Εἰρήνη πανέκλαμπρε.

Καὶ νῦν **τῆς τυχούσης ἑορτῆς**

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τὰ τυπικὰ καὶ ἐκ τῶν κανόνων τῆς ἁγίας ἡ γ'. καὶ ἡ ϛ'. ᾠδή. Ἀπόστολος τῆς ἁγίας Βαρβάρας. Εὐαγγέλιον τοῦ μεγαλομάρτυρος ἁγίου Δημητρίου.

**Κοινωνικόν. Εἰς μνημόσυνον**

Σημ. Κυρίλλου. Ταύτην ἅπασαν τὴν ἀκολουθίαν ἐσύνθεσα ἔτι ὢν κοσμικὸς Κωνσταντῖνος ὅταν ἦλθον ἐδῶ. Εἰς τοῦτο μὲ ἐπαρακίνησεν ὁ κὺρ Γεννάδιος ἱερομόναχος Κρητικὸς καὶ ὅρα τὴν ἀκροστιχίδα ἔχουσαν τὸ ὄνομά μου (Κωνσταντῖνος.) 1759 ἔτος.

# ΜΑΡΤΥΡΙΟΝ

## Τῆς ἁγίας μεγαλομάρτυρος Εἰρήνης

**Εὐλόγησον Πάτερ**

Αὕτη ἦτο θυγάτηρ μονογενὴς Λικινίου βασιλίσκου καὶ Λικινίας, καταγομένη ἐκ τῆς πόλεως Μαγεδῶ (1) ἐν ἔτει τιέ. (315) ὠνομάσθη δὲ πρότερον ὑπὸ τῶν γονέων της Πηνελόπη. Ἐπειδὴ ἦτο αὕτη ὡραία καὶ ὑπερέβαινε κατὰ τὸ κάλλος ὅλας τὰς συγχρόνους κόρας, διὰ τοῦτο διέμενεν ἐπὶ ὑψηλοῦ τινος πύργου, κτισθέντος παρὰ τοῦ πατρός της, μετὰ δεκατριῶν θεραπαινῶν ὡραίων, ἔχουσα πολὺν πλοῦτον, θρόνον δὲ καὶ τράπεζαν καὶ λυχνίαν κατεσκευασμένα ἐκ χρυσοῦ. Ὅταν δὲ διωρίσθη παρὰ τοῦ πατρός της νὰ μένῃ ἐν τῷ πύργῳ, ἦτο ἑξαετὴς καὶ ἐπαιδαγωγεῖτο καὶ ἐδιδάσκετο ὑπό τινος γέροντος Ἀπελλιανοῦ ὀνομαζομένου, τὸν ὁποῖον διώρισε νὰ ἐπιτηρῇ αὐτὴν ὁ πατήρ της Λικίνιος. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν βλέπει ἡ ἁγία περιστερὰν εἰσελθοῦσαν ἐν τῷ πύργῳ καὶ φέρουσαν κλάδον ἐλαίας εἰς τὸ στόμα της, τὸν ὁποῖον ἔβαλεν ἐπὶ τῆς χρυσῆς τραπέζης· ὁμοίως εἶδε καὶ ἀετὸν ἔχοντα στέφανον πεπλεγμένον μὲ ἄνθη, τὸν ὁποῖον ἔβαλεν ἐπὶ τῆς τραπέζης, καὶ ἔπειτα εἶδε κόρακα εἰσελθόντα ἐκ τοῦ ἄλλου παραθύρου καὶ κρατοῦντα ὄφιν, τὸν ὁποῖον ἀπέθηκεν ἐπὶ τῆς ἰδίας τραπέζης. Βλέπουσα δὲ ταῦτα ἡ κόρη, ἠπόρει καὶ ἐσυλλογίζετο, τί ἆρά γε ταῦτα δηλοῦσιν;

(1) Ἡ πόλις αὕτη φαίνεται ὅτι ἦτο ἐν τῇ Περσίᾳ, ἐπειδὴ καὶ ὁ τῶν Περσῶν Βασιλεὺς Σαβώριος, ἀκούσας περὶ τῆς ἁγίας ταύτης, διέταξε νὰ τὴν θανατώσωσι, τὸ ὁποῖον δὲν ἤθελε πράξῃ ἐὰν δὲν ἦτον εἰς τὴν ἐπικράτειάν του.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ δὲ γέρων Ἀπελλιανός, ὁ διδάσκαλός της, ἐξήγησε ταῦτα εἰς αὐτὴν λέγων, ὅτι ἡ μὲν περιστερὰ δηλοῖ τὴν παιδείαν τῆς γνώμης, ὁ δὲ κλάδος τῆς ἐλαίας σφραγῖδα πραγμάτων καὶ ἄνοιγμα, καὶ τύπον βαπτίσματος· ὁ δὲ ἀετός, ἐπειδὴ εἶναι Βασιλεὺς τῶν πτηνῶν, προεικονίζει διὰ τοῦ στεφάνου τὴν μέλλουσαν νίκην σου εἰς ἐκλεκτὰ καὶ ἀγαθὰ πράγματα· ὁ δὲ κόραξ διὰ τοῦ ὄφεως δηλοῖ, ὅτι θέλεις δοκιμάσει θλῖψιν καὶ ταλαιπωρίαν, καὶ ἵνα εἴπωμεν διὰ βραχέων, διὰ τῆς ἐξηγήσεως ἣν ἔδωκεν ὁ Ἀπελλιανὸς τῶν ὁραθέντων ἐφανέρωνε τὸν ἀγῶνα τοῦ μαρτυρίου, τὸν ὁποῖον ἔμελλεν ἡ ἁγία νὰ τελειώσῃ διὰ τὸν Θεόν. Τὰ δὲ ἑξῆς ῥηθησόμενα εἶναι παράδοξα καὶ ὑπερφυσικά, τὰ ὁποῖα λέγονται περὶ τῆς ἁγίας ταύτης. Λέγουσιν, ὅτι Ἄγγελος Κυρίου ἔδωκεν εἰς αὐτὴν τὸ ὄνομα, καὶ ἀντὶ Πηνελόπης μετωνόμασεν αὐτὴν Εἰρήνην, καὶ ἀκολούθως ὅτι Ἄγγελος Κυρίου τὴν ἐδίδαξε τὴν τοῦ Χριστοῦ Πίστιν, καὶ τῇ προεῖπεν, ὅτι πολλαὶ μυριάδες ψυχῶν θὰ σωθῶσι δι' αὐτῆς, καὶ ὅτι θέλει ἔλθῃ πρὸς αὐτὴν παραδόξως ὁ τοῦ Παύλου μαθητὴς Ἀπόστολος Τιμόθεος, ὁ ὁποῖος θέλει βαπτίσει αὐτήν. Ὅταν δὲ ὅλα ταῦτα ἐπραγματοποιήθησαν, τότε ἡ μακαρία Εἰρήνη ἐκρήμνισε κάτω τὰ εἴδωλα τοῦ πατρός της, συντρίψασα αὐτά.

Πρῶτον λοιπὸν ἐξητάσθη ὑπὸ τοῦ ἰδίου πατρός της, ὁ ὁποῖος εὑρὼν αὐτὴν ἐπιμένουσαν εἰς τὴν πίστιν τοῦ Χριστοῦ, προσέταξε νὰ τὴν δέσωσι, καὶ οὕτω δεδεμένην νὰ καταπατήσωσι τὰ ἄλογα· ἓν δὲ ἐξ αὐτῶν, ἀντὶ νὰ βλάψῃ, τὴν ἁγίαν, ἐξηγριώθη κατὰ τοῦ πατρός της, καὶ τοῦτον κατὰ γῆς ῥίψαν, συνέτριψε τὴν δεξιὰν χεῖρά του, καὶ αὐτὸν μὲν ἐθανάτωσε, τὴν δὲ Ἁγίαν ἐμακάρισε μὲ ἀνθρωπίνην φωνήν. Λυθεῖσα δὲ ἡ μάρτυς ἐκ τῶν δεσμῶν, παρεκλήθη ὑπὸ τῶν παρεστώτων, καὶ προσευχηθεῖσα ἀνέστησε τὸν πατέρα της, ὁ ὁποῖος ἐπίστευσεν εἰς τὸν Χριστὸν μετὰ τῆς συζύγου του καὶ τριῶν ἄλλων χιλιάδων ἀνθρώπων, οἵτινες ὅλοι ἐδέχθησαν τὸ Ἅγιον Βάπτισμα. Ὁ δὲ πατήρ της ἀφήσας μετὰ ταῦτα τὴν Βασιλείαν, κατῴκησεν εἰς τὸν πύργον ἐκεῖνον, τὸν ὁποῖον ἔκτισε διὰ τὴν θυγατέρα του, καὶ ἐκεῖ ἐν μετανοίᾳ διῆλθε τὸ ὑπόλοιπον τῆς ζωῆς του. Ἀποθανόντος δὲ τοῦ πατρός της, ἔγινεν ἄλλος Βασιλεύς, Σεδεκίας ὀνομαζόμενος ὁ ὁποῖος ἠνάγκασε τὴν ἁγίαν νὰ θυσιάσῃ εἰς τὰ εἴδωλα, καὶ ἐπειδὴ δὲν ἐπείσθη, ἐρρίφθη πρηνὴς ἡ μακαρία ἐντὸς βαθυτάτου λάκκου, ἔνθα ἦσαν διάφορα ἑρπετὰ καὶ ὄφεις δηλητηριώδεις. Διατρίψασα δὲ ἐκεῖ δεκατέσσαρας ἡμέρας, ἐξῆλθεν ἀβλαβής, ὅθεν ἐπριόνισαν μὲν αὐτῆς τοὺς πόδας, δι' ἐπιστασίας ὅμως θείου Ἀγγέλου κατέστη πάλιν ὑγιής.

Ἔπειτα ἔδεσαν αὐτὴν εἰς τροχόν, τὸ δὲ ὕδωρ, τὸ ὁποῖον ἐκίνει τὸν τροχόν, κάτω φερόμενον ἔστη πάραυτα, ἡ δὲ Ἁγία ἔμεινεν ἀβλαβής· καὶ διὰ τὸ τοιοῦτον θαῦμα ἐπίστευσαν εἰς τὸν Χριστὸν ψυχαὶ ὀκτὼ χιλιάδες. Ἀφ' οὗ δὲ ὁ βασιλεὺς Σεδεκίας ἐξέπεσε τῆς Βασιλείας, καὶ ὁ υἱός του Σαβὼρ ἐπολέμει τοὺς ἐκθρονίσαντας τὸν πατέρα του, τότε



ἡ ἁγία Εἰρήνη ἀπήντησεν ἐκτὸς τῆς πόλεως Μαγεδὼν τὸν Σαβὼρ καὶ τὸ στράτευμα αὐτοῦ. Προσευξαμένη λοιπόν, ἐπάταξεν αὐτοὺς ὅλους μὲ τύφλωσιν καὶ ἀορασίαν, καὶ δὲν ἔβλεπον ποῦ νὰ ὑπάγωσι· προσευξαμένη δὲ πάλιν ἔδωκεν εἰς αὐτοὺς τὸ φῶς τῶν ὀμμάτων των. Διὰ τοῦτο ἐκάρφωσαν οἱ ἀχάριστοι τὰς πτέρνας τῆς ἁγίας καὶ ἐφόρτωσαν αὐτὴν μὲ σάκκον πλήρη ἄμμου καὶ οὕτω πεφορτωμένην ἐδίωξαν αὐτὴν βιαίως τρία μίλια μακράν.

Ἐπειδὴ δὲ ἡ γῆ ἐσχίσθη εἰς δύω καὶ ἐδέχθη ἐντὸς αὐτῆς δέκα χιλιάδας ἀπίστων, τούτου ἕνεκα προσῆλθον εἰς τὴν Πίστιν τοῦ Χριστοῦ ἄνθρωποι ἕως τριάκοντα χιλιάδες, ἀλλ' ὁ Βασιλεὺς πάλιν ἔμεινεν ἐν τῇ ἀπιστίᾳ· ὅθεν ἐλθὼν ὁ Ἄγγελος Κυρίου, ἐκτύπησεν αὐτὸν καὶ τὸν ἐθανάτωσε. (1) Τότε ἡ ἁγία λαβοῦσα ἄδειαν καὶ ἐλευθερίαν, περιεπάτει ἐντὸς τῆς πόλεως, καὶ ἐποίει πολλὰ θαυμάσια. Πορευθεῖσα δὲ καὶ εἰς τὸν πύργον, ὅπου ἦτο ὁ πατήρ της ὁμοῦ μὲ τὸν ἱερέα Τιμόθεον, κατορθώνει διὰ τῆς διδασκαλίας της νὰ προσέλθωσιν εἰς τὴν Πίστιν τοῦ Χριστοῦ πέντε χιλιάδες Ἑλλήνων. Μετ' αὐτῶν δὲ ἐπίστευσαν καὶ ἄνδρες τριάκοντα τρεῖς, οἱ ὁποῖοι ἦσαν διωρισμένοι νὰ φυλάττωσι τὸν πύργον, αὐτοὶ δὲ ὅλοι ἔλαβον καὶ τὸ ἅγιον Βάπτισμα. Ἐλθοῦσα δὲ εἰς τὴν πόλιν τὴν καλουμένην Καλλίνικον, ὅπου ἦτο ὁ Βασιλεὺς Νουμεριανός, συγγενὴς ὢν τῶν πρώην Βασιλέων, παρέστη εἰς αὐτόν, καὶ ὡμολόγησε τὸν Χριστόν. Ὅθεν βάλλουσιν αὐτὴν ἐντὸς τριῶν χαλκίνων βοῶν πεπυρωμένων, καὶ τὴν μεταθέτουσιν ἀπὸ τοῦ πρώτου εἰς τὸν δεύτερον, καὶ ἀπὸ τοῦ δευτέρου εἰς τὸν τρίτον· ὁ δὲ τρίτος βοῦς, καίτοι ἄψυχος ὤν, παραδόξως περιεπάτησε καὶ ἔπειτα ἐσχίσθη, ὅθεν ἐξῆλθεν ἡ ἁγία ἐξ αὐτοῦ ἄφλεκτος καὶ ἀβλαβής. Πολλοὶ δὲ ἄπιστοι ἰδόντες τὸ τοιοῦτον θαυμάσιον, ἐπίστευσαν εἰς τὸν Χριστόν, ἕως δέκα μυριάδες τὸν ἀριθμόν. Ὅταν δὲ ὁ Βασιλεὺς ἔμελλε νὰ ἀποθάνῃ, παρήγγειλεν εἰς τὸν ἔπαρχον νὰ τιμωρήσῃ μὲ διαφόρους βασάνους τὴν ἁγίαν· ὁ δὲ ἔπαρχος δέσας τὴν μάρτυρα μὲ ἁλύσεις, ἥναψεν ὑποκάτω αὐτῆς πυρκαϊάν, ἀλλὰ κατελθὼν Ἄγγελος Κυρίου, καὶ τὸ πῦρ σβέσας, διεφύλαξε τὴν ἁγίαν ἀβλαβῆ. Ὅθεν ὁ ἔπαρχος βλέπων τοῦτο, ἐπίστευσεν εἰς τὸν Χριστὸν μετὰ τῶν οἰκείων του.

Διαδοθείσης δὲ τῆς φήμης περὶ τῆς ἁγίας, ἤκουσε ταύτην καὶ Σαβώριος ὁ τῶν Περσῶν Βασιλεὺς (ὅστις ἦτο κατὰ τοὺς χρόνους τοῦ μεγάλου Κωνσταντίνου ἐν ἔτει τλ΄.) καὶ προσέταξε νὰ ἀποκεφαλίσωσι τὴν μάρτυρα. Ἀποκεφαλισθεῖσα λοιπόν, ἡ τοῦ Χριστοῦ καλλίνικος Εἰρήνη, ἐτέθη ἐντὸς τάφου, ἀλλὰ πάλιν ἀνέστη ὑπὸ θείου Ἀγγέλου, ὁ ὁποῖος ἐμακάρισεν αὐτήν, διότι ἐμαρτύρησεν ὑπὲρ τοῦ Χριστοῦ, ἐμακάρισε δὲ καὶ ἐκείνους ὅσοι ἐπίστευσαν εἰς τὸν Χριστὸν δι' αὐτῆς, ὡς ἐπίσης καὶ ἐκείνους, ὅσοι θὰ μνημονεύωσι τὸ ὄνομά της, ἑορτάζοντες τὴν ἡμέραν τοῦ μαρτυρίου της. Ἀφοῦ δὲ ἀνέστη, λέγεται ὅτι εἰσῆλ-

**(1) Ἐν δὲ τῷ τετυπωμένῳ Συναξαριστῇ γράφεται ὅτι ὁ Ἄγγελος ἐθανάτωσε καὶ 5.000 ἀνθρώπων.**



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θεν ἐν τῇ πόλει τῇ καλουμένῃ Μεσημβρίᾳ, κρατοῦσα εἰς τὰς χεῖράς της κλάδον ἐλαίας, καὶ οὕτω παρέστη εἰς τὸν Βασιλέα ὁ ὁποῖος ἰδὼν αὐτὴν ἐπίστευσε τῷ Χριστῷ καὶ ἐβαπτίσθη ὑπὸ τοῦ πρεσβυτέρου Τιμοθέου μετὰ πολλῶν μυριάδων ἀνθρώπων. Ἔπειτα ὑπῆγεν ἡ ἁγία εἰς τὴν ἰδίαν αὐτῆς πόλιν Μαγεδών, πρὸς τοὺς γονεῖς της, καὶ τὸν μὲν πατέρα της ἐπένθησεν, ὡς προαποθανόντα, ἰδοῦσα δὲ καὶ ἀποχαιρετίσασα τὴν μητέρα της, ἀνελήφθη ὑπὸ νεφέλης, καὶ ὑπῆγεν εἰς τὴν Ἔφεσον, ἔνθα διέτριψεν ἐπί τινα καιρόν, ἐπιτελοῦσα πλεῖστα θαύματα καὶ τιμωμένη ἴσα ἑνὶ Ἀποστόλῳ· μετὰ ταῦτα συνήντησε τὸν διδάσκαλόν της Ἀπελλιανόν.

Ἀφ' οὗ δὲ ἡ ἁγία ἐδίδαξε τοὺς ἐν Ἐφέσῳ, παρέλαβε μεθ' ἑαυτῆς μόνον ἓξ καὶ τὸν Ἀπελλιανὸν καὶ ἐξῆλθε τῆς πόλεως τῆς Ἐφέσου· εὑροῦσα δὲ ἐκεῖσε νεόρυκτον τάφον, ἐντὸς τοῦ ὁποίου οὐδεὶς εἶχε ταφῇ, εἰσῆλθεν ἐν αὐτῷ, καὶ ἐπὶ τοῦ τάφου αὐτοῦ ἔβαλεν ὁ Ἀπελλιανὸς λίθον. Διέταξε δὲ ἡ ἁγία ἔτι ζῶσα, ὅτι ἐπὶ τέσσαρας ἡμέρας νὰ μὴ κινήσῃ τις τὸν λίθον ὃν ἔμελλε νὰ βάλῃ ἐπὶ τοῦ τάφου ὁ διδάσκαλός της· καὶ μετὰ δύο ἡμέρας πορευθεὶς εἰς τὸν τάφον ὁ Ἀπελλιανός, ὢ τοῦ θαύματος! εὗρεν ἐγηγερμένον τὸν λίθον καὶ μὴ ὑπάρχον ἐκεῖ τὸ σῶμα τῆς μάρτυρος. Ταῦτα, κατὰ μὲν τοὺς ταπεινοὺς καὶ ἀσθενεῖς λογισμοὺς τῶν ἀνθρώπων, ἴσως φανῶσιν ἄπιστα καὶ ἀπίθανα, εἰς δὲ τὸν Θεὸν εἶναι ὅλα δυνατὰ τὰ εἰς τοὺς ἀνθρώπους ἀδύνατα. Παρέστη δὲ ἡ ἁγία εἰς κρίσιν, πρῶτον μὲν ὑπὸ τοῦ πατρός της Λικινίου, δεύτερον δὲ ὑπὸ τοῦ Σεδεκίου καὶ Σαβὼρ καὶ Νουμεριανοῦ υἱοῦ Σεβαστιανοῦ, καὶ τοῦ ἐπάρχου Βαύδωνος, καὶ Σαβωρίου τοῦ Περσῶν Βασιλέως· αἱ δὲ πόλεις εἰς τὰς ὁποίας ἐμαρτύρησεν εἶναι αὗται, Μαγεδὼν ἡ πατρίς της, Καλλίνικος, Κωνσταντίνα καὶ Μεσημβρία. Τὰ δὲ τοῦ μαρτυρίου αὐτῆς ὑπομνήματα συνέγραψεν Ἀπελλιανὸς ὁ ταύτης διδάσκαλος, ὧν ἡ ἀρχὴ ἐστιν αὕτη. «Κατὰ τοὺς προλαβόντας, χρόνους γέγονέ τις Βασιλεύς» (σώζονται δὲ ἑλληνιστὶ ἐν τῇ Λαύρᾳ, καὶ ἐν τῇ ἱερᾷ Μονῇ τῶν Ἰβήρων, καὶ ἐν ἄλλαις).

---

## ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΑΙ ΛΟΓΟΙ
## *ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ*

**(Ἐκ τοῦ Κώδικος Λ 197)**

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

### Περὶ μετανοίας παρακίνησις

Προευτρεπισθῶμεν δὲ πρὸς τὴν κοινὴν τοῦ γένους ἔξοδον, ἐκείνην ἡμῶν τῆς ζωῆς τὴν τελευταίαν περισκοπήσωμεν· ὅταν τὴν ψυχὴν ἡμῶν οἱ παριόντες ἄγγελοι ἀθρόον ἐφιστῶνται λαβεῖν, τί δράσωμεν ἀδελφοὶ ὑπὸ τοῦ κλέπτου θανάτου ἑλκόμενοι; ὅταν μέλλωμεν ἀθυμεῖν ἐκ τοῦ συνέχοντός σε κινδύνου· ὅταν ἀμυδρόν, ὅταν ἄσημα φθέγγῃ, ὅταν ἀδρανὴς καὶ πυκνὸν πνῇς, ὅταν ἔνδοθεν περικαίηται φλόξ, καταγωνιζομένης τῆς ψυχῆς, ὅταν σύμμαχος οὐδεὶς παρίσταται τοῦ δεινοῦ κατεπείγοντος, ὅτε ἀδελφὸς οὐ λυτροῦται λυτρώσεται ἄνθρωπος; ὅτε χρήματα ἀπορρέῃ, ὅτε εἰς τὸ φρικτὸν ἐκεῖνο ἡ ψυχὴ συνελαύνεται δικαστήριον, ὅτε τῶν σαυτοῦ οὐκ ἔσῃ κύριος ἔτι· ὅταν μεταμεληθῇς ἐφ' οἷς ἔπραξας τῆς



μεταμελείας οὐκ ἐχούσης χώρας λοιπόν, ὅτε κλείεται τῆς μετανοίας ἡ θύρα, καὶ τοῦ παραδείσου ἡ εἴσοδος ἀποτειχίζεται, ὅταν στενάξῃς μὲν ἐκ βάθους καρδίας, τὸν δὲ ἐξαιρούμενον οὐχ εὑρίσκεις· ἄρα τί ἔχεις τότε δρᾷν ταλαίπωρε ἄνθρωπε; ἆρά γε εἰς τὶ ἀπορίαν ἤθελες εὑρεθῇ τότε ἀνόητε ἄνθρωπε; τί λογῆς ἤθελες στενάξῃ καὶ ἄφωνον κατὰ ψυχὴν ἤθελες λέγει. οἴμοι, οἴμοι, ὁ τάλας ἐγώ, ὠθοῦμαι πρὸς ἔξοδον ὁ ταλαίπωρος, ἕλκομαι πρὸς βίαν καταλῦσαι τὸν βίον, ἄγομαι δέσμιος ὅθεν ὑποστρέφειν οὐκ ἔστι· λοιπὸν οὐ βοηθοῦσιν οἰκέται, οὐ παραφαίνονται φίλοι, οἱ κόλακες ἀνεχώρησαν, οἱ συγγενεῖς οὐ παρίστανται· οὐ χρήματα βοηθοῦσί μοι καὶ λυτροῦται· μάτην ᾠκοδόμουν οἴκους· τί δράσω ὁ δείλαιος ἐγώ; δρᾷς ἄνθρωπε, ὅτι ὁ θάνατος οὐ χαρίζεται ζωῆς καιρόν, οὐ φοβεῖται βασιλικὸν ἀξίωμα, δὲν εὐλαβεῖται παρακαλοῦσαν εὐγένειαν· δὲν ἐντρέπεται δυσωποῦσαν πολιάν· οὐ φείδεται δακρυούσης νεότητος, λοιπὸν ποῖα θλιβερὰ λόγια νὰ μεταχειρισθῶ ὁ πανάθλιος εἰς τὸν ἀγῶνα τοῦτον; ποῖον βοηθὸν νὰ καλέσω; τί ἀπολογήσομαι τῷ κριτῇ; φεῦ! οἴμοι! ἀλοίμονον! ἀποχαιρετῶ λοιπὸν φίλους, ἀσπάζομαι συγγενεῖς, παρακαλῶ ἱερεῖς, προσκυνῶ ἀρχιερεῖς, ἵνα ὑπὲρ ἐμοῦ πρεσβεύουσι. Καταφρονήσωμεν οὖν σαρκὸς ἀδελφοί, πόσην ἤγειρε θάλασσαν ἐν τῷ βίῳ ἡ πολιτεία τῆς σαρκός; ὅσα κύματα εἰργάσατο; ὅσας ταραχάς, ὅσους ἀνέμους, ὅσα ναυάγια, ὅσας ἀνομίας καὶ ἁμαρτίας; ὅσας συμφορὰς καὶ τραγῳδίας; ὅσα κακὰ ἐν πάσαις ταῖς πόλεσιν; ὅσα κατ' οἴκους, ὅσα κατ' ἀγοράν· τίς ἡ δύναμις αὐτῆς; τίς ἡ ἰσχύς; ὅλα τὰ ἔχει· ἡ γέννησις αὐτῆς φόβος· ὁ θάνατος φόβος· ἡ ζωὴ φόβος· τὰ μετὰ θάνατον ἄρρητα καὶ ἀδιήγητα· λοιπὸν μετοικῆσαι ὀφείλεις· καὶ ἄνω ἐν ταῖς πύλαις τοῦ οὐρανοῦ πῆξαι σεαυτῷ σκηνήν, καὶ ἐκεῖ κατὰ μόνας διάξαι καὶ δέεσθαι τοῦ Θεοῦ μέχρι θανάτου, ἵνα εὐμενῶς προσδέξηταί σε καὶ ἀνοίξῃ σοι ἐν καιρῷ ταχέως. Κάτω ἐπὶ γῆς κλινάτω τὸ σῶμα γόνυ τῷ Θεῷ· καὶ ἄνω ἡ ψυχὴ παρακαλείτω διὰ παντός· ἐλθέτω κατὰ σὲ ἡ κτίσις ἡ μέλλουσα· βέλτιον τὰ κακὰ τῆς μελλούσης ἢ τὸ ἀγαθὰ τῆς παρούσης λογίζεσθαι· ἐκεῖνα γάρ σοι φόβον Θεοῦ προξενεῖ, ταῦτα δὲ καὶ τὸν ὄντα συλᾷ ἐν τοῖς πνευματικοῖς πράγμασι. Φροντίσωμεν αὐτῶν ἀδελφέ, μνήσθητι τῶν ἁμαρτιῶν σου, καὶ τῆς κρίσεώς σου· ἄφες τὸν κόσμον τὸν πλάνον καὶ ἀπατεῶνα, καὶ μὴ θαρρεῖς τοῦ λόγου σου ὡς ἀθάνατον· μνήσθητι ὅτι ἄνθρωπος εἶ θνητὸς καὶ ἀσθενὴς καὶ ταλαίπωρος· ῥυπαρὸς καὶ ἀκάθαρτος· μνήσθητι ὅτι ἄνθρωπος εἶ, διάγων εἰς κόσμον θλιβερὸν καὶ γεμάτον ἀπὸ παγίδας καὶ ματαιότητας· πολλοὺς ἀπέκτεινε καὶ ἀπολεῖ ὁ πλάνος κόσμος, ἀγαπητὲ καὶ παμφίλτατε, καὶ καλοὺς καὶ κακούς, καὶ σοφοὺς καὶ ἀσόφους, καὶ πλουσίους καὶ πένητας. Μνήσθητι πόσα προσέκρουσας τῷ Θεῷ, ἐν ἔργοις, ἐν πράξεσιν, ἐν λόγοις, καὶ ἐνθυ-

« ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ »
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ
ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΚΔΙΔΟΜΕΝΟΝ ΕΝ ΒΟΛΩ

**Γραφεῖα καὶ τυπογραφεῖα : Κοραῆ 47**

***ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ***

| | | |
|---|---|---|
| **Ἐσωτερικοῦ** | **δρ.** | **100** |
| **Ἐξωτερικοῦ** | **σελίνια** | **7** |
| **Ἀμερικῆς** | **δολλ.** | **2** |
| **Τὸ τεῦχος** | **δρχ.** | **10** |

Ἐπιστολαὶ συνδρομαὶ καὶ δωρεαὶ ἀποστέλλονται πρὸς τὸν κ. Σωτ. Σχοινᾶν - Κοραῆ 47 Βόλον.

**Χειρόγραφα δημοσιευόμενα ἢ μή, δὲν ἐπιστρέφονται.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μήμασι, λόγισαι πόσαι εἰσὶν εἰς τὸν ᾅδην ψυχαί, ὅτι κατεφρόνησαν τοῦ φόβου τοῦ Θεοῦ καὶ τῆς μακροθυμίας. Μνήσθητι ὅτι εἰς ὀλίγον καιρὸν θέλεις ἀποθάνει· καὶ θέλεις κριθεῖ.

— Ὁ θέλων ἄμωμος εἶναι ἐν ἔργοις καὶ λόγοις καὶ ἐνθυμήμασι, τί ἄλλο πράττειν ὀφείλει, εἰμὴ διὰ παντὸς ἡσυχάζειν καὶ εὔχεσθαι καὶ σιωπᾶν, καὶ καταφρονεῖν ἁπάντων τῶν ἐπὶ γῆς.

— Εὔχομαι δέ σοι παρὰ Θεοῦ, φῶς καὶ ζωὴν καὶ ὑγείαν καὶ ἀνάπαυσιν, εὐλογίαν τε καὶ πάντα τὰ σωτήρια ἀγαθὰ καὶ τῆς δικαιοσύνης καὶ φιλανθρωπίας τὸν στέφανον· τὰ μεγάλα καὶ θαυμαστὰ καὶ ἀληθῆ καὶ αἰώνια.

## Συμβουλή

Μέγας πειρασμὸς ὁ βίος ἡμῶν ἀδελφέ, καὶ οὐδεὶς οἶδε· μέγας χειμὼν καὶ οὐδεὶς κατανοεῖ· δῶμεν λοιπὸν τῇ ἐνεργείᾳ τῶν παθῶν, καὶ τῇ ἐν ἡμῖν οἰκούσῃ ἁμαρτίᾳ, κατὰ τὸν Ἀπόστολον, δῶμεν τόπον τῇ σαρκὶ καὶ ταῖς ἐπιθυμίαις αὐτῆς· δῶμεν τόπον τῷ κόσμῳ καὶ ταῖς δυσχερείαις αὐτοῦ· δῶμεν τόπον ὅλοις τοῖς πειρασμοῖς, ὅλαις ταῖς θλίψεσι· μὴ βραδύνῃς εἰς τὰ αὐτόθι διὰ τὸν καλέσαντα Κύριον. (1)

## Πρὸς φίλον σου ἔπαινος τῆς αὐτοῦ ἐπιστολῆς

Ἐπιδοθέντος μοι εἰς τὰς χεῖρας τὸ ἱερὸν αὐτῆς καὶ σοφίας ἀνάπλεω, καὶ ἀναγνωσθέντος, καὶ ὡς ἐνεστί μοι θεωρήσαντι τὴν ἐγκειμένην σοφίαν καὶ δυσνόητον μέθοδον ἀγασθείς, καὶ τὸ τοῦ λόγου μέγεθος συνάμα καὶ κάλλος μετὰ καὶ συζυγίας δυσευρέτου, σαφηνείας τε ἀνεκφράστου καὶ πυκνότητος ἐνθυμημάτων καταπλαγεὶς ἐπὶ πολὺ ἑνὸς ὁ ἀεὶ τοιοῦτος ἐνέμεινα.

(1) Πρὸς τὸν Τυρνόβου διάδοχον

## Ἀδριανοῦ

— Φεῦ τῆς ἀσθενείας ἡμῶν καὶ βραχύτητος· μία συλλαβὴ σὲ ἐτάραξε; μία λέξις σὲ κατέπληξε; βραχεῖά τις προσβολὴ καὶ ῥῆμα ἀμυδρὸν κατέβαλέ σε; μέρος τι τῆς ὀρθότητος ἐθορύβησέ σε; λόγος ψιλὸς φίλου ἀκραιφνοῦς κατεκτύπησέ σε; ὢ τῆς ταλαιπωρίας ἡμῶν καὶ εὐθρύψεως· ὄντως μέγα ἄνθρωπος, καὶ οὐδὲν ἄνθρωπος, ᾤχετο ἀληθῶς τῆς ἀγάπης τὸ ἀκραιφνές· ἀπέσβη τὸ δίκαιον· λεληθάργηται ἡ ἀλήθεια καὶ οὐδὲν ἕτερον ὑποκρίσεως. Ἀλλ' ἔκκλινον εἰς ἡμᾶς κατὰ τὸν προφήτην, ποταμὸν εἰρήνης παρακαλῶ, καὶ ὡς χειμάρρους ἐπίκλυσον δόξαν τοῦ θείου σου ἐπαγγέλματος. (Ἡσαΐας ξϛ. ιβ).

## Πρὸς τοὺς ἀναισθήτως διακειμένους

Ὅτε Ἱεροβοὰμ μόσχων προσκυνῶν κατὰ κληρονομίαν πατρικήν, ἐπέστη προφήτης, καὶ τῷ βασιλεῖ καὶ τῷ λαῷ εἶπεν οὐδέν, εἰδὼς ὅτι ἀπειθὴς καὶ ὁ ἄρχων καὶ οἱ ἀρχόμενοι· ἐάσας δὲ τοὺς μὴ ἀκούοντας ἀνθρώπους, λέγει πρὸς τὸ θυσιαστήριον, τουτέστι πρὸς τὸν βωμόν, ἵνα δείξῃ οἱ λίθοι μᾶλλον ἀκούουσιν ἢ οἱ ἄνθρωποι· λέγει, γεννηθήτω Ἰωσίας καὶ τὰ ὀστᾶ τῶν θυόντων καύσει ἐπὶ τὸν βωμόν· ἐξήνεγκε τὴν ἀτιμίαν καὶ ἠγανάκτησεν ὁ ἐλεγχόμενος, δυνάμει ἥπλωσε τὴν χεῖρα ἵνα ἀναστρέψῃ τὸν εὐεργέτην, τὸν προφήτην· ἥπλωσε μέν, οὐχ ἠδυνήθη δὲ κάμψαι· ἡ γὰρ ἁμαρτία ἐξήρανε αὐτοῦ τὴν χεῖρα· φθέγγεται ὁ ἐκτείνας τὴν χεῖρα κρατῆσαι τὸν προφήτην καὶ ἅμα τῷ βοῆσαι ἰᾶται τὴν χεῖρα ὁ προφήτης· καὶ λέγει αὐτῷ ὁ βασιλεύς· ἄνελθε μετ' ἐμὲ εἰς τὸν οἶκον.

— Μέθη καὶ ἑαυτὴν ἀγνοοῦσα, καὶ τὰ ἀπὸ νηστείας ἀγαθὰ ἀγνοεῖ.

— Οὐκ ἔστιν ἐγκαλέσαι ὅπου ἐστὶ προαίρεσις, ἀλλ' ὅπου ἐντολή.

## Ἀπόκρισις πρὸς φίλον

Ὑπερβολὴν προαιρέσεως, μεγαλειότη-



τα διακρίσεως, ἀνηκούσης ὑπολήψεως, καὶ παρουσίαν παρίστημι (;) ἀληθείας τοιοῦτον σὲ γράφω· καὶ γὰρ ὅτι ὅσον μὲν εἰς ἐμέ, καὶ τοιοῦτος εἶ, καὶ μετὰ τοιούτων σὲ ἀριθμῶ· εἰδὲ ἀνάξιον σαυτὸν ἀποφαίνεις, ἐμοῦ μὲν φαίνεται ἡ τῆς διακρίσεως ὑπερβολή, εἰ καὶ σοβαρῶς πως ὁ λόγος, σοῦ δὲ ἡ ὑπερβολὴ τῆς μετριοφροσύνης καὶ ταπεινώσεως ἣν ἀσπάζεσθαι θέλων, ἀντ' εὐχάριστος καὶ ὑβρίζων ἡμῖν ἤδη ὤφθης, ἀλλὰ τῶν ἄλλων φθεγγόμενος, ἀγάπην ἀναιρῶν τῶν ἀρετῶν τὸ κεφάλαιον.

— Ὁ μὴ συμπάσχων τῷ Ἰησοῦ, οὐκ οἶδε τὸν Ἰησοῦν· ὁ ἀποκρουόμενος τὴν νηστείαν οὐκ οἶδε τὸν σταυρόν· ἕως πότε τὴν ἀλήθειαν παίζομεν; ἕως πότε τὰ τοῦ Κυρίου πραγματευόμεθα;

— Δεῖ γὰρ πρῶτον γνῶναι ἐν οἷς ἐσμέν, καὶ τότε διακρίνειν τὰ καθ' ἡμᾶς.

— Τρικέφαλε Βεελζεβούλ· ἔκπτωμα τῶν ἀγγέλων, κατάγελως τῶν ἁγίων· ἀσθενὴς καὶ ἀπόκρυφε τοῦ φωτός· ἕως πότε μὲ πειράζεις;

(Ἀκολουθεῖ)

---

ΙΩ. ΣΠΑΘΑΡΗ ΚΑΘΗΓΗΤΟΥ

## ΧΑΙΡΕ ΟΛΚΑΣ ΤΩΝ ΘΕΛΟΝΤΩΝ ΣΩΘΗΝΑΙ

Ὁ τὸ πρῶτον ἀπὸ μακρὰν κατοπτεύων τὴν ἀλίμενον τοῦ ἁγίου Ὄρους ἀκτήν, νομίζει ὅτι βλέπει πλοῖον εὐρύχωρον, τὸ ὁποῖον ἀσφαλῶς ἀγκυροβολημένον ὑπὸ τὴν εὐχὴν τῆς πίστεως, φέρει ἐκείνους οἱ ὁποῖοι διὰ παντὸς εἰπόντες χαίρειν εἰς τὸν κόσμον κατέφυγον ἐκεῖ διὰ νὰ σωθοῦν ἀπὸ τὰς τρικυμίας καὶ τὴν παραζάλην τοῦ βίου. Εἶπα ὅτι παριστάνει ὁλόκληρος ἡ χερσόνησος πλοῖον καὶ μάλιστα πλοῖον φορτηγόν, ὁλκάδα, τὸ ὁποῖον ἀντέχει περισσότερον εἰς τοὺς κλυδωνισμοὺς τῆς θαλάσσης, καὶ δι' ἄλλους λόγους καὶ διότι ἔχει καταφύγει εἰς τὸν λιμένα τὸν ἀσφαλῆ τῆς σωτηρίας, ὁ ὁποῖος παρέχει εὔκολον πλέον τὴν διάβασιν εἰς τὴν χώραν τὴν ὀνειρευτὴν τῆς μακαριότητος, ὅπου ἀποβλέπει ὁ χριστιανὸς καὶ μάλιστα ἐκεῖνος ὁ ὁποῖος, μὴ συσχηματιζόμενος μὲ τὰ στοιχεῖα τοῦ αἰῶνος τούτου καὶ μηδὲν ἄλλο μέλημα ἔχων εἰμὴ τὴν ἐκτέλεσιν τοῦ ἡρωϊκοῦ ἄθλου τῆς ἀσκήσεως κατὰ τὸ παράγγελμα τοῦ Σωτῆρος «ὁ δυνάμενος χωρεῖν χωρείτω», ἀναλαμβάνει μὲ πρόθυμον τοῦ νοῦ καὶ τῆς καρδίας διάθεσιν, τὴν στράτευσιν καὶ ὑποβάλλεται εἰς τοὺς δεινοὺς μόχθους κατὰ τοῦ σαρκίου, ὑπωπιάζων αὐτὸ καὶ ὑποτάσσων ὑπὸ τὴν κηδεμονίαν τὴν ἄγρυπνον παραδειγμάτων σιωπηλῶν μέν, ἀλλ' αὐστηρῶν ἐν τῇ τοῦ ἀγῶνος τοῦ καλοῦ ἐξυπηρετήσει. Τοιαύτας βεβαίως σκέψεις ἀκουσίως διανοεῖται ὁ πιστὸς χριστιανός, ὅστις ἀποθαυμάζων τὴν ἀρετὴν τῶν μοναχῶν τῶν ἐνοικούντων ἐν τῷ ἁγίῳ Ὄρει, δέχεται εἰς τὸν νοῦν του τὰς ἀναπολήσεις ἐκκλησιαστικῶν ὕμνων, οἱ ὁποῖοι ἐπὶ τὸ πανηγυρικώτερον ψάλλουν τὴν χαρὰν τοῦ ἀνθρώπου διὰ τὴν ἀπολύτρωσιν τῆς ψυχῆς του ἀπὸ τοῦ παρόντος κόσμου, πολὺ δὲ περισσότερον ἀπὸ κινδύνων ψυχικῶν. Ἀλλὰ δὲν εἶναι δυνατὸν νὰ μείνῃ ἀσυγκίνητος ὁ ἐπισκέπτης καὶ ἀπὸ τὰς φυσικὰς καλλονάς, τὰς ἀφθόνως διασκορπισθείσας ὑπὸ τοῦ Δημιουργοῦ εἰς τὸ ἁγιώνυμον Ὄρος, θὰ ἔλεγε κανείς, ἐπίτηδες διὰ νὰ τονίζῃ ὁ ἄνθρωπος ὕμνους πρὸς ἔξαρσιν τῶν θαυμασίων τοῦ Θεοῦ.

Ηὐτύχησα κατὰ δύο συνεχεῖς θερινὰς διακοπὰς ἐφωδιασμένος μὲ θερμὴν συστατικὴν ἐπιστολὴν τοῦ πεπνυμένου Ἱεράρχου ἡμῶν Ἁγίου Δημητριάδος κ. κ. Ἰωακεὶμ νὰ μεταβῶ πρὸς ἐπίσκεψιν τῆς κιβωτοῦ αὐτῆς τοῦ χριστιανι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σμοῦ, συνοδευόμενος ὑπὸ εὐσεβοῦς συνοδοῦ, τοῦ κ. Σωτηρίου Βραχνοῦ, ἀξιωματικοῦ ἐν πολεμ. διαθεσιμότητι, ὁμολογῶ δὲ ὅτι ἂν καὶ παρῆλθον ἔκτοτε δύο ὅλα ἔτη, μένω τρόπον τινὰ ἔκθαμβος, τόσον ἐκ τῶν συνηθειῶν, τῶν μὴ ἀπαντωσῶν εἰς τὴν κατὰ κόσμον Ἐκκλησίαν, ὅσον καὶ ἐκ τῶν ἐκπάγλων μεγαλείων, τὰ ὁποῖα θὰ ἔλεγε κανεὶς ὅτι ἐπίτηδες ἡ φύσις ἐπεδαψίλευσεν εἰς ἐκείνους οἱ ὁποῖοι, ἀγωνιζόμενοι τὸν εὐγενέστερον τῶν ἀγώνων, ἔχουσιν ἀνάγκην ἀναψυχῆς εἰς τὴν μακρὰν ἐπὶ τῆς γῆς σταδιοδρομίαν, ἥτις κατ' αὐτὸν τὸν τρόπον διανυομένη οἱονεὶ μετ' ἐναλλαγῶν ψυχικῶν θλίψεων καὶ ἐξάρσεων, παρουσιάζει τὴν ποικιλίαν, περὶ ἧς ἡ ψυχολογία ἀναφέρει ὅτι τέρπει (variatio delectans).

Ἦτο πρωΐα τοῦ μηνὸς Ἰουλίου, ὁπότε τὸ πλοῖον τὸ μετακομίζον ἡμᾶς εἰς τὸν τόπον τοῦ προσκυνήματος ἔφθασε καὶ ἡμεῖς μόλις ἐκ τοῦ ὕπνου ἐγερθέντες ἐβλέπομεν ἀμυδρῶς διαγραφομένας, δίκην περιστερεώνων, ἐπὶ τῶν βράχων θεμελιωμένας μονάς· ἐτρίβομεν τὰ μάτια μας ἀπὸ τὸ θέαμα τὸ ὁποῖον ἐξετυλίσσετο· σκῆται, κελλία, μοναί, μονύδρια ἀνεδύοντο ἀπὸ τοῦ πρασίνου τῆς χλωρίδος, οἱονεὶ πρόσκοποι, ἀναγγέλοντες τοὺς θησαυροὺς τοὺς ἀνεκτιμήτους ἀπὸ ἀπόψεως ὠφελείας πνευματικῆς καὶ ἠθικῆς, τοὺς ὁποίους ὁ προσεκτικὸς προσκυνητὴς ἀντλεῖ, εὐλογῶν τὴν εὐτυχῆ συγκυρίαν, ἥτις τοῦ παρέσχε τὰ μέσα τῆς ἐκτελέσεως τοῦ πόθου του, ὅσον καὶ τὴν ἔμπνευσιν, ἥτις ὡδήγησε τὰ βήματά του εἰς τὴν ὁλκάδα αὐτὴν τῆς σωτηρίας. Ναί, δὲν εἴχομεν κακῶς ὑπολογίσει, ὅταν ἐσχεδιάζομεν μετὰ τοῦ εὐγενοῦς συνεκδήμου νὰ ἐπιτελέσωμεν τὸ προσκύνημα αὐτὸ μὲ τὴν πεποίθησιν ὅτι καὶ τὴν ψυχήν μας θὰ ἐξωραΐζομεν καὶ τὸν νοῦν μας θὰ ἐπλουτίζομεν ἀποβαίνοντες κρείττονες ἢ ὅσον εἴμεθα πρίν. Ἡ ἀπόφασίς μας πλέον ἐλάμβανε σάρκα καὶ ὀστᾶ ἀφοῦ εἴχομεν φθάσει εἰς τὸ τέρμα πολυημέρου ταξειδίου, ὅπου μᾶς ἀνέμενον οἱ φιλόξενοι μοναχοὶ διὰ νὰ μᾶς δώσουν δείγματα τῆς ὑπομονῆς των, τῆς ἀνεξικακίας καὶ τῆς ἐν παντὶ ἀρετῆς των, πράγματα τὰ ὁποῖα διέψευδον τὴν ἐν τῷ κόσμῳ ἰδιοτελῆ ἢ ὑλόφρονα κρατοῦσαν περὶ αὐτῶν ἀντίληψιν.

Μὲ τοιαύτας προσδοκίας ἐτινάξαμεν τὸν νυσταγμὸν τῶν βλεφάρων καὶ ταχεῖς μὲ τὴν εὐγενῆ καὶ ἁβρόφρονα ἐκ μέρους τοῦ ἀστυνομικοῦ σταθμάρχου θεώρησιν τῶν πιστοποιητικῶν μας ἐπατοῦμεν μὲ βαθεῖαν συγκίνησιν καὶ κατάνυξιν τὸ ἱερὸν ἔδαφος τῆς μοναχικῆς πολιτείας, ἥτις ὡς ἀγαθὴ κουροτρόφος, μυριάδας τῆς πίστεως ἀγωνιστὰς εἰς τὰ σεμνεῖα καὶ φροντιστήρια τῆς ἀρετῆς ἐξέθρεψεν. Ἐὰν τὰ ἱδρύματα τῆς κατὰ κόσμον ἀρετῆς ἐρειπιοῦνται, μὴ ἀφήνοντα οὔτε τὸ ὄνομα πολλάκις ἐκείνων, οἱ ὁποῖοι τὰ ἔκτισαν, τὰ μνημεῖα τῆς ἀρετῆς τῆς ἁγιωνύμου πολιτείας θὰ μένωσιν αἰώνια χαράσσοντα ὁδόν, διὰ τῆς ὁποίας θὰ δυνηθοῦν ἀσφαλῶς νὰ διαβοῦν ὅσοι ἔχουν τὸν νόμον τὸν χριστιανικὸν ἐγγράψει εἰς τὰς καρδίας αὐτῶν· καὶ πράγματι ἐκεῖ κυβερνᾷ ἀπ' ἄκρου εἰς ἄκρον τὸ Σταυροφόρον σημεῖον, ἡ Καθέδρα, κατὰ τὸν ἱερὸν Αὐγουστῖνον, τῆς πραγματικῆς σοφίας, ὅπερ δι' ἡμᾶς εἶναι καὶ Θεοῦ δύναμις.

Γαλήνην καὶ ἠρεμίαν ἀνταξίαν τῆς πολιτείας ἀντικρύζεις, ἅμα τῇ ἀποβιβάσει σου· λείπουν αἱ κραυγαὶ καὶ αἱ ἐπικλήσεις τῶν λεμβούχων, αἱ ὁποῖαι ἀναστατώνουν τοὺς ἄλλους λιμένας· Εἰς τὴν ἀποβάθραν θὰ ἴδῃς βέβαια κίνησιν καὶ μάλιστα τὰς μορφὰς τῶν εἰρηνικῶν σ ι ρ δ ά ρ η δ ω ν, κλητήρων τοῦ ἁγίου Ὄρους, ἀλλὰ εἰς αὐτοὺς θὰ ἴδῃς ἐπικεχυμένην τὴν ὀλύμπιον μεγαλοπρέπειαν, μετὰ τῆς σοβαρότητος τῆς μοναστικῆς, ἥτις συνδυάζει τὴν προθυμίαν πρὸς διευκόλυνσιν εἰς πᾶν ὅ,τι ἀφορᾷ τὴν περαιτέρω διαμονὴν μετὰ τοῦ ἀκάμπτου ὡς πρὸς τὴν παράβασιν τῶν αἰωνοβίων καταστατικῶν καὶ θεσμῶν, ὧν αὐτοὶ ἐν συνειδήσει τῆς ὑψηλῆς των ἀποστολῆς, ἐτάχθησαν ἀκοίμητοι φρουροί. Ἐγγηράσαντες ἐν τῇ ἀστυνομικῇ ὑπηρεσίᾳ, μὲ ὄμμα ἐξησκημένον, περιφέρουν τὴν προσεκτικήν των ἐπιτήρησιν εἰς τοὺς νεωστὶ ἀποβιβαζομένους, τύποι μὲν πλέον ἁπλοῖ, μετὰ τὴν ἐγκαθίδρυσιν κρατικῶν ὀργάνων ἐν ἁγίῳ Ὄρει, ἀλλὰ σκοποὶ μακραίωνος πολιτισμοῦ καὶ παραδόσεως, πρὸς ἣν ἔχουν ἀφομοιωθῆ μετὰ μακρὰν ἐκ νεότητος καὶ ἐν ἀντιξόοις ἐθνικαῖς περιστάσεσι ὑπηρεσίαν των.

Μόλις ὁ ἥλιος διαλύσῃ τὴν πυκνὴν πρωϊνὴν ἀχλύν, ἡ ὁποία ὡς βαρεῖα σινδὼν ἐπικάθηται ἐπὶ τὰ ὑψηλότερα μέρη τοῦ ἁγίου Ὄρους, καὶ ἣ ἀποκρύπτει ἐν μέρει τὰς ἀναρριχωμένας εἰς τοὺς ἀποκρήμνους βράχους μονάς, ἢ καὶ ὡς πέπλος παχὺς τελείως ἐξαφανίζει ἀπὸ τῶν ὀμμάτων τοῦ θεατοῦ τὸ ἐκτυλισσόμενον πανόραμα, τότε μένεις ἐνεὸς πρὸ μιᾶς φαντασμαγορικῆς εἰκόνος τῆς ὁποίας τὴν πολυχρωμίαν σοῦ ἐπέρχεται νὰ παρομοιάσῃς πρὸς τὰς μικρὰς εἰκόνας τοῦ καλειδοσκοπίου. Καὶ ὅμως καὶ αὐτὴ ἡ γονιμωτέρα φαντασία δὲν εἶναι δυνατὸν νὰ συλλάβῃ ἀνταξίως τῆς μεγαλοπρεπείας της καὶ πολὺ ὀλιγώτερον νὰ παραστήσῃ διὰ λόγων τὴν ἀδέλφωσιν τῆς χλωρίδος καὶ τοῦ φωτός, τὸ ὁποῖον, δίκην ψυχῆς, δίδει ζωὴν εἰς τὴν ὀργανικὴν καὶ ἀνόργανον φύσιν, καὶ μὲ τὰ παιγνίδιά του μεταρσιώνει τὸν νοῦν, καὶ ἐξαγνίζει τὴν ψυχὴν ἀπ' αὐτοῦ τοῦ ἀτμοπλοίου, τοῦ προσκυνητοῦ, ὅστις ἐκ προοιμίου μαντεύει τίνας ἀπολαύσεις ψυχικὰς καὶ πνευματικὰς μέλλει νὰ γεννήσῃ εἰς τὸν τοῦ ἔσω ἀνθρώπου κόσμον καὶ μὲ τίνας νέας ἀπόψεις περὶ τῆς ζωῆς θὰ προικίσῃ τὴν ἀπόφασιν διὰ τὴν καλυτέρευσίν του εἰς τὸν κοινωνικὸν ἀγῶνα ἡ μετὰ τῶν μοναχῶν ἐπαφή. Εἶναι πλέον ἡ 6η πρωϊνή, ὁπότε καθήμενοι εἰς τὸ μοναδικὸν καφενεῖον καὶ ἅμα πανδοχεῖον τοῦ ἐπινείου τοῦ ἁγίου Ὄρους τῆς Δάφνης, ἀνταλλάσσομεν γνώμας μετὰ τῶν ἐκ τῶν μονῶν κατελθόντων δι' ὑποθέσεις των καλογήρων, οἵτινες ἐκ πρώτης ὄψεως μᾶς φαίνονται τόσον πρόθυμοι καὶ διαχυτικοὶ ὡσὰν νὰ μᾶς ἐξεμυστηρεύοντο τὸν μύχιον πόθον, τὸν ὁποῖον πολλάκις ἠκούσαμεν διατυπούμενον ὑπὸ τύπον εὐχῆς, ὅτι θὰ ἤθελον νὰ ἔβλεπον, ὅσον τὸ δυνατὸν περισσοτέρους ὁμοεθνεῖς των, προσθέτοντας διὰ τῶν ἐντυπώσεών των, ἔστω καὶ μικρὰν συμβολὴν εἰς τὴν ἐνίσχυσιν τὴν ἠθικήν, ἣν καὶ πολὺ δικαίως ἀναμένουν παρ' αὐτῶν, μὲ τὴν ἀντίληψιν ὅτι δίδουν πτερὰ εἰς τοὺς ἀνθρώπους ἐκείνους, οἱ ὁποῖοι ἐλαυνόμενοι ὑπὸ θερμουργοῦ ζήλου ἐγκατέλειψαν τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ, ἵνα περιβαλλόμενοι τὴν χλαμύδα τοῦ στρατιώτου τῆς πίστεως, ἐπιτελέσουν τὴν ἀποστολήν, ἣν ἐθεώρησαν ἀπό τε θρησκευτικῆς καὶ ἐθνικῆς ἀπόψεως, ὡς ἀποτελοῦσαν τὴν πρωτοπορίαν πάσης εὐγενοῦς ἐμπνεύσεως. Καὶ δὲν εἶναι ἄμοιρος σημασίας ἡ ἀντίληψίς των, ὅταν βλέπῃ κανεὶς κατὰ καραβάνια τοὺς ἀλλοεθνεῖς ἐπισκέπτας νὰ πυκνώνουν τὰς τάξεις τῶν προσκυνητῶν, ἐκκινούντων πολλάκις ἀπὸ χώρας μακρυνάς, ὑποβαλλομένους εἰς κόπους ἀνεκδιηγήτους καὶ δαπάνας οὐ σμικράς, διὰ νὰ ἴδουν καὶ παρακολουθήσουν ἰδίοις ὄμμασι τὸν βίον τὸν μοναστικὸν τῆς ὀρθοδόξου Ἐκκλησίας ἐν ὅλῃ αὐτοῦ τῇ μεγαλοπρεπείᾳ, ν' απο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θαυμάσουν τὰς τελετάς της καὶ νὰ σχηματίσουν ἔστω καὶ ἀμυδρὰν ἰδέαν ἐφ' ὅσον εἶναι ἀλλόδοξοι, ἐν ἑνὶ λόγῳ, τοῦ μοναχικοῦ καθεστῶτος, τὸ ὁποῖον ἀποτελεῖ παράδειγμα θεσμοῦ αἰωνοβίου ἐν τῇ ὑπ' οὐρανὸν ἀπαραλλάκτως καὶ ὁμοιομόρφως διατηρηθέντος ὡς καὶ κατὰ τὰς πρώτας ἡμέρας τῆς συστάσεώς του. Ἀλλὰ μὴ μόνον τοῦτο συνέχει τὸν ἀπὸ ἐκπλήξεως εἰς ἔκπληξιν μεταπίπτοντα χριστιανὸν ὅταν ἔρχεται εἰς ἐπαφὴν μὲ τὸν διάφορον αὐτὸν κόσμον, νέον τόσον τὰς συνηθείας, ὅσον καὶ τὰς σκέψεις καὶ τὰς ἀρχάς· εἶναι καὶ τὸ ἀσύγκριτον θαῦμα τῆς περιβαλλούσης φύσεως, διὸ καὶ εὐλόγως ἡ παράδοσις ἡ μοναστικὴ ἀποβλέπουσα, τόσον εἰς τὰ ἠθικὰ προσόντα τὰ ἐμφωλεύοντα εἰς τοὺς εὐγενεῖς παροίκους, ὅσον καὶ εἰς τὴν ἄφθονον διάχυσιν τῶν δώρων τῆς φύσεως ἐπωνόμασε τὸν ἁγιώνυμον τοῦτον τόπον «περιβόλι τῆς Παναγίας». Καὶ θὰ μείνουν ἀνεξίτηλοι ἀπὸ τὴν μνήμην μας, ἐφ' ὅσον ἀναπνέομεν καὶ ἐλπίζομεν ἐπὶ κρείττονα βίον, ἐλπίδα τὴν ὁποίαν μετουσιώνει καὶ καθιστᾷ πραγματικότητα ἡ μετὰ τῶν μοναχῶν ἐπικοινωνία, ἡ διαφάνεια καὶ καθαρότης τοῦ ὁρίζοντος πρὸς τὸν ὁποῖον κατευθύνεται τὸ βλέμμα διακρῖνον τὰς νήσους Θάσον, Λῆμνον καὶ Σαμοθράκην ὡς εὐλαβεῖς ἀπὸ τῆς θαλάσσης ἀναδυομένας μυροφόρους, αἱ ὁποῖαι ἐπιπλέουν τρόπον τινὰ τείνουσαι τὰς ἀγκάλας των καὶ δορυφοροῦσαι τὸν ἱερὸν τόπον, τοῦ ὁρίζοντος, ὅστις ἐπιστέφει τὰ παιγνίδια τοῦ φωτὸς μὲ τὴν χλωρίδα, ἡ ὁποία ἀφήνεται νὰ γηράσκῃ καὶ διαρκῶς ν' ἀνανεώνηται, οὕτω συμβολίζουσα τὸν θάνατον καὶ τὴν ζωήν, τὰ ὁποῖα ἐν στενῇ συζυγίᾳ εὑρίσκουν, τόσον τὴν ἔκφρασίν των εἰς τὸν δραματικὸν ἀγῶνα τῆς ἀνθρωπίνης ὑπάρξεως, τὴν ὁποίαν διάγουν οἱ ζωντανοὶ νεκροὶ τοῦ ἁγίου Ὄρους. Ὅσον ἀμύητος καὶ ἂν εἶσαι εἰς τὰ θαύματα τῆς κοσμογονίας, ὅσον καὶ ἂν αἱ γνώσεις δὲν σὲ βοηθοῦν εἰς τὸ νὰ ἐμβαθύνῃς εἰς τὴν ἀπερίγραπτον τοῦ περιβάλλοντος μαγείαν, δὲν θὰ διαφύγουν τὸ γοητευμένον βλέμμα σου, οὔτε τὰ ὑψηλὰ καὶ εὐθέα τῶν κυπαρίσσων λαμπαδόκορμα στελέχη, οὔτε τῶν κέδρων καὶ τῶν ἐλάτων τὰ ἀμφιλαφῆ φυλλώματα οὔτε τῶν μυριάδων κομάρων ἡ χαρακτηριστικὴ ἀπόχρωσις, ἡ ὁποία χύνει βάλσαμον ἀνακουφίσεως καὶ σοῦ παρουσιάζει καὶ αὐτὰ τὰ χρονικὰ ὅρια τῶν ἀποστάσεων καὶ τοῦ καμάτου, συντομευόμενα ἀνεπαισθήτως, πρᾶγμα παράδοξον καὶ φαινόμενον, τοῦ ὁποίου ἡ ἐξήγησις μόνον ἀπὸ τὸν ὁδοιπόρον τοῦ ἁγίου Ὄρους ἠμπορεῖ νὰ δοθῇ.

Βλέπεις τὰ μακρὰ μονοπάτια σκιαζόμενα ἀπὸ πληθὺν θάμνων συστρεφομένων ὑπεράνω τῆς κεφαλῆς σου τόσον, ὥστε πολλάκις ἐκτείνεις ἀπὸ τοῦ ζώου τὴν ῥάβδον διὰ νὰ τοὺς ἀπομακρύνῃς, ἐνῷ κάτωθέν σου τὸ ζῷον πατεῖ ἐπάνω εἰς πυκνότατον στρῶμα φύλλων ὡς τάπητα διευκολύνοντα τὸν δρόμον σου, ἀπορεῖς δὲ μὲ τὴν ὀργιαστικὴν βλάστησιν, ἡ ὁποία ἁπλώνεται ὁλόγυρά σου μὲ μυριάδας δένδρων, τῶν ὁποίων ἡ ἀπαρίθμησις καὶ ἡ περιγραφὴ βιβλία ὅλα ἤθελε πληρώσει, ὅλων ὅμως τούτων κυριαρχεῖ ἡ καστανέα γεμίζουσα τοὺς λόγγους, τὰς κοιλάδας καὶ τὰς φάραγγας, βάθους πολλάκις ἑκατοντάδων μέτρων. Δὲν εἶναι δὲ ἀσύνηθες πολλάκις τὰ καταπεσόντα ἀπὸ τῶν δένδρων φύλλα νὰ σχηματίζουν μὲ τὰ ἐπὶ τῶν κλιτύων τῶν χαραδρῶν δένδρα τόσον παχὺ στρῶμα, ὥστε νὰ συγχέηται ἡ ἀτραπὸς, δι' ἧς διέρχεσαι καὶ ἕνα ἔμφυτον αἴσθημα τρόμου σὲ ἀναγκάζει νὰ κλίνῃς, πρὸς τὸν ἐπὶ τῆς ἑτέρας πλευρᾶς βράχον ἠφράκτην ἑτοιμαζόμενος πρὸς ἅλμα εἰς πᾶσαν πρόσκρουσιν τοῦ ζώου καὶ νὰ κρεμασθῇς ἀπὸ τοὺς θάμνους ὡς ἄλλος Ἀβεσσαλὼμ ὑπεράνω τοῦ χαίνοντος κρημνοῦ, τοῦ ὁποίου τὸ βάθος οὔτε νὰ καταμετρήσῃς ἠμπορῇς, οὔτε καὶ νὰ ἐνατενίσῃς τολμᾷς ἐκ τοῦ ἰλίγγου ὅστις σὲ συνέχει καθ' ὅλην τὴν διαδρομὴν τῶν τοιούτων ἐπισφαλῶν ἀτραπῶν. Ἀναθαρρῶν ὅμως ἀπὸ τὴν διάχυτον εὐλογίαν τῶν προσευχῶν μὲ ἀκατανίκητον πεποίθησιν ὁλονὲν ἀνανεουμένην, βαδίζεις πρὸς τὰ ἐμπρὸς ἀνακαλῶν εἰς τὴν φαντασίαν σου τοὺς θησαυροὺς τοὺς φιλολογικούς, ἱστορικοὺς καὶ τελετουργικούς, οὓς σοὶ ἐπιφυλάσσει ἡ φιλόξενος στέγη τῆς μονῆς, εἰς τὴν ὁποίαν δὲν θ' ἀργήσῃς μετὰ ἐξάωρον, τὸ πολὺ δρόμον νὰ καταλύσῃς, τῶν ὑψηλῶν της πύργων προβαλλόντων τὸ ὕψος των οἱονεὶ εἰς χαιρετιστήριον προϋπάντησιν.



## ΕΡΜΗΝΕΙΑ ΤΟΥ ΧΕΡΟΥΒΙΚΟΥ ΥΜΝΟΥ

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, ἑρμηνεύοντες κατὰ τὸ δυνατὸν καὶ τὰς λοιπὰς προτάσεις τοῦ Χερουβικοῦ Ὕμνου, τελειώνοντες τὸν λόγον. «Πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν»· διὰ τί; Διότι θὰ ὑποδεχθῶμεν τὸν Βασιλέα τῶν ὅλων· «ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι»· Βασιλεὺς δὲ τῶν ὅλων εἶναι μόνον ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅστις εἶναι Βασιλεὺς οὐ μόνον τοῦ οὐρανοῦ, ἀλλὰ καὶ ἁπάσης τῆς γῆς. «...ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς» (Ματθ. κη'. 18). «Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν»· θὰ ὑποδεχθῶμεν τὸν Βασιλέα τῶν ὅλων, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅστις δορυφορεῖται ἀοράτως ὑπὸ τῶν ἀγγελικῶν τάξεων.

Ἐξέρχεται δηλαδὴ καὶ εἰσέρχεται ἐν μεγαλοπρεπεῖ ἀγγελικῇ παρατάξει. Ἡ ὑποδοχή, ἀγαπητοί, εἶναι βασιλική· διὰ τοῦτο εἶναι ἀνάγκη καὶ ἡ τάξις νὰ ἦναι μεγαλοπρεπής. Ἐάν τις βασιλεὺς ἐπίγειος προκηρύξῃ, ὅτι βούλεται νὰ ἐπισκεφθῇ πόλιν τινά, ὁποία παράταξις, ὁποία προετοιμασία, ὁποία ὑποδοχὴ θέλει προετοιμασθῇ; αἱ ὁδοὶ ἑκατέρωθεν θέλουν στολισθῇ, τὰ δάπεδα θέλουν καταστρωθῇ ἀπὸ δάφνας καὶ ἄλλα εὐώδη ἄνθη, τὰ ἱπποδρόμια καὶ τὰ πεζοδρόμια ἐν παρατάξει, σμῆνος δὲ ἀνθρώπων ὅλων τῶν τάξεων ἀναμένει. Αἴφνης ἔκρουσεν ἡ εἰδοποιητήριος σάλπιγξ καὶ ἐν τῷ ἅμα παρετάχθησαν τὰ στρατεύματα ὅλα ἐν τάξει· καὶ ἰδοὺ φθάνει ὁ βασιλεύς, δορυφορούμενος ὑπὸ πληθὺν στρατιωτικῶν παρατάξεων καὶ πάντες ὑποδέχονται αὐτὸν ἀξιοπρεπῶς, κλίναντες ἀσκεπεῖς τὰς κεφαλὰς αὐτῶν· πᾶς ὁ λαὸς προσκυνεῖ τὸν ὑποδεχθέντα βασιλέα. Ἐὰν λοιπὸν εἰς τὸν φθαρτὸν καὶ ἐπίγειον βασιλέα γίνεται τόση μεγαλοπρεπὴς ὑποδοχή, ὅστις μόλον ὅπου δὲν γνωρίζει τὰς καρδίας τῶν ὑπηκόων του, ἀλλὰ μόνον τὸν ἐξωτερικὸν σεβασμὸν βλέπει, πόσον μεγαλοπρεπὴς ὑποδοχὴ πρέπει νὰ γίνεται ἐκ μέρους ἡμῶν πρὸς τὸν Βασιλέα τῶν ὅλων, ὅστις εἶναι Θεὸς φοβερὸς καὶ γνωρίζει καὶ τὰ ἀπόκρυφα τῆς καρδίας ἡμῶν; κρίνατε. Ἀλλ' αὐτὸς ἐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

χει παράταξιν οὐρανίων Ἀγγέλων «ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν». βεβαίως· ἀλλ' ἡμεῖς ὡς δοῦλοι γνήσιοι, ἔχοντες τόσην σχετικότητα πρὸς αὐτόν, πόσην εὐγνωμοσύνην ὀφείλομεν; Ποία δὲ εἶναι ἡ σχετικότης, ἥτις μᾶς συνδέει τόσον σφιγκτὰ μετ' αὐτοῦ; Ἀναρίθμητα εἶναι ἀγαπητοί, τὰ εὐεργετήματα Αὐτοῦ πρὸς ἡμᾶς. Ἄς εἴπωμεν δὲ μερικὰ ἐν συντομίᾳ διὰ νὰ ἐφελκύσωμεν καὶ αὐτὰς τὰς σκληρὰς καρδίας πρὸς τὴν ἀγάπην τοῦ Μεγάλου τούτου εὐεργέτου τοῦ οὐρανίου Πατρὸς ἡμῶν· Καὶ α'.) εἶναι τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν Αὐτοῦ, τὰ ὁποῖα μᾶς ἔδωσε· β) εἶναι ἡ ἀναγέννησις καὶ ἐξαγόρασις ἡμῶν ἐκ τῆς δουλείας τοῦ διαβόλου· γ) εἶναι μεγάλη θυσία τοῦ Σταυρικοῦ θανάτου αὐτοῦ δι' ἧς θυσιάσας τὸν ἑαυτόν του, καὶ χύσας τὸ Πανάχραντον αἷμά Του, δι' οὗ ζωογονεῖ τὰ τέκνα τῆς Ὀρθοδόξου Ἐκκλησίας, ἀπαλάττων αὐτὰ τῆς αἰωνίου κολάσεως· δ) εἶναι ἡ υἱοθέτησις τὴν ὁποίαν ἐποίησε, ποιήσας ἡμᾶς τοὺς ἀχαρίστους καὶ παραβάτας τοῦ νόμου Του υἱοὺς καὶ κληρονόμους τῆς Βασιλείας Του· ε) εἶναι ἡ μεγάλη τιμὴ τὴν ὁποίαν μᾶς ἔδωσε, λαβὼν σάρκα ἀνθρωπίνην ἐκ τῶν παναχράντων αἱμάτων τῆς Παναγίας Παρθένου, καταδεχθεὶς νὰ γίνῃ υἱὸς ἀνθρώπου καὶ νὰ ὀνομασθῇ φίλος καὶ ἀδελφὸς ἡμῶν· «ὑμεῖς φίλοι μού ἐστε...» «Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί ἑστήκασιν ἔξω ἰδεῖν σε θέλοντες. Ὁ δὲ ἀποκριθεὶς εἶπε πρὸς αὐτούς. Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν». (Λουκ. η' 20, 21) στ) εἶναι ἡ ἐξύψωσις τῆς ἀνθρωπίνης φύσεως τὴν ὁποίαν λαβὼν ἀπὸ ἡμᾶς ἐθέωσε καὶ ἐξύψωσε μέχρι τοῦ θρόνου τοῦ Θεοῦ καὶ Πατρός, καθίσας ἐκ δεξιῶν Αὐτοῦ καὶ ἐντυγχάνων ὑπὲρ ἡμῶν· ζ) εἶναι ὁ νόμος τὸν ὁποῖον μᾶς ἔδωσεν ὁδηγὸν πρὸς σωτηρίαν ἡμῶν· η) εἶναι πάντα τὰ χαρίσματα μὲ τὰ ὁποῖα μᾶς ἐπροίκισε, δοὺς εἰς ἡμᾶς νοῦν καὶ λόγον καὶ ποιήσας ἡμᾶς βασιλεῖς καὶ ἐξουσιαστὰς πάντων τῶν ἐπιγείων κτισμάτων. Εἶνε ἐπὶ τέλους ἐν ἑνὶ λόγῳ, πάντα τὰ ἐπίγεια ἀγαθά, τὰ ὁποῖα ἀπολαμβάνομεν καὶ τὰ οὐράνια, τὰ ὁποῖα μέλλομεν ἀπολαῦσαι, ἐὰν τὸν ἀγαπήσωμεν καὶ τὰς ἐντολὰς Αὐτοῦ φυλάξωμεν, ὁπότε θὰ γίνωμεν υἱοὶ καὶ κληρονόμοι, καὶ θεοὶ κατὰ χάριν· «ἐγὼ δὲ εἶπα· θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες». (ψαλμ. ΠΑ'. 6) Ταῦτα δὲ πάντα τ' ἀνωτέρω ἐὰν ἀνεπτύσσοντο θὰ ἐχρειάζοντο ὁλόκληροι τόμοι, ἀλλὰ χάριν συντομίας παραλείπομεν τὴν ἀνάπτυξιν τούτων.

Αὕτη λοιπὸν ἀδελφοί, εἶναι ἡ σχετικότης, ἥτις μᾶς συνδέει τόσον σφιγκτὰ μετ' Αὐτοῦ· καὶ ταῦτα ἐν ὀλίγοις εἶναι τὰ εὐεργετήματα τὰ ὁποῖα ἐποίησεν ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ πρὸς ἡμᾶς τοὺς σκώληκας τῆς γῆς τοὺς ἀνθρώπους! Ἡμεῖς δὲ τί ὀφείλομεν ἀπέναντι τοιούτου φιλανθρώπου καὶ φιλοστόργου οὐρανίου Πατρός; ἀπέναντι τόσων εὐεργετημάτων, τόσης θυσίας Αὐτοῦ ὑπὲρ ἡμῶν;

Τόση δὲ εἶναι ἡ ἀγάπη καὶ ἡ συγκατάβασις τοῦ Οὐρανίου τούτου Βασιλέως, τόση ἡ φιλανθρωπία του, ὥστε καὶ τὴν ζωήν Του ἐθυσίασεν ὑπὲρ ἡμῶν, καὶ τὸ Πανάγιον αἷμά Του ἐξέχεεν ἐπὶ τοῦ Σταυροῦ ὑπὲρ ἡμῶν· τόση ἡ φιλοστοργία του, ὥστε οὐχὶ μόνον δικαίους νὰ δέχηται, ἀλλὰ καὶ ἁμαρτωλοὺς καὶ ἀσώτους, κακούργους καὶ ἅρπαγας ἐὰν καὶ οὗτοι διέλθωσι διὰ τοῦ μυστηρίου τῆς μετανοίας καὶ ἐξομολογήσεως. Ὀφείλομεν λοιπὸν ἀγαπητοί, νὰ ἀγαπήσωμεν Αὐτὸν τὸν φιλοστοργότατον ἡμῶν Πατέρα τόσον, ὥστε καὶ τὴν ζωήν μας νὰ θυσιάσωμεν ἐὰν ὁ καιρὸς τὸ καλέσῃ, καθὼς Αὐτὸς ἐθυσίασε τὴν ζωήν Του ὑπὲρ ἡμῶν. Θὰ ἀγαπήσωμεν δὲ Αὐτόν, ἐὰν τὰς ἐντολάς Του φυλάττωμεν. «Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με» (Ἰω. ΙΔ' 21). Ἄς καθαρίσωμεν λοιπὸν ἀγαπητοί, «ἑαυτοὺς ἀπὸ παντός, μολυσμοῦ σαρκὸς καὶ πνεύματος τελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ» διὰ νὰ κατασταθῶμεν ἄξιοι νὰ ὑποδεχθῶμεν Αὐτὸν θεοπρεπῶς, τώρα καὶ πάντοτε, ὅπως καὶ Αὐτὸς φιλανθρώπως καὶ φιλοστόργως ἀνοικταῖς ταῖς ἀγκάλαις ἐν τῷ καιρῷ τῆς ἐξόδου ἡμῶν, ὑποδεχθῇ ἡμᾶς ἐν τῇ Βασιλείᾳ Του, καὶ κατατάξῃ καὶ συναριθμήσῃ ἡμᾶς μετὰ τῆς ἐκλεκτῆς μερίδος τῶν σωζομένων.

**ΤΕΛΟΣ**



**ΕΚ ΤΗΣ ΣΥΛΛΟΓΗΣ ΣΠΥΡΙΔ. ΛΑΥΡΙΩΤΟΥ ΜΟΝΑΧΟΥ-ΙΑΤΡΟΥ**

## ΑΠΟΦΘΕΓΜΑΤΑ ΦΙΛΟΣΟΦΙΚΑ

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

### Περὶ ἐλεημοσύνης

Ὁ ποιῶν ἐλεημοσύνην ἐν καιρῷ θλίψεως, ὡς νεφέλη ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

— Ὁ ἐλεῶν πτωχόν, τὸν Θεὸν ἔχει μεριμνῶν τὰ περὶ αὐτοῦ καὶ ὁ δι' Αὐτὸν πτωχεύων, εὗρε θησαυροὺς ἀνελλειπεῖς.

— Ὁ τὰ ἑτέρων λαμβάνων καὶ ἑτέροις διδούς, οὐκ ἠλέησεν ἀλλ' ἠδίκησεν ἀδικίαν τὴν ἐσχάτην.

— Τοῖς καλῶς διοικοῦσι τὰ ἐπίγεια, καὶ τὰ ἐπουράνια δίδοται ὁ μὴ δοὺς δεομένοις, οὐ λήψεται δεόμενος· ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις, ὡς ὁ συνάγων τοὺς λίθους αὐτοῦ εἰς τὸν χειμάρρουν.

### Περὶ πλεονεξίας

Ὁ τῶν ἀλλοτρίων αἱρῶν μετ' οὐ πολὺ θρηνήσει, τῶν ἰδίων ἀποστερούμενος. Ἐλπὶς κακοῦ κέρδους, ἀρχὴ ζημίας. Πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπλησθήσεται ἐν μερίδι.

### Περὶ ἀληθείας

— Χρόνου θυγάτηρ ἐστὶν ἡ ἀλήθεια. Ἡ ἀλήθεια καὶ κατακρίτους ἐλευθεροῖ. Ἡ ἀλήθεια καὶ εἰς πέτρας φύεται.

### Περὶ τρυφῆς

Ὥσπερ τὰ πολύσαρκα τῶν ὀρνίθων εἰς οὐρανὸν πετασθῆναι ἀδύνατον, οὕτω καὶ τὸν τὴν ἑαυτοῦ σάρκα τρέφοντά τε καὶ θεραπεύοντα τρυφηλῶς.

— Ὥσπερ ξηρανθεὶς βόρβορος, οὐκέτι χοίρους θεραπεύσει, καὶ μαρανθεῖσα σὰρξ οὐκέτι δαίμονας ἀναπαύσει.

— Ὥσπερ αἱ νεφέλαι τὸν ἥλιον ἀποκρύπτουσιν, οὕτως αἱ πονηραὶ ἔννοιαι τὸν νοῦν σκοτίζουσι καὶ ἀπόλλυσιν.

— Ὥσπερ τὴν ἀπόφασιν τῆς ἐκτελέσεως εἰληφώς, καὶ πρὸς τὴν καταδίκην πορευόμενος οὐ λαλεῖ περὶ θεάτρων, οὕτως οὐδὲ ὁ ἐν ἀληθείᾳ πενθῶν διὰ τὰς ἁμαρτίας του, γαστέρα θεραπεύσει ποτέ.

— Ὥσπερ τὸ ἔλαιον καὶ μὴ βουλομένην τὴν θάλασσαν ἡμεροῖ, οὕτω καὶ ἡ νη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στεία κατασβέννυσι καὶ ἀκούσας τὰς πυρώσεις τοῦ σώματος.

—Ὥσπερ τὸ ὕδωρ στενούμενον εἰς ὕψος ἀνατρέχει, οὕτω πολλάκις καὶ ψυχὴ στενωθεῖσα ὑπὸ θλίψεων καὶ κινδύνων πρὸς Θεὸν διὰ μετανοίας ἀνῆλθε καὶ ἐσώθη.

— Ὡς οὐκ ἔστι χωρὶς ὅπλου θηρίον ἀπολέσαι, οὕτως οὐδὲ χωρὶς ταπεινώσεως ἀοργησίαν κτήσασθαι.

Ὡς οὐκ ἔστι ζῆν κατὰ φύσιν ἄνευ βρώσεως, οὕτως οὐκ ἔξεστιν ἕως ἐξόδου κἂν πρὸς ροπὴν ἀμελῆσαι τῷ βουλομένῳ σωθῆναι.

—Ὥσπερ οἱ ὑπνώττοντες εὐχερῶς συλῶνται, οὕτως οἱ πλησίον κόσμου τὴν ἀρετὴν μετερχόμενοι.

—Ὥσπερ ὁ λέοντι μαχόμενος, ἐὰν ἀλλαχοῦ τοὺς ὀφθαλμοὺς ἀποπλανηθῇ εὐθέως ἀπόλλυται, οὕτω καὶ ὁ τῇ ἑαυτοῦ σαρκὶ μαχόμενος ἐὰν ταύτην ἀναπαύσῃ.

—Ὥσπερ τὸ ὕδωρ ἐξαλείφει τὰ γράμματα, οὕτω τὸ δάκρυον ἐξαλείφει τὰ πταίσματα.

—Ὥσπερ πλῆθος κόπρου πλῆθος σκωλήκων ἐργάζεται, οὕτω πλῆθος βρωμάτων πλῆθος πτωμάτων καὶ πονηρῶν λογισμῶν καὶ ἐνυπνίων ἐργάζεται.

—Ὥσπερ ὁ τοὺς πόδας πεδηθεὶς βαδίζειν οὐ δύναται, οὕτω καὶ οἱ θησαυρίζοντες χρήματα, εἰς οὐρανὸν ἀνελθεῖν οὐκ ἰσχύουσιν.

—Ὥσπερ νεκρὸς ἄλλοις νεκροῖς οὐ λέγει κεφαλὴ ὑμῶν εἰμί, οὕτως ὀφείλει διακεῖσθαι ὁ προέχων τινῶν μοναχός.

— Ἑορτὴ μοναχῷ τήρησις ἐντολῶν Χριστοῦ, ἡ δὲ παράκλησις αὐτοῦ μὴ ποιεῖν τὸ πονηρόν.

— Οὐκ ἔστι καταδίκοις ἐν φυλακῇ χαρμοσύνη, καὶ οὐκ ἔστι μοναχοῖς ἀληθινοῖς ἐπὶ τῆς γῆς ἑορτή.

— Μετάνοιά ἐστιν ἀνάκλησις βαπτίσματος, συνθήκη πρὸς Θεὸν δευτέρου βίου. αὐτοκατάκριτος λογισμός, διαλλαγὴ Κυρίου, συνειδότος καθαρισμός, θυγάτηρ ἐλπίδος.

— Μνήμη θανάτου ἐστὶ καθημερινὸς θάνατος κάθωρος στεναγμὸς φιλοσοφίας τέλος.

— Μνησικακία ἐστὶν ἰὸς ψυχῆς, σκώληξ νοὸς διηνεκὴς ἁμαρτία.

— Καταλαλιά ἐστιν ἀποκύημα μίσους, ἀγάπης ὑπόκρισις, καρδίας ρύπου καὶ βάρους πρόξενος.

— Πολυλογία ἐστὶν ἀγνωσίας τεκμήριον, καταλαλιᾶς θύρα, διανοίας σκορπισμός.

— Σιωπὴ ἐστὶν αἰχμαλωσίας ἀνάκλησις, γνώσεως προσθήκη, ἀφανὴς προκοπή.

— Γαστριμαργία ἐστὶ κοιλίας ὑπόκρισις, χαρυκίας δημιουργός, ἡδυτήτων πηγή.

— Φιλαργυρία ἐστιν εἰδώλων προσκύνησις, ἀπιστίας θυγάτηρ, ἀσθενειῶν προφασίστρια, γήρους μάντις, ἀβροχίας ὑποβολεύς, λιμῶν προμηνυτής.

### Περὶ ὑποταγῆς

Ὁ παρασιωπῶν τῶν ὑπηκόων τὰ πταίσματα ὡς αὐτὸς πράξας, κατακακριθήσεται.

—Ὁ ἔχων ὑπακοὴν ἀγαθήν, πασῶν τῶν ἐντολῶν τοῦ Θεοῦ πεπλήρωται.

—Ὁ ποτὲ μὲν ὑπακούων ποτὲ δὲ παρακούων τοῦ πατρός, ὅμοιός ἐστιν ἀνδρὶ τῷ ποτὲ μὲν κολλύριον, ποτὲ δὲ ἄσβεστον τοῖς ἑαυτοῦ ἐπιτιθέντι ὀφθαλμοῖς.

— Παντὸς μὲν καρποῦ προηγεῖται ἄνθος, πάσης δὲ ὑπακοῆς ξενητεία ἢ σώματος ἢ θελήματος.

—Ὑποτασσώμεθα καὶ Θεῷ καὶ ἀλλήλοις, καὶ τοῖς ἐπὶ γῆς ἄρχουσι Θεῷ διὰ πάντας, διά τὴν φιλαδελφίαν ἀλλήλοις' δι' εὐταξίαν τοῖς ἄρχουσι.



### Περὶ γνώσεως

Γνῶσις ἀληθὴς ὑπάρχει ἡ τῶν θλιβερῶν ὑπομονή, καὶ τὸ μὴ αἰτιᾶσθαι τοὺς ἀνθρώπους ἐπὶ ταῖς ἑαυτοῦ συμφοραῖς.

—Ἀρετῇ καὶ γνώσει τὰ θεῖα συνέζευκται.

— Φέγγος ψυχῆς ἡ ἁγία γνῶσίς ἐστιν, οὗ στερηθεὶς ὁ ἄφρων, ὡς ἐν σκότει διαπορεύεται.

Τοῦτο μεγάλη γνῶσις, τὸ εἰδέναι συγκαλύπτειν σιωπῇ ἀφροσύνην, ὁ μοναχὸς εἰ ἔχει πίστιν, οὐ δεῖ χρημάτων, εἰ δὲ χρημάτων ὅλως ἐρᾷ, πίστεως πάντως ἐστὶν ἔρημος.

### Περὶ ἤθους

Στολισμὸς ἀνδρός, καὶ γέλως ὀδόντων καὶ βῆμα ἀνθρώπου ἀναγγελεῖ τὰ περὶ αὐτοῦ.

— Σημεῖα τῶν ἔνδον τὰ προφανῆ κινήματα, ὡς καὶ τῶν ἀγνώστων δένδρων, οἱ προσφερόμενοι καρποί.

— Μία κύλιξ πολλάκις οἴνου γεῦσιν ἐσήμανε, καὶ εἷς λόγος ἀνδρός, τοῖς γεύεσθαι δυναμένοις πᾶσαν αὐτοῦ τὴν ἔνδον ὑπέδειξεν ἐργασίαν τε καὶ κατάστασιν.

### Περὶ ἐλπίδος

Ἐλπὶς ἀεὶ τῶν μελλόντων ἀγαθῶν, κούφως ποιεῖ φέρειν τὰ παρόντα λυπηρά.

—Ἕν ἐστιν ἐν τοῖς οὖσι μόνιμον ἡ πρὸς Θεὸν ἐλπίς, τὰ δ' ἄλλα πάντα οὐκ εἰσὶ τῇ φύσει, ἀλλὰ νομίζεται.

—Ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν λέοντα τὸν νεκρόν.

—Ὥσπερ οὔτε σέβεσθαι ἄλλο τι παρὰ τὸν Θεὸν προσήκει, οὕτως οὐδὲ ἐπὶ ἄλλον ἐλπίζειν ἢ ἐπὶ τὸν Θεὸν τὸν πάντων Κύριον.

---

**Διαδόσατε τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην».**

## ΚΑΝΩΝ

Πρὸς τὸν ἅγιον Γρηγόριον Νεοκαισαρείας τὸν θαυματουργόν· οὗ ἡ ἀκροστιχίς

Δέχου τὸν ὕμνον θαυματουργὲ ἐν δὲ τοῖς θεοτοκίοις Κυρίλλου:

### Ὠδὴ α'. Ἦχος β'.

**Δεῦτε λαοί**

Δέχου ἡμῶν, τὸν ὕμνον πάτερ Γρηγόριε, θαυματουργὲ πανόλβιε ἱλέῳ ὄμματι, καὶ δὸς χάριν ἐξ ὕψους τοῖς σὲ ἐν τῷ σεπτῷ σου τεμένει δοξάζουσιν.

Εὗρεν ἡ γῆ, τὰς ἀριστείας Γρηγόριε, τὰς σὰς σεπτὰς καὶ πίστωσιν, θεῖαν εἰσδέχεται ἃς ἐκ πόθου καρδίας, τιμᾷ τε καὶ δοξάζει πανηγυρίζουσα.

Χαίρει χαρᾷ, πανηγυρίζουσα σήμερον, ἡ Ἐκκλησία ἅπασα ὡς εὐμοιρήσασα, τεῖχός σε καὶ προστάτην, θεῖον καὶ φρουρόν σε πάτερ Γρηγόριε.

### Θεοτοκίον

Κυρίαν σεμνήν, καὶ Θεοτόκον σὲ εἴδομεν, οἱ δοῦλοί σου Πατάμωμε, καὶ σὲ δοξάζομεν, οἱ δ' οὕτω μὴ φρονοῦντες, αἰσχυνθήτωσαν πάντες καὶ λιθωθήτωσαν.

### Ὠδὴ γ'.

**Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε**

Ὁ πάντας θαυμαστῶς δοξάζων Κύριος, αὐτὸς σε ἐδόξασε τῶν θαυμάτων, τοῖς μυρίοις ὦ Γρηγόριε, καὶ ὡς φῶς τοῖς ἐν σκότει μάκαρ δέδωκεν.

Ὑπνώσαντα σοφῶς Θεοῦ μύουσι, τὴν πίστιν θεόφρον τῶν ἀποστόλων, ἡ Θεοτόκος καὶ ὁ πρόκριτος, Γρηγόριε σοφὲ σὲ τὸν πανένδοξον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τὰ θαύματα τὰ σὰ πρὶν κατεπλάγησαν, τὰ πλήθη Γρηγόριε τῶν ἑλλήνων, καὶ τὴν πίστιν σου τὴν ἄσειστον, τὴν πρὸς Χριστὸν τὸν Θεὸν ὃν ἐκήρυττες.

**Θεοτοκίον**

Ὑπέρτιμε ἁγνή, Θεὸν ἡ τέξασα, παράσχου εὐΐλατον τὸν υἱόν σου σοῖς ἱκέταις καὶ κατάπεμψον, ἱλασμὸν καὶ πταισμάτων τὴν συγχώρησιν.

**Ὠδὴ δ΄.**

**Εἰσακήκοα Κύριε**

Ὁ Θεὸς εἰσακήκοε τὴν προσευχὴν τῆς δεήσεώς σου, ἣν ηὔξω τῶν ἑλλήνων, ἐπιστροφῆς πρὸς Θεόν.

Νουνεχῶς σὺ Γρηγόριε ἠκροάσω τῶν θείων λόγων, τὴν ψυχήν σου μὴ φεισάμενος, προκινδυνεύων τῆς ποίμνης σου.

Ὑπὲρ τῶν κολαζόντων σε μιμούμενος σοφὲ τὸν σὸν Δεσπότην, προσηύχου παναοίδιμε Γρηγόριε.

**Θεοτοκίον**

Ῥύσασθέ με Πάναγνε τῶν φρικτῶν κολάσεων τοῦ ᾅδου, ἐμαυτὸν δίδωμί σοι, τῇ μόνῃ σωτηρίᾳ μου.

**Ὠδὴ ε΄.**

**Ὁ ἄνθραξ τῷ Ἠσαΐᾳ**

Μόνος ἐστὶ Κύριος Θεός, πάσης κτίσεως ὁ ἀπαθὴς τῇ ἀΰλῳ θεότητι, Χριστὸς Ἰησοῦς ἐδίδασκες, σοφὲ ἀφόβως πᾶσι τοῖς ἔλλησι.

Νόμον τὸν σωτήριον τοῦ Χριστοῦ, ἐκπληρῶν ἔνδοξε, θαυματουργὲ ἐδίδως Γρηγόριε, σαυτὸν τοῖς κολάζουσιν, εἰς τὸ πιστεῦσαι αὐτούς.

Ὁ λύκος πάνσοφε μαρτυρεῖ, ἔτι τὸ παράδοξον, αὐτίκα γὰρ φεύγων, ἐκκλίνει τῆς δενδρωθείσης ἁπτόμενος, ὡς ζῶν τῆς ῥάβδου σου.

**Θεοτοκίον**

Ἱλέωσαι Πάναγνε σεμνή, τὸν Θεὸν καὶ κτίστην μου ὅταν μέλλω, τῷ βήματι ὁ ἀνελεήμων παρίστασθαι, εἰς σὲ γὰρ τὴν ἐλπίδα ἀνέθηκα.

**Ὠδὴ ϛ΄.**

**Ἐν ἀβύσσῳ πταισμάτων**

Νεοκαισάρεια πρόμαχον κέκτηται, οἰκουμένη πᾶσα δὲ φύλακα μέγιστον, σὲ εὐκλεῆ Γρηγόριε, τῶν ἱεραρχῶν τὸ θεῖον ἀγλάϊσμα.

Θανατοῦται αὐτίκα ὁ δείλαιος, παροινήσας ἑβραῖος σοῖς θαύμασι, θαυματουργὲ Γρηγόριε, ἐξανέστη δὲ τῇ προσευχῇ σου καὶ σέσωσται.

Ἀδελφοκτόνον τὴν λίμνην ἐξήρανας, θαυματουργῶν ἁγίως πανένδοξε, θαυματουργὲ Γρηγόριε, καὶ ποταμοῦ τὰς ὁρμὰς συνανέστειλας.

Ὑποβρύχιος ἔνδοξε γέγονα, καὶ περιστοιχούμενος ἀθλίως τοῖς πάθεσι, θαυματουργὲ Γρηγόριε, διάσωσόν με τὸν προσφυγόντα σοι.

**Θεοτοκίον**

Λαμπρυνόν με τῷ φέγγει σου Πάναγνε, τὸν ζοφωμένον πολλοῖς πλημμελήμασι, τοὺς ῥύπους ἀποσμήχουσα, τῆς ἀθλίας ψυχῆς μου καὶ σώζουσα.

**Ὠδὴ ζ΄.**

**Ῥήτορες ἀνεδείχθησαν**

Μέγιστος ἐν θαύμασιν ἐγνωρίσθης ἔνδοξε, διὸ θάλασσα καὶ γῆ, πᾶσα κοινὸν βοηθὸν ἔχοντά



σε κραυγάζει, ὁ ὑπέρτιμος, τῶν Πατέρων ἀντιλαβοῦ ἡμῶν Γρηγόριε.

Ἅπαντες λαμβάνουσι φθάνεις γὰρ τὰ αἰτήματα ταχύ, ἐπικαλούμενοι θεῖον, ἀντιλήπτορα Γρηγόριε βοῶντες· Ὁ θαυμάσιος, τῶν Πατέρων σὲ ὑμνοῦμεν Γρηγόριε.

Τὸν ῥήτορα τὸν πάνσοφον τὸν θαυμάσιον, ἐπώνυμον ἅπαντες Γρηγόριον, τὸν θεῖον σὲ ὑμνοῦμεν, ἐν τῷ σεπτῷ σου τεμένει λαμπρῶς καὶ πανηγυρίζομεν.

**Θεοτοκίον**

Λελωβημένον ὄντα με, ταῖς αἰσχίστοις πράξεσι, σὲ ἱκετεύω Δέσποινα Μαρία, ἀποκαθᾶραι τὸν δείλαιον ἵνα σωζόμενος, ὑμνῶ σε, τὴν τοῦ βασιλέως Μητέρα Θεοτόκον.

**Ὠδὴ η΄.**

**Κάμινός ποτε**

Οἶκος τῆς σεπτῆς Τριάδος ἀνεδείχθης, θαυματουργὲ σοφὲ Γρηγόριε, ταῖς σαῖς ὁσίαις πράξεσι, τοὺς μὲν διδάσκων ἕλληνας τοὺς δὲ πιστοὺς στηρίζων καὶ ἔψαλλες· εὐλογεῖται πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὑπὲρ τοῦ Χριστοῦ μυρίαις ὑπεβλήθης, κολάσεσιν ὁ ἀείμνηστος, ὑπὸ τῶν Ἑλλήνων τυπτόμενος, καὶ πολλάκις θανατούμενος πρὸς πίστιν ἐπιστρέφων τούτους καὶ ἔψαλλες εὐλογεῖται πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥώμην σὺ διδοὺς ἀθλίῳ σώματί μου, τὰς ἑπταμέτρους νόσους ἰώμενος, ψυχῆς τε τὸν καύσωνα θαυματουργέ, ἔκβαλε Γρηγόριε σὲ ἐκδυσωπῶ, ἵνα κράζω σωζόμενος, ἀνυμνολογῶν σε εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον**

Ὅλον τὸν αἰσχραῖς ἀθλίως δουλωθέντα, πράξεσι τὸν δείλαιον Πάναγνε Παρθένε πανύμνητε, ἀποκάθαρόν με δέομαι, ἵνα ψάλλω ἀπαύστως δοξάζων σε, καὶ ὑπερυψῶ σε ἁγνὴ εἰς τοὺς αἰῶνας.

**Ὠδὴ θ΄.**

**Ἀνάρχου γεννήτορος**

Γρηγόριον σήμερον τὸν θεῖον εὐφημήσωμεν, οἱ πιστοὶ ὁμοφρόνως καὶ γὰρ ἐπέφανε, τοὺς νενοσηκότας ἰᾶσαι καὶ παρασχεῖν, ἔλεος καὶ χάριν ἡμῖν τοῖς ἐκ πίστεως, εὐφημοῦσι τούτοις ᾄσμασι.

Ἐκήρυξας πάνσοφε, θαυματουργὲ πανίερε, τὸν Χριστὸν ἐναντίον πᾶσι τοῖς ἔθνεσιν, ὅθεν σε δοξάζει μαρτύρων ἐν ταῖς σκηναῖς, καὶ τῶν ἀποστόλων ὡς τούτων συμμέτοχον, καὶ ὁμότροπον Γρηγόριε.

Γρηγόριε πάνσοφε θαυματουργὲ πανόλβιε, οἰκουμένης ἁπάσης τὸ ἐγκαλλώπισμα, πρόσδεξαι ἱλέως τὸν ὕμνον καὶ τῆς ψυχῆς, δὸς μοι τὰς αἰτήσεις, δὸς καὶ τὴν συγχώρησιν, τῶν κακῶν ὧν ἐπλημμέλησα.

**Θεοτοκίον**

Ὑπέρτιμε Δέσποινα, Παρθένε παντευλόγητε, ἡ ἐλπίς μου καὶ σκέπη καὶ τὸ προσφύγιον, σοὶ προσφεύγω βαρούμενος ὑπὸ πολλῶν, πταισμάτων ὁ τάλας καὶ σὲ ἐπιγράφομαι, σωτηρίαν μεγαλύνων σε.

**Μεγαλυνάριον**

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ θαυμάτων τὴν βρύσιν, ἀποστόλων τὸν μιμητήν, ποιμένα τὸν θεῖον, τῆς Νεοκαισαρείας καὶ μύστην τοῦ Κυρίου, ἐνθέως νῦν τιμῶντες, σοφὸν Γρηγόριον.

1765 τῷ εὐτελεῖ **Κυρίλλῳ** ἱερομονάχῳ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΤΟ ΔΙΗΓΗΜΑ ΜΑΣ

# Η ΡΟΖΑ ΤΟΥ ΤΑΝΝΑΝΒΟΥΡΓΟΥ

## ΚΕΦΑΛΑΙΟΝ Α.'

## Η ΡΟΖΑ ΑΝΑΤΡΕΦΟΜΕΝΗ ΥΠΟ ΚΑΛΗΣ ΜΗΤΡΟΣ

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

Ἡ Ῥόζα βλέπουσα τὴν συναίσθησιν τῆς μητρός της, ὕψωνεν ἐπίσης τὴν ψυχήν της πρὸς τὸν Κύριον, καὶ ἠδυνήθη νὰ καταπεισθῇ ὅτι ἀφ' ὅλα τὰ αἰσθήματα, τὸ εὐγενέστερον πάντων εἶναι ἡ ἀληθὴς εὐσέβεια, καθ' ὅσον αὕτη εἶναι ἡ μόνη, ἡ ἀληθῶς ἐξασφαλίζουσα τὴν εὐτυχίαν τοῦ θεοσεβοῦς ἀνθρώπου. Ἡ Ματθίλδη ἐμερίμνα μεγάλως εἰς τὸ ν' ἀνακουφίζῃ τοὺς ἀσθενεῖς, τοὺς δυστυχεῖς καὶ τοὺς καταθλιβομένους. Μίαν ἡμέραν βεβαιωθεῖσα ὅτι εἰς τὸ τοποθετημένον εἰς τοὺς πρόποδας τοῦ ὄρους χωρίον, εὑρίσκετο πτωχή τις γυνή, μήτηρ ἑπτὰ ἀνηλίκων τέκνων, λίαν φιλεργός, καὶ πρό τινος ἀσθενήσασα κινδυνωδῶς, ἡ εὐγενὴς κυρία δὲν ἐδυσκολεύθη νὰ καταβῇ τὸ κρημνῶδες μέρος, ἐπὶ τοῦ ὁποίου ὑψοῦτο τὸ φρούριον, διὰ νὰ προσέλθῃ πρὸς ἐπίσκεψιν τῆς δυστυχοῦς γυναικὸς ὑπὸ τὴν ταπεινὴν καὶ ἀχυρίνην στέγην της. Αὕτη παρατηρήσασα τὴν κατάστασίν της, ἐφρόντισεν ὥστε τίποτε νὰ μὴ τῇ λείψῃ, τῇ προσέφερεν αὐτὴ ἡ ἰδία τὰ ἰατρικὰ ἵνα τὴν ἐνθαρρύνῃ καὶ τὰ μεταχειρισθῇ. Αὕτη καθημερινῶς προσερχομένη τῇ ἀσθενεῖ, ἔφερε μεθ' ἑαυτῆς καὶ τὴν Ῥόζαν, ὅπως πολλὰ ἐνωρὶς αὕτη συσχετισθῇ μὲ τὴν θέαν τῆς δυστυχίας, ἵνα μάθῃ ν' ἀνακουφίζῃ τοὺς ἀτυχεῖς, καὶ ἵνα μίαν ἡμέραν δυνηθῇ αὐτὴ ἡ ἰδία νὰ ἐγκαρτερῇ εὐκολώτερον εἰς τὰ ἐπισυμβησόμενα, τυχόν, δεινὰ καὶ δυστυχίας.

Τέλος ἡ Ματθίλδη, πλησιάσασα τὴν κλίνην τῆς ἀσθενοῦς, ἀνεκήρυξεν ὅτι αὕτη ἦτο ἐκτὸς παντὸς κινδύνου. Εἰς τούτους τοὺς λόγους, δάκρυα ἔρρευσαν ἀπὸ τοὺς ὀφθαλμοὺς ἁπάντων. Ὁ σύζυγος τῆς πασχούσης δυστυχοῦς προσεκαλέσατο τὰ τέκνα του νὰ ῥιφθῶσιν εἰς τοὺς πόδας τῆς εὐγενοῦς κυρίας διότι διετήρησε τὰς ἡμέρας τῆς μητρός των· αὐτὴ ἡ ἰδία συγκινηθεῖσα, ἔκυψεν ἔμπροσθεν αὐτῆς, καὶ ἥνωσε τὰς εὐχαριστήσεις της μὲ τὰς τῆς οἰκογενείας της, καὶ ἅπαντες ἠσπάζοντο τὴν χεῖρα καὶ τὰ ἐνδύματα τῆς εὐεργέτιδός των. Τὸ θελκτικὸν τοῦτο θέαμα συνεκίνησε βαθέως τὴν καρδίαν τῆς Ῥόζας. Τὰ δάκρυα ἐπίσης κατέρρεον ἐπὶ τῶν παρειῶν της· ἐμακάριζεν ἑαυτὴν ὅτι εὐτύχησε νὰ ἔχῃ τοιαύτην ἐλεήμονα μητέρα καὶ εἰς τὸ βάθος τῆς καρδίας της ἐχάραξε τὴν ἀπόφασιν ἵνα ἀκολουθήσῃ τὰ ἴχνη της.

Τοιαύτη ἀνατροφὴ δὲν ἔλειψε νὰ παράσχῃ εὐτυχεῖς ἐκβάσεις· ἡ Ῥόζα προσαπέκτα ἁπάσας τὰς ἰδίας ἀρετὰς τὰς ἁρμοζούσας εἰς τὰς νέας. Ἡ καρδία της ἦτο πλήρης ἐκ τοῦ καθαρωτέρου σεβασμοῦ πρὸς τὸν Θεόν, τῆς πρὸς τοὺς γονεῖς της τιμῆς, καὶ πρὸς ὅλους τοὺς ἀνθρώπους ἀγάπης. Ἡ σωφροσύνη, ἡ διάκρισις, ἡ γλυκύτης καὶ ἡ καθαρὰ καὶ ἁγνὴ τῆς Ῥόζας ψυχὴ ηὔξανον περισσότερον τὰ θέλγητρα τῆς μορφῆς της. Τὸ ἁπλοῦν τῆς ἐνδυμασίας της ἀνταπεκρίνετο πρὸς τὴν εἰλικρίνειάν της. Αὕτη ἡ ἰδία περιεβάλλετο τὸ λινὸν ἁπλοῦν φόρεμα, ὅπερ εἶχεν ὑφάνει κλώσασα καὶ λευκάνασα τὸ λινάριον· κύανοί τινες ἢ μᾶλλον κόκκινα κομβία προσηρμοσμένα καταλλήλως ἐπὶ τοῦ λίαν λευκοῦ φορέματός της, ἦτο ὁ καλλωπισμός, ὅνπερ αὕτη ἐπροτίμα. Ἀλλ' οἱ ὑπὸ ἀγαθότητος καὶ εἰλικρινείας στίλβοντες γλαυκοὶ ὀφθαλμοί της, καὶ τὸ χρῶμα τῆς ἀθωότητος διακεχυμένον ἐπὶ τῶν παρειῶν της ὑπερέβαινον κατὰ τὴν ὡραιότητα τὴν θέαν τῶν κυάνων, καὶ κατὰ τὴν δροσερότητα τὴν λάμψιν τῶν νεογεννήτων ῥόδων. Πάντες οἱ θεώμενοι αὐτὴν ἔλεγον. «Ἄνευ οὐδεμιᾶς ἀμφιβολίας ἡ Ῥόζα τοῦ Ταννανβούργου εἶναι ἡ ὡραιοτέρα κόρη ἁπάσης τῆς χώρας τῆς Σουηβίας. Αὕτη εἶναι πολὺ πλέον ἀξιάγαστος διὰ τὴν ἀρετήν της, ἢ διὰ τὴν ὡραιότητά της».

Ἀκολουθεῖ



## ΔΗΛΩΣΙΣ

Ἡ Διεύθυνσις τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» δέχεται συνεργασίαν ἀπὸ πάντα ἐπιστήμονα ἢ διανοούμενον, ἀποστέλλοντα εἰς αὐτὴν ὕλην ἱστορικήν, ἔχουσαν σχέσιν πάντοτε μὲ τὸ Ἅγιον Ὄρος. Ὡσαύτως ὕλην ἐπαγωγὸν καὶ χρήσιμον διὰ τὴν σωτηρίαν τῆς ψυχῆς.

Διεύθυνσις. : Σωτήριον Σχοινᾶν. Βόλον.

Οἱ ἀποστείλαντες ἐσχάτως τὰς συνδρομάς των.

**α'. Ἔτους**

| | |
|---|---|
| Μητροπολίτης Σιδηροκάστρου κ. κ. ΒΑΣΙΛΕΙΟΣ | Σιδηρόκαστρον |
| Ἀρχιμ. Ἀρσένιος Μαυρόπουλος | Λάρισα |
| » Πολύκαρπος Παΐκος | Καλάβρυτα |
| » Ἰωαννίκιος Σβορῶνος | Λευκὰς |
| » Θεοφάνης Κατωπόδης | » |
| Ἱερεὺς Νικολ. Ματαράγκας | » |
| » Στέργιος Παπαστάϊκος | Στρατονίκη |
| Ἱ. Μονὴ Ἁγίας Λαύρας | Καλάβρυτα |
| » » Προφήτου Ἠλιοῦ | Ὕδρα |
| » » Καρυᾶς | Τρίπολις |
| » » Μακρυμάλλης | Χαλκὶς |

**β.' Ἔτους**

| | |
|---|---|
| Ἱεροδιάκονος Γερμανὸς Ξενιώτης | Βόλος |

## ΥΠΟΜΝΗΣΙΣ

**Ὑπομιμνήσκομεν εἰς τοὺς Σεβαστοὺς Πατέρας τοῦ Ἁγίου Ὄρους, τοὺς καθυστεροῦντας τὴν συνδρομὴν αὐτῶν τοῦ α'. ἔτους ἐκ δραχμῶν 120, τὰ διπλότυπα τῶν ὁποίων ἀφίσαμεν ἐκεῖ κατόπιν τῆς διαβεβαιώσεως αὐτῶν ὅτι θὰ τὰς στείλουν, ἵνα ἀποστείλωσιν αὐτάς, καθόσον οὕτω παρακωλύουσι τὸ ἔργον τῆς ἐκδόσεως τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης».**

**Ὡσαύτως ὅταν ἐπιστρέφουν τεύχη, νὰ προσέχουν νὰ μὴ χάνεται ἡ ταινία· ἐν ἐναντίᾳ περιπτώσει νὰ γράφωσιν ἐπὶ τοῦ ἐξωφύλλου τὴν διεύθυνσίν των. Οὕτω καταστρεφομένης τῆς ταινίας καὶ μὴ ὑπαρχούσης ἄλλης διευθύνσεως ἐπὶ τοῦ φύλλου, δὲν γνωρίζομεν πόθεν μᾶς ἐπιστρέφονται.**

**Ἐπιστρεφόμενα τεύχη δὲν λαμβάνονται ὑπ' ὄψιν ἂν δὲν ἔχουν ἔγγραφον δήλωσιν τοῦ συνδρομητοῦ.**

**Ἡ διεύθυνσις**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΠΑΡΑΚΛΗΣΙΣ

Παρακαλοῦνται καὶ αὖθις οἱ κ. κ. συνδρομηταί, ὅπως ἀποστείλωσιν ἡμῖν τὴν συνδρομήν των τοῦ πρώτου ἔτους ἐκ δραχμῶν 120. Μᾶς καθυστεροῦνται πλέον τῶν 3)4 τῶν συνδρομῶν, ὥστε εὐκόλως δύναται τις νὰ ἐννοήσῃ ὅτι δυσχεραίνεται πολὺ τὸ ἔργον τῆς ἐκδόσεως.

Εἶναι ἀληθὲς ὅτι οἱ κ. κ. συνδρομηταὶ φαντάζονται ὅτι θὰ σταλῇ ἀντιπρόσωπος ἡμῶν πρὸς εἴσπραξιν τῶν συνδρομῶν των, ὅπως γίνεται σχεδὸν εἰς ὅλα τὰ περιοδικά. Δυστυχῶς ὅμως δι' ἡμᾶς δὲν εἶναι εὔκολον τοῦτο, διότι ἡ διάδοσις τούτου εἶναι ἀκόμη πολὺ μικρά, σχεδὸν εἰς τὰ σπάργανα, ὥστε νὰ μὴ δυνάμεθα νὰ πέμψωμεν τοιοῦτον ἀντιπρόσωπον. Πλὴν αὐτῶν, κινούμεθα ἀπὸ τὸν ζῆλον τοῦ νὰ φέρωμεν εἰς φῶς τοὺς θησαυροὺς τοῦ ἁγίου Ὄρους, χωρὶς νὰ ἔχωμεν οὐδεμίαν χρηματικὴν ἐπιχορήγησιν ἀπὸ οὐδένα, ἀλλὰ περιμένομεν πρωτίστως ἀπὸ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἀπὸ τὴν συνδρομὴν τῶν ὀλίγων συνδρομητῶν, οἵτινες, ἐὰν ἀρνηθοῦν νὰ μᾶς πληρώσουν, θὰ φέρουν ὅλην τὴν εὐθύνην ἀπέναντι τοῦ Θεοῦ, ἀφ' ἑνὸς μὲν διὰ τὴν ζημίαν ἡμῶν, ἀφ' ἑτέρου δὲ διὰ τὴν διακοπὴν τῆς ἐκδόσεως.

Περιμένομεν λοιπὸν ἀπὸ ὑμᾶς, ὄχι μόνον τὴν ἀποστολὴν τῆς συνδρομῆς σας, ἀλλὰ καὶ πᾶσαν τὴν δυνατὴν ἐνίσχυσιν διὰ τὴν ἀπρόσκοπτον ἔκδοσιν τοῦ περιοδικοῦ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης».

Τὴν ἄνω παράκλησιν ἀπευθύνομεν ἀκόμη καὶ εἰς τοὺς ἁγιορείτας Πατέρας, εἰς ὅσους καθυστεροῦν εἰσέτι τὰς συνδρομάς των, ὅπως τὰς ἀποστείλουν.

**Ἡ Διεύθυνσις**

---

**Διὰ τὰς ἐν ἁπάσῃ τῇ ἐπικρατείᾳ ἱερὰς Μονὰς καὶ λοιπὰ εὐαγῆ καθιδρύματα.**

Δηλοῦμεν ὅτι αἱ ἱεραὶ Μοναὶ καὶ τὰ λοιπὰ Ἐκκλησιαστικὰ καθιδρύματα, τὰ ἔχοντα Ἀκολουθίας ἁγίων προστατῶν αὐτῶν ἢ πολιούχων, ἢ ἄλλως πως ἐκκλησιαστικὴν ὕλην πρὸς ἔκδοσιν εἰς βιβλία μικρὰ ἢ μεγάλα, δύνανται μὲ μικροτέραν ἀμοιβὴν νὰ δημοσιεύωνται. Αἱ μὲν ἀκολουθίαι ἁγίων ὁλόκληροι εἰς τὸ περιοδικόν μας καθὼς καὶ μικραὶ Ἐκκλησιαστικαὶ διατριβαί, ἡ δὲ λοιπὴ ὕλη, ἡ δυναμένη νὰ τυπωθῇ εἰς βιβλιάριον, ἀναλαμβάνομεν τὴν ἐκτύπωσιν αὐτοῦ μὲ μικρὰν τιμήν. Εἰς τοὺς οἰκονομικῶς ἀδυνάτους, παρέχομεν εὐκολίαν πληρωμῆς.

**Ἡ Διεύθυνσις**

# ΤΙΜΟΚΑΤΑΛΟΓΟΣ ΒΙΒΛΙΩΝ

Εὑρισκομένων παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Ν. Σχοινᾷ ἐν Βόλῳ, Κοραῇ 47 καὶ ἀποστελλομένων ἐλευθέρων ταχυδρομικῶν τελῶν.

### "ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,

ΕΤΟΣ Α΄

| | | |
|---|---|---|
| Ὑπάρχουν μόνον 15 τόμοι συμπεπληρωμένοι πανόδετοι | δραχ. | 250 |
| Ἀπὸ τὸ τεῦχος τοῦ Ν)βρίου-Αὐγούστου τόμοι 12 ἄδετοι | » | 150 |
| Ἀπὸ τὸ τεῦχος τοῦ Δ)βρίου-Αὐγούστου τόμοι 6 ἄδετοι | » | 130 |
| Ἀπὸ τὸ τεῦχος τοῦ Ἰαν)ρίου-Αὐγούστου τόμοι 19 ἄδετοι | » | 120 |
| Ἀπὸ τὸ τεῦχος τοῦ Φ)ρίου-Αὐγούστου τόμοι 7 ἄδετοι | » | 1 0 |
| Μάρτιος. **Κανόνες Χρυσοστόμου** | » | 10 |
| Ἀπρίλιος. **Ἀκολουθία Ἁγ. Λέοντος καὶ Ζωοδόχου Πηγῆς** | » | 1 |
| Μάϊος. **Ἀκολουθία Ἁγ. Βενιαμὶν τοῦ Πέρσου** | » | 10 |
| Ἰούνιος. **Κανόνες Ἰω. Προδρόμου** | » | 10 |
| Ἰούλιος. **Ἀκολουθία Συμεὼν τοῦ Θεοδόχου** | » | 10 |
| Αὔγουστος. **Ἀκολουθία Ἁγ. Παρασκευῆς** | » | 10 |
| **Θέατρον Πολιτικὸν** ὑπὸ Ν. Μαυροκορδάτου σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον | Δραχ. | 75 |
| πανόδετον | » | 100 |
| δερμάτινον | » | 125 |

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

| | | |
|---|---|---|
| **Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα | » | 15 |
| **Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον | » | 50 |
| πανόδετον | » | 70 |
| **Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ ἄδετον | » | 40 |
| πανόδετον | » | 60 |
| **Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου Ἀρχιμανδρίτου | » | 15 |
| **Ἀκολουθία τοῦ Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιῶς τῆς Δημητριάδος ἀσκήσαντος | » | 10 |
| **Ἱστορικὴ μελέτη τῆς Ἱ. Μονῆς Ἁγ. Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ | » | 10 |
| **Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησιαστικοὺς ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια | » | 50 |
| **Ἑρμηνεία τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 καθολικῶν τοῦ Ἀποστ. Παύλου** ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον | » | 250 |
| Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα | » | 400 |
| **Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ Ἑορτοδρομίου** τοῦ αὐτοῦ τόμοι 3 | » | 150 |
| Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα | » | 300 |
| **Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ,** Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον | » | 28 |
| **Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ στεφάνου Παπαδημητρίου | » | 25 |
| **Ἡ Ζωὴ τῆς ψυχῆς** τοῦ αὐτοῦ (ἄρτι ἐκδοθὲν) | » | 12 |
| **Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ,** Ι. Βουνιάνου | » | 25 |
| **Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** | » | 20 |
| **Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ:** Τὸ περίφημον δραματικὸν ἔργον τῆς γερμανίδος συγγραφέως Καρλόττας Pfeiffer, μεταφρασμένον μὲ πολλὴν εὐσυνειδησίαν. Βιβλίον ἐξόχως διδακτικὸν καὶ ἀριστούργημα ἀπὸ λογοτεχνικῆς ἀπόψεως | » | 15 |
| δεδεμένον | » | 25 |
| **Μαργαρῖται Χρυσοστόμου** | » | 60 |
| πανόδετον | » | 80 |
| δερμάτινον | » | 105 |
| **Ἀποστολικὴ Σαγήνη** ἄδετον | » | 65 |
| πανόδετον | » | 95 |
| δερμάτινον | » | 120 |
| **Ἀκολουθία τῆς Θείας Μεταλήψεως** | » | 3 |

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία.

ΣΗΜ. Δεχόμεθα παντὸς εἴδους θρησκευτικὰ βιβλία πρὸς πώλησιν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΠΕΡΙΕΧΟΜΕΝΑ

'Ακολουθία άγίας Είρήνης
Τὸ μαρτύριον αὐτῆς
'Αποφθέγματα 'Ιωσὴφ πρώην τυρνόβου (συνέχεια)
Χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι, 'Ιω. Σπαθάρη
'Ερμηνεία τοῦ Χερουβικοῦ Ύμνου, Σάββα Φιλοθεΐου (συνέχεια)
'Αποφθέγματα φιλοσοφικά, 'Αθανασίου Λαυριώτου
Κανὼν εἰς τὸν ἅγιον Γρηγόριον Νεοκαισαρίας, Κυρίλλου
'Η Ρόζα τοῦ Ταννανβούργου, (διήγημα)
Διάφορα

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΤΟΣ Β.' ΑΡΙΘ. 19
ΙΔΡΥΤΗΣ: ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ-ΙΑΤΡΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΣΤΥΛΙΑΝΟΥ
## ΤΟΥ ΠΑΦΛΑΓΩΝΟΣ

ΠΟΙΗΜΑ ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΛΑΥΡΙΩΤΟΥ

'Αντιγραφεῖσα ἐκ τοῦ Κώδικος ω. 111 τῆς ἐν τῷ ἁγίῳ Ὄρει τοῦ Ἄθω ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας.

ΥΠΟ
ΣΠΥΡΙΔΩΝΟΣ (ΑΘΑΝΑΣΙΟΥ) ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΜΑΡΤΙΟΣ 1938

1938
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΜΗΝΙ ΝΟΕΜΒΡΙΩι ΚΣΤ'.

# Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Στυλιανοῦ τοῦ Παφλαγόνος.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς Ἁγίας.

Ἦχος πλ. δ'.

**Τί ὑμᾶς καλέσωμεν ἅγιοι**

Τί σὲ νῦν σοφὲ ὀνομάσωμεν; μοναστῶν ὑπογραμμόν, καὶ ἰαμάτων αὐτουργόν, ἐγκρατείας ταῖς πληγαῖς, πάθη μαστίξαντα ψυχῆς· πολίτην τῶν ἀγγέλων καὶ συνόμιλον· τῆς ἄνω μητροπόλεως οἰκήτορα· τῶν ἀρετῶν ἐνδιαίτημα καὶ Πνεύματος καταγώγιον· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σὲ νῦν σοφὲ ὀνομάσωμεν· τῆς ἐρήμου πολιστήν, καὶ ἡσυχίας ἐραστήν, τῶν παθῶν ἐκμειωτὴν καὶ μονάστων καθηγητήν, πλημμύραν, διδαγμάτων θείου Πνεύματος, φωστῆρα διακρίσεως ἀκοίμητον, θαυματουργὸν ἀληθέστατον, πάθη ποικίλα ἰώμενον, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σὲ νῦν καλέσωμεν ἅγιε; ποταμὸν τῆς νοητῆς, ἐκπορευόμενον Ἐδέμ, ὀχετῶν τῶν τοῦ Θεοῦ, χορηγουμένων δωρεῶν. πλημμύραν τῶν θαυμάτων ἀνεξάντλητον, ἰατῆρα τῶν νηπίων ἑτοιμότατον, τῆς οἰκουμένης τὸ καύχημα, Στυλιανὲ τὸ ὑπέρλαμπρον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σὲ ὀνομάσωμεν ὅσιε; γεωργὸν τῶν ἀνθρωπίνων παμμακάριστε φυτῶν, αὐξητὴν τῶν παιδαρίων τὸν ταχύτατον σαφῶς, νομίμων θεοσδότων ἐμπειρότατον, δογμάτων θεοπνεύστων τὸν διδάσκαλον, καὶ παιδευτὴν ἱκανώτατον, Στυλιανὲ παμμακάριστε, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σὲ νῦν καλέσω πανόσιε; τῶν θαυμάτων τῶν μεγίστων, ἀνεξάντλητον πηγήν, ὁριστὴν τῆς εὐσεβείας, καὶ διδάσκαλον ἐθνῶν· Ἠλίαν τὸν προφήτην ἄλλον δεύτερον· τοῦ κόσμου τοῦ αὐχμῶντος ὕδωρ φέριστον, ἐν ὄρεσι διαιτώμενον, καὶ τοῖς ἐν κόσμῳ προφθάνοντα, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Λύχνος διακρίσεως γέγονας, καταυγάζων τὰς ψυχὰς τῶν προσιόντων σοι πιστῶς. καὶ τὴν τρίβον τῆς ζωῆς, ὑποδεικνύων εἰς αὐτούς· διό σε, ἐν αἰνέσει μακαρίζομεν, τελοῦντες τὴν ἁγίαν σου πανήγυριν, Στυλιανὲ ὁσιώ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τατε, τῶν ἀσκητῶν ἐγκαλλώπισμα, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος β΄.**

Δεῦτε πιστοί, τὸν θαυματουργὸν ὑμνῳδίαις εὐφημήσωμεν, δι᾿ οὗ ἀπαλλαγὴν τῶν πόνων, οἱ ἐν κινδύνοις ὑπάρχοντες εὑρίσκουσι. Δεῦτε λαοί, Στυλιανὸν τὸν θαυμαστὸν ἐν ψαλμοῖς τιμήσωμεν. Χαίροις λέγοντες, ὁ ἐκ μήτρας ἁγιασθεὶς καὶ τῶν σῶν γεννητόρων τὴν ἀτεκνίαν λύσας, ὡς Σαμουὴλ καὶ Ἱερεμίας. Χαίροις ὁ στερρὸς τῆς ἀσκήσεως φερώνυμος στῦλος, χαίροις τοῦ παναγίου Πνεύματος καθαρὸν οἰκητήριον. Χαίροις ὁ τῆς ἐρήμου οἰκιστὴς καὶ ὑπὸ θείου ἀγγέλου τρεφόμενος. Χαίροις ὁ τῶν νηπίων φύλαξ σωτήριος· τοὺς προσκυνοῦντας σὺν εἰκόνα σου τὴν ἁγίαν καὶ σὲ ἐτησίως ἑορτάζοντας πρόφθασον καὶ κινδύνων ἐξάρπασον, πρεσβεύων ἀπαύστως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Προεόρτιον. Ἰδοὺ καιρὸς ἤγγικε

Εἴσοδος. Φῶς ἱλαρόν. Καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Κεφ. Γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία, σύντριμμα. οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Κεφ. Ε΄. 16. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἀλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ



Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Κεφ. Δ΄. 7. Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. **Ἦχος α΄.**

Ὁ τῶν ὁσίων φωστὴρ Στυλιανὸς σήμερον, τῶν εὐσεβῶν τὰς χορείας πνευματικῶς συγκαλεῖται, ὁμοφώνως ἀναμέλψαι σὺν ἀγγέλοις Θεῷ, ὑμνῳδίαν τὴν τρισάγιον· ὡς γὰρ ἄγγελος σαρκοφόρος διαπρέψας ἐν σχήματι καὶ βίῳ ἀγγελικῷ· τοὺς μὲν ἔχει πανηγυρίζοντας· ὡς αὐτῶν ὑποτύπωσις, τοὺς δὲ συνευφραινομένους ἐν τῇ μνήμῃ αὐτοῦ, ὡς τούτων ὁμόσκηνος, διὸ καὶ ἡμεῖς ἑορτάζοντες, νῦν αὐτὸν εὐφημήσωμεν ὡς πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β΄.**

Ὅσιε Πάτερ, Στυλιανὲ θεόπνευστε, ἐκ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος, καὶ παρ᾿ αὐτοῦ δεχόμενος τῶν θαυμάτων τὴν ἐνέργειαν, ἔπεισας τοὺς ἀνθρώπους καταφρονεῖν τῶν ἡδέων· νῦν δὲ τῷ θείῳ θρόνῳ παριστάμενος, καὶ ὑπ᾿ αὐτοῦ δεχόμενος τὰς λαμπηδόνας τῶν θαυμάτων, φώτισον καὶ ἡμῶν τὰς ψυχὰς τῶν σὲ τιμώντων ἐκ πίστεως.

**Ἦχος γ΄.**

Ὅσιε Στυλιανέ, τῆς στερροτάτης ἀσκήσεως τὴν μυστικὴν καὶ εὔψυχον διατριβήν, ὡς ἐν ἀΰλοις ἀναπαυόμενος ἐτέλεσας, τοῖς ἐρημοτέροις γὰρ ἑαυτὸν συνάψας πνευματικῶς, τῶν θαυμάτων τὰς ἐνεργείας πλουσίας ἀπέλαβες, διὸ καὶ ἡμᾶς τοὺς σὲ δοξολογοῦντας, πρόφθασον ἐξελοῦ ἡμᾶς πάσης καταιγίδος τῶν κακῶν, καὶ Χριστῷ τῷ Θεῷ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος δ΄.**

Ἔλαμψαν τὰ καλὰ ἔργα σου, ὡς ἥλιος ἐπὶ τῆς γῆς καὶ ἐν οὐρανῷ, Χριστοῦ θεράπον Στυλιανέ, ἑτοίμως γὰρ ἡμᾶς προφθάνεις τοῖς θαύμασι, ῥυόμενος τῶν συνεχόντων κακῶν· διὸ ἱκέτευε ὅσιε Πάτερ, ἐν τῇ μνήμῃ σου θεοφόρε, τῶν νηπίων ὁ φύλαξ σωτήριος, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Ἐκ παντοίων κινδύνων**

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ἦχος α΄.

**Τῶν οὐρανίων ταγμάτων**

Ἀπὸ μητρῴων σπαργάνων, ἀφιερωθεὶς τῷ Θεῷ, ἀκτῖνας τῶν θαυμάτων, ἀνεδέξω πλουσίως, ἐκ Πνεύματος ἁγίου, ὅθεν πιστῶς, ἀνυμνοῦντες αἰτοῦμέν σε, καταπέμψαι ἀ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φθόνως Στυλιανέ, τὴν σὴν χάριν τὴν σωτήριον.

**Στίχ.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τὰς οὐρανίους σκηνώσεις ἐν εὐφροσύνῃ οἰκῶν, καὶ σὺν ἀγγέλοις Πάτερ, τῷ θρόνῳ τοῦ Κυρίου παριστάμενος ὅθεν Στυλιανέ, τοῖς ἐκτελοῦσι τὴν μνήμην σου, τῶν νοσημάτων τὴν λύσιν καὶ τῶν κακῶν, δωρηθῆναι καθικέτευε.

**Στίχ.** Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.

Θεοφεγγῆ σε φωστῆρα Πάτερ ἐπέγνωμεν, ταῖς νοηταῖς ἀκτῖσι καταυγάζοντα κόσμον, καὶ σκότος ἐκμειοῦντα τῆς πονηρᾶς, τῆς ἀσθενείας καὶ θλίψεως, Στυλιανὲ τὴν σὴν μνήμην ὅθεν πιστῶς, ἑορτάζομεν τιμῶντές σε.

**Δόξα. Ἦχος πλ. β'.**

Ὅσιε Πάτερ θαυματουργὲ Στυλιανέ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν νηπίων ὤλεσας τὸν θάνατον· τὰς αἰτήσεις πληροῖς τῶν τιμώντων σε, παρρησίαν οὖν ἔχων πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν εὐφημούντων σε.

**Καὶ νῦν.** Θεοτόκε σὺ εἶ ἡ ἄμπελος..

Ἀπολυτίκιον. **Ἦχος α'.**

Τῆς ἐρήμου πολίτης καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε πατὴρ ἡμῶν Στυλιανέ· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

**Καὶ νῦν. Θεοτοκίον**

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε· σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου, δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα

**Ἦχος α'.**

**Τὸν τάφον σου Σωτὴρ**

Τὸν βίον εὐσεβῶς, ἐπὶ γῆς ἐκτελέσας, δοχεῖον καθαρὸν σὺ τοῦ Πνεύματος ὤφθης, φωτίζων τοὺς ἐν πίστει σοι, προσιόντας μακάριε, ὅθεν αἴτησαι, τὸν σὸν Δεσπότην φωτίσαι, τὰς ψυχὰς ἡμῶν, τῶν ἀνυμνούντων σε πόθῳ, Στυλιανὲ πατὴρ ἡμῶν.

**Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκίον**

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα

**Ἦχος πλ. α'.**

**Τὸν συνάναρχον**

Τὰς φροντίδας τοῦ βίου ἀπαρνησάμενος, καὶ ἀγγέλων τὸν βίον ἀναλαβόμενος, ἐγκρατείᾳ τὴν ψυχὴν κατελάμπρυνας, καὶ θαυμάτων ἐκ Θεοῦ, χάριν ἐδέξω δαψιλῶς, Στυλιανὲ θεοφόρε, ὑπὲρ ἡμῶν μὴ παύσῃ ἱκετεύ-



ων, τῶν εὐσεβῶς ἀνευφημούντων σε.

**Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκίον**

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον· χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε· χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητούς, πρὸς τὴν αἰώνιον ζωήν· χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὸν πολυέλεον. Κάθισμα

**Ἦχος δ'.**

**Ἐπεφάνης σήμερον**

Τοῦ ὁσίου ἔλαμψεν, ἡ θεία μνήμη, συγκαλεῖ γὰρ ἅπαντας, τοὺς προσιόντας εὐσεβῶς, Στυλιανὸς ὁ Πατὴρ ἡμῶν, ποιμὴν ὁ μέγας καὶ θαυματουργὸς ἱερός.

**Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκίον**

Ἡ θερμὴ ἀντίληψις τῶν ἐν ἀνάγκαις, σὺ ὑπάρχεις Δέσποινα, εὐλογημένη Μαριάμ· διὸ τοὺς δούλους σου φύλαττε, ἀπὸ παντοίων κινδύνων καὶ θλίψεων.

Οἱ ἀναβαθμοί. Τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. ἤχου

**Τὸ Προκείμενον**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ

Τὸ Πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον. Τοῦ Μ. Ἀντωνίου

Ὁ Ν'. Δόξα ταῖς τοῦ σοῦ ὁσίου, καὶ νῦν ταῖς τῆς Θεοτόκου

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον.

**Ἦχος β'.**

Ὁ μόνος ἐν Ἁγίοις ἀναπαυόμενος Θεός, τὴν ἡγιασμένην σου ψυχὴν καθαρὸν εὑρὼν καταγώγιον, ἐν αὐτῇ κατῴκησε, καὶ θείων χαρίτων αὐτὴν ἐνέπλησε· δι' ὧν φωταγωγεῖς τοὺς ὑμνοῦντάς σε θαυματουργὲ Στυλιανὲ μακάριε.

Οἱ Κανόνες

**Ὠδὴ α'. Ἦχος δ'.**

**Ἀνοίξω τὸ στόμα μου**

Τῷ φέγγει τῆς χάριτος, καταυγαζόμενος ὅσιε, τοὺς πίστει τὴν μνήμην σου πανηγυρίζοντας, φωταγώγησον, καὶ σκότους ἁμαρτίας, σῶσον ταῖς πρεσβείαις σου καὶ ἀπολύτρωσαι.

Ὁδὸν τὴν εἰσάγουσαν ἀνεπιστρόφως διώδευσας, πρὸς πόλιν οὐράνιον μακαριώτατε, τὸ γὰρ ἅγιον ὡδήγησέ σε Πνεῦμα, ἐπαναπαυόμενον ἐν τῇ καρδίᾳ σου.

Ὑψοῦσαν ταπείνωσιν, Στυλιανὲ πάτερ ἔσχηκας, διό σου δεόμεθα οἴκτειρον ἅγιε, τὴν ταπείνωσιν, ἡμῶν καὶ τὰς ὀδύνας, πάσας ἐπικούφισον τῶν καρδιῶν ἡμῶν.

**Θεοτοκίον**

Πεσόντων ἀνάκλησις, καὶ ἱσταμένων βεβαίωσις, ὑπάρχεις πανάμωμε, ὅθεν σου δέομαι, συμπτωθέντα μου, τὸν νοῦν τῇ ἁμαρτίᾳ, ἀνόρθωσον Δέσποινα ὅπως δοξάζω σε.

Κανὼν δεύτερος

**Ἦχος πλ. δ'.**

**Ἄσωμεν τῷ Κυρίῳ**

Πάθεσι νεκρωθέντα, ζώωσόν με Πάτερ ταῖς πρεσβείαις σου, τῇ ζωῇ νῦν τῶν ζώντων, παρρησίᾳ πολλῇ παριστάμενος.

Θέρμη τοῦ Παρακλήτου, Πάτερ θαλπομένη ἡ καρδία σου, τὸν κρυμὸν τῶν δαιμόνων, καὶ παθῶν Στυλιανὲ διέλυσεν.

Ἔρωτι Πάτερ θείῳ, ἔρωτα σαρκὸς ἀποκρουσάμενος, ἐφωτίσθης καὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πᾶσαν, τὴν ἀχλὺν τῶν παθῶν ἐξηφάνισας.

**Θεοτοκίον**

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι.

Καταβασία: **Χριστὸς γεννᾶται**

**Ὠδὴ γ΄.**

**Τοὺς σοὺς ὑμνολόγους**

Ῥεόντων τὰ μένοντα ἠλλάξω, ἐμφρόνως τὸν σὸν ἀναλαβών, σταυρὸν μακαριώτατε, τὰ πάθη ἐκνικήσας σου, καὶ ἐν ἀβάτοις ὄρεσιν, ὑποχωρῶν διετέλεσας.

Ὁδόν σοι τὴν λίαν ποθουμένην, Πατέρων ὑπέδειξας σοφέ, ἣν εὗρες χρόνοις πλείοσιν, ἐγκεκρυμμένην ὄρεσι, προφητικῷ χαρίσματι, λελαμπρυσμένος μακάριε.

Δονούμενοι πάθεσι ποικίλοις, ἐν πίστει προστρέχομεν τῇ σῇ, σκέπῃ μακαριώτατε, Στυλιανὲ πρεσβείαις σου, πάντας ἡμᾶς ἐπίσκεψαι, ἐκδυσωπῶν τὸν φιλάνθρωπον.

**Θεοτοκίον**

Ῥανίσιν ἐλέους σου Παρθένε, τοὺς ἄνθρακας σβέσον τῶν ἐμῶν, ἁμαρτημάτων Πάναγνε, καὶ ἐσβεσμένον ἄναψον, τὸν λύχνον τῆς καρδίας μου, χρυσῆ λυχνία τοῦ Πνεύματος.

Ἄλλος. **Σὺ εἶ τὸ στερέωμα**

Πόνοις σου τὴν ἄρουραν, τὴν τῆς ψυχῆς Πάτερ ὅσιε, καλλιεργῶν στάχυν ἀπαθείας, καὶ θαυμάτων ἐξήνθησας.

Λύμης ἀπεκάθηρας, τῆς διανοίας τὰ ὄμματα, τῆς τῶν παθῶν ὅθεν ἐνοπτρίζῃ, καθαρῶς τὸν ἀόρατον.

Νέκρωσιν ἐνδέδυσο, ζωοποιὸν Χριστὸν ὅσιε, ἰχνηλατῶν ὅθεν ἀνιστᾶν σοι, καὶ νεκροὺς χάριν δίδωσιν.

**Θεοτοκίον**

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολὰς ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Καταβασία: **Τῷ πρὸ τῶν αἰώνων**

Κάθισμα. **Ἦχος πλ. δ΄.**

**Τὴν σοφίαν καὶ Λόγον**

Τὸν σταυρὸν τοῦ Κυρίου ἄρας σοφέ, καὶ αὐτῷ μέχρι τέλους ἀκολουθῶν, τὸν νοῦν οὐχ ὑπέστρεψας, ἐν τῷ κόσμῳ θεόσοφε, ἐγκρατείᾳ καὶ πόνοις τὰ πάθη ἐνέκρωσας, καὶ ναὸν ἡτοίμασας σαυτὸν τῷ Κυρίῳ σου· ὅθεν χαρισμάτων ἀμοιβὴν ἐκομίσω, ἰᾶσθαι νοσήματα καὶ διώκειν τὰ πνεύματα, Στυλιανὲ μακάριε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Δόξα καὶ νῦν. Θεοτοκίον**

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. Διὰ τοῦτο βοῶμεν αὐτῇ πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

**Ὠδὴ δ΄.**

**Τὴν ἀνεξιχνίαστον**

Ὄρη ὑψηλότατα καταλαβών, κορυφὰς δαιμόνων ὑψούμενος, ἐν ταπεινώσει, ἐταπείνωσας σοφέ, καὶ κατ᾽ αὐτὸν ἠρίστευσας, φύλαξ τῶν νηπίων σωτήριος.



Μάχαιραν ὡς δίστομον τὸν τοῦ Χριστοῦ, φόβον ὡπλισάμενος δράκοντα, τὸν ἀποστάτην, καταβάλλεις νοητῶς, καὶ αἰσθητῶς Στυλιανέ, φύλαξ παιδαρίων ταχύτατος.

Ὅλος θείῳ πνεύματι πυρακτωθείς, Πάτερ τὰ δεινὰ ἐκαρτέρησας, ἔτεσι πλείστοις, ταῖς ἐρήμοις προσχωρῶν καὶ ἐκζητῶν τὸν Κύριον, χάριτί σε θείᾳ συνθάλποντα.

**Θεοτοκίον**

Σὲ τὸ ἱλαστήριον πάντων βροτῶν, πίστει ἱκετεύω καὶ δέομαι, εὐλογημένη, ἵλεών μοι τὸν Κριτήν. τὸν σὸν Υἱὸν ἀπέργασαι, ὅπως καταχρέως δοξάζω σε.

Ἄλλος. **Εἰσακήκοα Κύριε**

Ἐπομβρίᾳ τῆς χάριτος, Πάτερ ποταμοὺς θαυμάτων ἀνέβλυσας, μολυσμὸν ἀποκαθαίροντας, τοὺς ἐν πίστει σοὶ προσπελάζοντας.

Ἀκηλίδωτον ἔσοπτρον, τὰς τοῦ Παρακλήτου αὐγὰς δεχόμενον, Στυλιανὲ ἐχρημάτισας, καὶ δοχεῖον θεῖον τοῦ Παντάνακτος.

Γηπονήσας τὴν ἄρουραν, σοῦ τῆς διανοίας πόνους ἀσκήσεως, ἀρετῶν χάριν πολύφορον, καὶ θαυμάτων χάριν ἐγεώργησας.

**Θεοτοκίον**

Ἡ τὸν στάχυν βλαστήσασα, τὸν ζωοποιὸν ἀνήροτος ἄρουρα, τὸν παρέχοντα τῷ κόσμῳ ζωήν, Θεοτόκε σῶζε τοὺς ὑμνοῦντάς σε.

Καταβασία: **Ῥάβδος ἐκ τῆς ῥίζης**

**Ὠδὴ ε΄.**

**Ἐξέστη τὰ σύμπαντα**

Ἐβάδισας ὅσιε, στενὴν καὶ τεθλιμμένην ὁδόν, θείαις ἀναβάσεσι καρδίας, καὶ θεωρίαις ἐμπλατυνόμενος, καὶ θέσει θεούμενος σαφῶς, πόλιν τὴν οὐράνιον, κατοικῶν Πάτερ ὅσιε.

Τὸ ὄμμα καθάραντι, τῆς διανοίας ὅσιε, χάρις σοι ἐδόθη προφητείας, ὡς ἐνεστῶτα λέγειν τὰ μέλλοντα, βλέπειν τε τὰ πόρρω ὡς ἐγγύς, ὦ Στυλιανὲ σοφέ, τῇ τοῦ Πνεύματος χάριτι.

Ὀδύνης με λύτρωσαι, ἁμαρτιῶν καὶ θλίψεων, παῦσον τῆς καρδίας μου τὸν πόνον, καὶ τῶν πταισμάτων τὴν λύσιν βράβευσον, τὸν ἀγαθοδότην καὶ Θεὸν ἔχων ὑπακούοντα, Στυλιανὲ μακάριε.

**Θεοτοκίον**

Νοός μου θεράπευσον, τὰς ἐκτροπὰς Πανάχραντε, ἴασαι τὰ πάθη τῆς ψυχῆς μου, τῆς ῥαθυμίας σκότος ἀπέλασον, ὅπως ἐν αἰνέσει σὲ ὑμνῶ, τὴν ἀειμακάριστον Θεοτόκε πανύμνητε.

Ἄλλος. **Ὀρθρίζοντες βοῶμέν σοι**

Νεκρώσας τῆς σαρκός σου τὸ φρόνημα, θεοφόρε νεκροὺς ἐξανέστησας, τῇ συνεργείᾳ τοῦ Πνεύματος.

Τὸν καύσωνα βαστάσας ἀοίδιμε, τῆς ἡμέρας χαρᾶς κατηξίωσαι, Στυλιανὲ τοῦ Κυρίου σου.

Ἀσκήσεως λειμὼν εὐωδέστατος, ἔφυς καὶ ῥόδον ὀσμαῖς θείας γνώσεως, εὐωδιάζων τὰ πέρατα.

**Θεοτοκίον**

Οἱ μή σε Θεοτόκον γινώσκοντες, θεομῆτορ φῶς οὐ μὴ θεάσωνται, τὸ γεννηθὲν ἐκ σοῦ Πάναγνε.

Καταβασία: **Θεὸς ὢν εἰρήνης**

**Ὠδὴ ϛ΄.**

**Τὴν θείαν ταύτην**

Μαράνας πάθη τοῦ σώματος, ὡς δένδρον καθωράθης ὑψίκομον, καρποὺς τὰ θαύματα, καὶ τὰ σεπτὰ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κατορθώματα, ἱερωτάτως Στυλιανὲ φέρων ὅσιε. (Δὶς)

Μυρίοις πόνοις ὡμίλησας, τὸ σῶμα ἀσθενῶς διακείμενος, Στυλιανὲ ὅσιε, ὅθεν ἐν πίστει κραυγάζω σοι, τὰς ἀλγηδόνας παῦσον ἡμῶν τῶν δούλων σου.

Θεοτοκίον

Ἡ μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι καὶ χεῖρα ὄρεξον, καὶ πρὸς λιμένα ἐμβίβασον, τῆς σωτηρίας Κόρη θεοχαρίτωτε.

Ἄλλος. **Ἱλάσθητί μοι Σωτὴρ**

Τοῦ κήτους τοῦ νοητοῦ, πανωλεθρίαν διέφυγες, ἐγκράτειαν προσευχήν, ἀγάπην ἀθόλωτον, κραταιὰν ταπείνωσιν, καὶ στοργὴν βεβαίαν, πρὸς Χριστὸν Πάτερ κτησάμενος.

Θεός σου τὰ πρὸς αὐτόν, κατεύθυνε διαβήματα ὁ δυνατὸς δυνατόν, σαφῶς ἀπειργάσατο, πατοῦντα ἐπ' ὄφεων, καὶ σκορπίων κάρας, θεοφόρε παμμακάριστε.

Τῇ νεύσει τῇ πρὸς Θεόν, Θεὸς σαφῶς ἐχρημάτισας, τῇ πρὸς τὸ φῶς ὁλικῇ, στοργῇ φῶς γεγένησαι, ἄγγελος ἐπίγειος, θεοφόρε Πάτερ καὶ οὐράνιός τε ἄνθρωπος.

Θεοτοκίον

Ὁ νώτοις χερουβικοῖς, ἀπεριγράπτως καθήμενος περιγραπτὸς ἐν τῇ σῇ, κοιλίᾳ ἐνῴκησε σαρκὶ οὐ θεότητι, καὶ ἐκ σοῦ προῆλθε, διασῴζων τὸ ἀνθρώπινον.

Καταβασία: **Σπλάγχνων Ἰωνᾶν**

Κοντάκιον. **Ἦχος δ'.**

**Ἐπεφάνης σήμερον**

Ἐν τῇ μνήμῃ σήμερον τῇ ἱερᾷ σου, συνελθόντες ἅπαντες ἐκδυσωποῦμεν οἱ πιστοί, Στυλιανὲ ὁσιώτατε, παρὰ Κυρίου εὑρεῖν ἡμᾶς ἔλεος.

Ὁ οἶκος

Ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, διεξῆλθεν ὁ φθόγγος τῶν τερπνῶν ἀρετῶν καὶ ἐνθέων ἀγώνων σου ὅσιε Πάτερ· νέος γὰρ ὑπάρχων τῇ ἡλικίᾳ, ἐν ἐρήμοις συνδιαιτᾶσθαι ἐπόθησας, ὕμνους Χριστῷ, ψαλμῳδίας τε καὶ εὐχὰς ἀναπέμπων, ἀεὶ ἡμέραν τε καὶ νύκτα συναύξων ἔν τε πόνοις καὶ δάκρυσιν ἁγνῶς τὸν βίον ἐτέλεσας, ὅθεν καὶ ἰαμάτων γέγονας πηγή, καὶ τῶν παίδων φύλαξ ἀκοίμητος· διὸ ἱκέτευε σοῦ δεόμεθα, παρὰ Κυρίου εὑρεῖν ἡμᾶς ἔλεος.

Τῷ αὐτῷ μηνὶ **ΚϚ'**. τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Στυλιανοῦ τοῦ Παφλαγόνος τοῦ θαυματουργοῦ.

Ἀσκήσεως πέπτωκεν ὁ στερρὸς στύλος
Στυλιανὸς γὰρ τὸν βίον καταστρέφει

Ταῖς τοῦ σοῦ ὁσίου Στυλιανοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ'.**

**Οὐκ ἐλάτρευσαν**

Τὴν καρδίαν σου, τῆς Τριάδος οἰκητήριον ἀπεργασάμενος, ὅθεν ἡ θεία σορός, τῶν σεπτῶν λειψάνων σου μακαριώτατε, μύρα ἐκβλύζει ἀεὶ προχεόμενα, εἰς φωτισμὸν καὶ κάθαρσιν, τῶν πιστῶς σοι προσιόντων.

Ἡ ψυχή σου, θείου Πνεύματος, ἐλλαμπομένη ἀεί, ψυχῶν ἑώρα σαφῶς, τῶν προσερχομένων σοι θαυμασιώτατε, τὰ βουλεύματα, προφητικαῖς προγνώσεσιν, ἱερῶς θαυμαζομένη.

Νοσημάτων, χειμαζόντων με μακάριε, ψυχῆς καὶ σώματος ταῖς ἱκεσίαις σου νῦν, συντόμως ἀπάλλαξον καὶ μέλπειν ποίησον, ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Ἀναλοίωτον, τεκοῦσα μόνη Κύριον Θεοχαρίτωτε, τῇ δεξιᾷ τῇ αὐτοῦ, ἁγνὴ ἀλλοιῶσαί μου τὸν νοῦν ἱκέτευε, πρὸς τὰ κρείττονα, δεινῶς περιτρεπόμενον, ταῖς τοῦ βίου ἀσχολίαις.

Ἄλλος. **Παῖδες ἑβραίων**

Ὅλην τοῦ Πνεύματος τὴν αἴγλην, ὑποδέδεξαι νοῒ κεκαθαρμένῳ, καὶ φωστὴρ τῶν πιστῶς βοώντων χρηματίζεις, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θείαις σχολάζων θεωρίαις, λαμπρυνόμενος ἀΰλοις θεαυγίαις, καὶ ἡμέρας υἱός, καὶ φῶς τῶν ἐν τῷ σκότει, ὡς ἀληθῶς γεγένησαι, θεοφόρε εἰς αἰῶνας.

Λάμπων ἀκτῖσιν ἀπαθείας, ἀπημαύρωσας δαιμόνων ἐπηρείας, καὶ τῆς τούτων πολλῆς, κακώσεως ἐρρύσω, ἀναβοῶντας ὅσιε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Ἴδε ἣν ἔφησε Παρθένον, ἐν τῷ πνεύματι ὁ μέγας Ἡσαΐας, ἐν γαστρὶ τὸν Θεὸν συνέλαβε καὶ τίκτει, ᾧ μελῳδοῦντες κράζομεν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Καταβασία: **Οἱ παῖδες εὐσεβείᾳ**

Ὠδὴ η'.

**Παῖδας εὐαγεῖς**

Ἱστάμενος ἄνω πρὸς τὸ ὄρος, ὡς ἐπὶ λυχνίαν Πάτερ ὅσιε, πάντων τὰ νοήματα, πίστει κατεφώτιζες, ὑποδεικνύων ἄριστα μακαριώτατε, τὴν τρίβον τῆς ζωῆς καὶ ἀνάγων, τούτους θείῳ λόγῳ, πρὸς ὕψος ἀπαθείας. (Δὶς)

Νοῒ ἀπαθείᾳ καθαρθέντι, ὡμίλεις Κυρίῳ Παντοκράτορι, ὑφ' οὗ τὰ ἀπόρρητα, ὅσιε μυούμενος, Στυλιανὲ προέλεγες εἰς σωτηρίαν ψυχῶν, ὡς μέγιστος, παμμάκαρ προφήτης, ὅθεν σε συμφώνως, παμμάκαρ εὐφημοῦμεν.

Θεοτοκίον

Ὡράθης ἀγγέλων ὑπερτέρα, Θεὸν ἀπορρήτως σωματώσασα, τοῦτον οὖν ἱκέτευε, Δέσποινα πανάμωμε, τῶν σαρκικῶν ἀνώτερον παθῶν γενέσθαι με, νοὸς ἐν ὑψηλῇ ταπεινώσει, ἀνυμνολογοῦντα, τὴν σὴν μεγίστην χάριν.

Ἄλλος. **Ἑπταπλασίως κάμινον**

Αἰηνεκέσι χρώμενος προσευχαῖς καὶ δεήσεσι, λύμην ἐκ ψυχῆς τὴν τῶν παθῶν ἐξέωσας, καὶ τῆς διανοίας σου, τὸ ὀπτικὸν ἐκάθηρας, ὅθεν προορᾶν, προφητικῶς ἠξιώθης, τὰ μέλλοντα συμβαίνειν, Στυλιανὲ ἀναμέλπων, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀγγελικῶς ἐβίωσας, μετὰ σώματος ὅσιε, καὶ τὰς ἐναντίας ἐτροπώσω φάλαγγας, ἐντεῦθεν εἰς ἄϋλον, μετ' εὐφροσύνης Πάτερ ζωήν, ὅπου τῶν ἀγγέλων κατεσκήνωσας τάξεις, μεθ' ὧν νῦν ἀνακράζεις, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑλομανοῦσαν πάθεσι, τὴν ψυχήν μου καθάρισον, σοῦ ταῖς πρὸς τὸ θεῖον ἱεραῖς ἐντεύξεσι, καὶ τῆς συνεχούσης με αἰχμαλωσίας λύτρωσαι, Πάτερ θεοφόρε Στυλιανὲ ἵνα ψάλλω, οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαοὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Ῥήμασι σοῖς ἑπόμενοι, μακαρίζομεν Πάναγνε, σὲ τὴν μακαρίαν τὴν σαρκὶ κυήσασαν, τὸν ὄντως μακά-



Athos Library Αγιορειτική Βιβλιοθήκη

ριον, τὸν φῶς οἰκοῦντα ἄδυτον, καὶ φωταγωγῶν καὶ φωτοδότην Δεσπότην, ὅν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία : **Θαύματος ὑπερφυοῦς**

**Ὠδὴ θ.΄**

**Ἅπας γηγενὴς**

Σοῦ τὸ ἱερόν, καὶ ἅγιον λείψανον ἐν τάφῳ κείμενον, θάπτει τὰ νοσήματα, καὶ φλέγει στίφος δαιμόνων πάντοτε, Στυλιανὲ μακάριε τῇ θείᾳ χάριτι, ἀναβλύζον, πᾶσι τὰ ἰάματα, τοῖς πιστῶς σε ἀεὶ μακαρίζουσι.

Ἴσχυσας Θεῷ, τὸν νοῦν σου κρατύνοντι κατακρατῆσαι παθῶν, ἄγγελος ἐν σώματι, ἐντεῦθεν Πάτερ σὺ ἐχρημάτισας, καὶ σὺν Ἀγγέλοις πάντοτε τοὺς οὐρανοὺς κατοικεῖς, τῷ τῆς δόξης, θρόνῳ παριστάμενος, καὶ φωτὸς ἀνεσπέρου πληρούμενος.

Ὥσπερ οὐρανόν, τὰ ὄρη καὶ σπήλαια ᾤκησας ὅσιε, ὅθεν σοι εἰρήνευσαν, ἄγριοι θῆρες καθυποτάξαντι, πάθη ψυχῆς δυσκάθεκτα, μακαριώτε, καὶ δικαίῳ, ἤδη χρηματίσαντι, διὰ τοῦτο πιστοὶ σὲ γεραίρομεν.

**Θεοτοκίον**

Φώτισον ἁγνή, ψυχῆς μου τὰ ὄμματα φῶς ἡ κυήσασα, μὴ καταλαβέτω με, τῆς ἁμαρτίας σκότος βαθύτατον, μηδὲ βυθὸς καλύψει με τῆς ἀπογνώσεως, ἀλλ᾽ αὐτή με, σῶσον καὶ κυβέρνησον, πρὸς λιμένα τοῦ θείου θελήματος.

Ἄλλος. **Ἔφριξε πᾶσα ἀκοὴ**

Δέδεικται θαῦμα φοβερόν, κατ᾽ αὐτόν σου τὸν καιρὸν τῆς κοιμήσεως ὑπὲρ τὸν ἥλιον, σοῦ τοῦ προσώπου Πάτερ ἀστράψαντος, ἡνίκα παρῆσάν σοι χοροί, ἀγγέλων τὸ πνεῦμά σου παραληψόμενοι, καὶ Θεῷ τῷ ποιητῇ προσαγόμενοι. (Δὶς)

Δίκαιος ἄμεμπτος παντός, ἀπεχόμενος κακοῦ Πάτερ γέγονας ὅσιος ἄκακος, Θεῷ λατρεύσας ἐν ὁσιότητι, ἐπανεπαύσατο διό, Τριὰς τῇ καρδίᾳ σου καὶ νῦν τρανώτερον, ἀπολαύεις τηλαυγῶς ἀξιάγαστε.

**Θεοτοκίον**

Ὥριμον δρέπομαι ζωήν, μὴ βλαπτόμενος τῷ ξύλῳ τῆς γνώσεως, σὺ γὰρ Πανάμωμε, ζωῆς τὸ ξύλον Χριστὸν ἐβλάστησας, τὸν τὰς εἰσόδους τῆς ζωῆς, τοῖς πᾶσι γνωρίσαντα διό σε πάναγνε, Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

Καταβασία : **Μυστήριον ξένον**

Ἐξαποστειλάριον

**Γυναῖκες ἀκουτίσθητε**

Ἐκ μήτρας καθηγίασε, Θεός σε Πάτερ ὅσιε, Ἱερεμίαν ὡς πάλαι, καὶ Σαμουὴλ θεοφόρε, προφήτην θεῖον δείξας σε, Στυλιανὲ μακάριε, τῶν ἀγγέλων ὁμόσκηνε, μεθ᾽ ὧν μνημόνευε πάντων, τῶν σὲ πιστῶς ἀνυμνούντων.

**Θεοτοκίον**

Ἐν δύο ταῖς θελήσεσι, καὶ φύσεσι Πανάμωμε, μιᾷ δὲ τῇ ὑποστάσει, τίκτεις Θεὸν ἀπορρήτως, τὸν δι᾽ ἡμᾶς πτωχεύσαντα, μέχρι σταυροῦ θελήματι, καὶ ἡμῖν χαρισάμενον, τὸν τῆς θεότητος πλοῦτον θεοκυῆτορ Παρθένε.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος β΄.**

**Οἶκος τοῦ Εὐφραθᾶ**

Πάντες τὸν θαυμαστόν, τιμήσωμεν ἐν ὕμνοις, Στυλιανὸν τὸν θεῖον, πρεσβεύοντα Κυρίῳ, ὑπὲρ τῶν τιμώντων αὐτόν.



Τὸν ὅσιον πιστοί, θαυματουργὸν Κυρίου, Στυλιανὸν τὸν μέγαν, ἀγγέλων συνοδίτην, πιστῶς ἀνευφημήσωμεν.

Δέχου νῦν παρ᾽ ἡμῶν, δεήσεις θερμὸν, καὶ ταύτας ἐν Κυρίῳ, προσάγαγε προθύμως, καὶ σῶσον τοὺς ὑμνοῦντάς σε.

Παῖδας τῶν ὑμνῳδῶν, καὶ σὲ τιμώντων πόθῳ, διάσωζε κινδύνων, φυλάττων ἀσθενείας, Στυλιανὲ μακάριε.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Στυλιανὲ Πατὴρ ἡμῶν· διὰ γάρ σου τὴν τρίβον τὴν ὄντως εὐθεῖαν πορεύεσθαι ἔγνωμεν· μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν. Ἀγγέλων συνόμιλε, ὁσίων συμμέτοχε καὶ δικαίων· μεθ᾽ ὧν δὲ καὶ τῶν παιδαρίων φύλαξ σωτήριος, πρέσβευε σὺν τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον. **Δόξα. Ἦχος β΄.**

Δεῦτε τῶν πιστῶν ὁ σύλλογος, σήμερον ὕμνοις στέψωμεν, Στυλιανὸν τὸν θεόφρονα, τὸν πᾶσι τοῖς πιστοῖς προφθάνοντα, καὶ τὰς αἰτήσεις πληροῦντα καὶ τῶν παίδων φύλακα σωτήριον, τὸν δοτῆρα τῶν αἰτούντων ἀφθονώτατον, καὶ ἰατρὸν παμφαέστατον· ὅθεν καὶ πρεσβεύει ἐκτενῶς ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν προεόρτιον**

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ μεγ. Ἀντωνίου.

**Μεγαλυνάριον**

Μέγιστος ὑπάρχεις ἡμῶν φρουρός, φύλαξ τε τῶν παίδων, ἀντιλήπτωρ καὶ πρεσβευτής, ἐν κινδύνοις ῥύστης, λοιμοῦ τε καθαιρέτης, Στυλιανὲ τρισμάκαρ, διὸ τιμῶμέν σε.

# ΒΙΟΣ

## Τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Στυλιανοῦ τοῦ Παφλαγόνος.

**Εὐλόγησον πάτερ**

Οὗτος ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Στυλιανὸς ἐγεννήθη ἐν Παφλαγονίᾳ, ἡγιασμένος, ὡς ἄλλος Σαμουήλ, ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ ηὔξανε καὶ ἐκραταιοῦτο ἐν τῇ χάριτι τοῦ Χριστοῦ, κατοικητήριον γενόμενος τοῦ παναγίου Πνεύματος. Σάρκα φορῶν καὶ αὐτὸς ὁ μακάριος καὶ τὸν κόσμον οἰκῶν, οὔτε ὑπὸ τῶν ἐπιθυμιῶν τῆς σαρκὸς εἱλκύσθη, οὔτε ὑπὸ τῆς ματαιότητος τοῦ κόσμου. Κατανοήσας τὸ φθαρτὸν τῆς σαρκὸς καὶ τοῦ κόσμου τὸ ἐφήμερον, δὲν ἠθέλησε νὰ δουλεύσῃ αὐτοῖς ἵνα θερίσῃ φθορὰν καὶ ἀπώλειαν, ἀλλὰ συνετάχθη μετὰ τοῦ κρείττονος, ἤτοι τῆς ἀθανάτου ψυχῆς, καὶ ταύτης ἀπεφάσισε νὰ ἐπιμεληθῇ ἐν τῷ βίῳ, ἵνα κληρονομήσῃ ζωὴν αἰώνιον. Ὅθεν εὐθὺς ἐξ ἀρχῆς «ἐσκόρπισε, κατὰ τὸ γεγραμμένον, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα», ἅπαντα τὸν πλοῦτον αὐτοῦ, ὅν ἐκληρονόμησε παρὰ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν γονέων, διεμοίρασεν εἰς τοὺς πτωχούς, θεωρῶν ἔγκλημα νὰ πένωνται μὲν ἄλλοι, αὐτὸς δὲ νὰ πλουτῇ. Οὕτω δὲ ἐκ τῆς γῆς ἀνεβίβασε τοὺς θησαυρούς αὐτοῦ εἰς τὸν οὐρανὸν πρὸς αἰωνίαν περίθαλψιν. Δεσποτικὸν ἐκπληρῶν πρόσταγμα, ὅπερ λέγει: «Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σής, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν. Οπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν». Καὶ ὄντως, εὐθὺς ὡς διεμοίρασεν ὁ μακάριος τὸν πλοῦτον αὐτοῦ καὶ μετεβίβασεν αὐτὸν διὰ τῆς μεθόδου ταύτης εἰς τὸν οὐρανόν, ἀπεσπάσθη τῶν γηΐνων καὶ πάντων τῶν ματαίων, καὶ ἐξ ὅλης καρδίας αὐτοῦ ἀφωσιώθη εἰς τὴν λατρείαν τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ὅθεν καὶ περιεβάλετο τὸ μοναχικὸν σχῆμα, ἵνα εὐσχημόνως πάντοτε ὑπηρετῇ τῷ Κυρίῳ, οὐδὲν ἄλλο φροντίζων καὶ ζητῶν, ἤ, κατὰ τὴν ἀποστολικὴν παραγγελίαν, τί εὐάρεστον τῷ Κυρίῳ, ἵνα ποιῇ αὐτό, καὶ οὐδέποτε ἐξετάζων τί ἀρέσκει ἑαυτῷ. Διὰ τοῦτο καὶ ὑπέρτερος ἀνεδείχθη πάντων τῶν μοναχῶν, τοὺς πάντας ὑπερβὰς ἐν ταῖς δι' ἐπιπόνων ἀσκήσεων ἀρεταῖς, αἵτινές εἰσιν ὁ ἀληθὴς τοῦ ἀνθρώπου κόσμος ὁ ἑλκύων τὴν ἀγάπην τοῦ Θεοῦ. Προαγόμενος δὲ ἐπὶ μᾶλλον ἐν τῷ θείῳ ἔρωτι, ἤθελε τρόπον τινά, ἀποφεύγων πᾶν πρόσκομμα, τῷ Θεῷ μόνῳ νὰ συνομιλῇ. Ἀναχωρεῖ λοιπὸν πρὸς τὴν ἔρημον καὶ εἰσέρχεται εἰς σπήλαιόν τι, καὶ κατακλείεται ἐν αὐτῷ. Ἀλλ' ὦ Πανάγαθε Κύριε, ὁποίας χάριτας ἐπιδαψιλεύεις εἰς τοὺς ἐξ ὅλης ψυχῆς ζητοῦντάς σε! Ἀφωσιώθη ἐν τῷ σπηλαίῳ ὁ Ἅγιος ἀπέσπασε τὴν διάνοιαν αὐτοῦ ἀπὸ παντὸς ματαίου λογισμοῦ καὶ οὐδὲν ἄλλο ἐμελέτα ἢ τὴν Τρισυπόστατον Θεότητα, καὶ τὴν διὰ Χριστοῦ σωτηρίαν. Οὕτω δὲ ἠγάπησε τὸν Θεὸν ἐξ ὅλης τῆς διανοίας αὐτοῦ, κατὰ τὴν θείαν ἐντολήν. Ἀπέσπασε προσέτι καὶ τὴν καρδίαν αὐτοῦ ἀπὸ παντὸς σαρκικοῦ καὶ κοσμικοῦ, θεωρῶν τὸ ὑπέρκαλλον κάλλος τῆς τρισηλίου Θεότητος καὶ τοῦ παγκάλου Λόγου καὶ Σωτῆρος ἡμῶν ἐρώμενος. Οὕτω δὲ ἠγάπησε τὸν Θεὸν καὶ ἐξ ὅλης καρδίας συμφώνως πρὸς αὐτὴν τὴν ἐντολήν. Ἀλλὰ καὶ ἐξ ὅλης τῆς δυνάμεως ἠγάπησεν Αὐτόν, οὐδὲν ἄλλο πράττων ἢ τὰ τοῦ Θεοῦ ἔργα, τουτέστιν ἔργα εὐσεβείας καὶ ἀρετῆς. Οὕτω δὲ ἀπεξεδύθη τὸν παλαιὸν ἄνθρωπον σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις αὐτοῦ, καὶ ἐγένετο καινὸς ἄνθρωπος ἐν Χριστῷ, εἰς δόξαν Θεοῦ Πατρὸς ἀμήν, ὃν ἠγάπησε καὶ ἐξ ὅλης τῆς διανοίας καὶ ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος καὶ ἐξ ὅλης τῆς ψυχῆς αὐτοῦ, καὶ ἐντελῶς ἀντηγαπήθη ὑπὸ τῆς Παναγίας Τριάδος, ἥτις καὶ μονὴν ἐποιήσατο παρ' αὐτῷ. Ἐπειδὴ δὲ καὶ τὸν πλησίον ὁ Ἅγιος ἠγάπα, διὰ τοῦτο, ἵνα πολλοῖς ὠφέλιμος φανῇ, διετήρει ὁ Κύριος αὐτὸν ἐν τῇ ζωῇ τρέφων δι' ἀγγέλου. Καθὼς δὲ ὁ Σωτὴρ ἡμῶν εἶπεν: «Οὐδεὶς ἀνάπτει λύχνον καὶ τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ'



ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ».

Ὡς λαμπὰς λοιπὸν καὶ ὁ μακάριος ἑτοιμασθεὶς τῷ Θεῷ, ἔδει νὰ διαχύσῃ τὸ ἱλαρὸν αὐτοῦ φῶς εἰς δόξαν Θεοῦ, ἵνα ἴδωσιν οἱ ἄνθρωποι πῶς ὁ Θεὸς δοξάζει τοὺς δοξάζοντας Αὐτόν. Ὅθεν ἡ φήμη τῆς ἁγιωσύνης τοῦ ὁσίου Στυλιανοῦ διεδόθη πανταχοῦ, καὶ πάντες πάντοθεν συνέρρεον μετ' εὐλαβείας πρὸς τὸν Ἅγιον, καὶ ἀπεκόμιζον ψυχικά τε καὶ σωματικὰ ἀγαθά, ἐπιστρέφοντες καὶ κρατυνόμενοι ἐν τῇ εὐσεβείᾳ καὶ ἀγάπῃ τοῦ Θεοῦ καὶ τοῦ πλησίον, καὶ πολλὰς ἰάσεις σωματικὰς λαμβάνοντες παθῶν ἀνιάτων. Οὕτω δὲ βιώσας ἐπὶ τῆς γῆς ὡς ἐπίγειος Ἄγγελος, ἐπιστάσης τῆς ὥρας, ἵνα τύχῃ τοῦ διακαῶς ποθουμένου, ἵνα ἐκδημήσῃ τοῦ σώματος καὶ ἐνδημήσῃ τῷ Κυρίῳ, ἵνα ἀναλύσῃ κατὰ Παῦλον, καὶ σὺν Χριστῷ ᾖ, ἔλαβεν εἴδησιν ὅτι τὸ τέλος τοῦ βίου τούτου ἤγγικεν. Ὅθεν δοξολογήσας ἀπῆλθεν πρὸς Κύριον, λάμψαντος τοῦ προσώπου αὐτοῦ ὡς Ἡλίου· παραυτίκα δὲ χορὸς ἁγίων Ἀγγέλων παρέλαβε τὴν παναγίαν αὐτοῦ ψυχήν. Οὐδὲ μετὰ τὸν θάνατον δ' αὐτοῦ ἐπαύσατο παρέχων τὰς ἰάσεις ἀφθόνως. Διότι, ὅταν θανατηφόρος ἐπήρχετο εἰς τὰ παιδία ἀσθένεια, καὶ οἱ γονεῖς ἔμενον ἄτεκνοι, ὅσοι ἐν τῇ ἀσθενείᾳ τῶν τέκνων των μετὰ πίστεως ἐπεκαλοῦντο τὸν Ἅγιον Στυλιανόν, καὶ μετ' εὐλαβείας ἐζωγράφιζον τὴν πανσέβαστον καὶ ἁγίαν αὐτοῦ εἰκόνα, καὶ τὴν ἴασιν τῶν τέκνων παρευθὺς ἐλάμβανον, καὶ ἄλλα ἐγέννων ἐν χάριτι Θεοῦ διὰ μεσιτείας τοῦ Ἁγίου. Καὶ σήμερον δὲ τοῖς μετὰ πίστεως ἐπικαλουμένοις ὁμοίως βοηθεῖ. Τοιοῦτος ὁ ἅγιος Στυλιανός, ὅστις ἔστω παράδειγμα μιμήσεως ἡμῖν, διότι καὶ αὐτὸς ἦν ἄνθρωπος καθὼς καὶ ἡμεῖς, ἀλλ' ἀποφασίσας ἔτυχε τῆς χάριτος τοῦ Θεοῦ, ἐτελειώθη ἐν Χριστῷ, καὶ ἐγένετο μακάριος. Ἵνα δὲ καὶ ἡμεῖς τύχωμεν ἀγαθῶν, μιμηθῶμεν τὴν πίστιν καὶ ἀφοσίωσιν τοῦ Ἁγίου, ἐργασθῶμεν ἔργα εὐσεβείας καὶ σωφροσύνης, δικαιοσύνης τε καὶ ἐλεημοσύνης ἐν τῷ κύκλῳ ἡμῶν. Ὁ δὲ διὰ τὴν ἡμετέραν σωτηρίαν σταυρωθεὶς καὶ ἀναστὰς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς τοῦ ὁσίου αὐτοῦ καὶ ἁγίου Στυλιανοῦ πρεσβείαις ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς. Ἀμήν.

---

### ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΑΙ ΛΟΓΟΙ
### *ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ*

(Ἐκ τοῦ Κώδικος Λ 197)

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

**Πρὸς μέγαν ἔπαινος**

Οὐχ ἧττον νομίζω τὸ ἡττᾶσθαι τῇ τοσαύτῃ μεγαλειότητι, ἀλλ' ἥδομαι μᾶλλον ἡττόμενος τὴν καλὴν ἧτταν, καὶ τὴν ἄλλην παρὰ φαῦλον τιθέμενος· εὐχαριστῶ δὲ μάλιστα τῇ φιλοστόργῳ σου διαθέσει, ὅτι ὀμματώνεις τὴν ἀπὸ τῶν πολλῶν ἁμαρτιῶν πεπηρωμένην τοῦ νοός μου διάνοιαν καὶ τὴν ἔννοιαν· καὶ ἀπὸ τῶν καθ' ἡμᾶς ἀνάγεις τὴν διάνοιάν μου εἰς τὰ ὑπὲρ ἡμᾶς. Ἅπλωσον τοίνυν ἡμῖν τὰς πτέρυγας τῆς φιλανθρωπίας, καὶ σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ σου. Ὄντως κηρία μέλιτος λόγοι καλοί.

**Εὐκτικὴ πρὸς φίλον**

Δώοι δέ μοι ὁ Θεὸς τοῦ ἐλέους δι' εὐχῶν σου ἁγίων τὴν ὄντως εὔζωϊαν εὑρεῖν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ τὴν βλάβην τὴν τῆς ψυχῆς φθορὰν κατιδεῖν· καὶ τοῦ χειμῶνος τῶν πολλῶν μου ἀνομιῶν λυτρωθῆναι καὶ τὴν ἐπὶ τὸ βέλτιον τραπῆναι τροπήν, καὶ τὴν νύκτα τῆς ἁμαρτίας ἐκκλίναι καὶ πρὸς τὸ φῶς τοῦ καθαροῦ συνειδότος δραμεῖν καὶ πρὸς τὸν παροργισθέντα ἀναδραμεῖν τὸ ἄκρον ἀγαθὸν οὗ ἐφίενται ἅπαντες.

### Πρὸς τὸν ἑστιάσαντα εὐχὴ

Χριστὸς ὁ ἐπουράνιος Βασιλεύς, ὁ ἐπουράνιος Ἄρτος, ἡ τρυφὴ τῶν ἀγγέλων, ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὁ παρὰ τῶν ἀγγέλων ὑμνούμενος καὶ τοῖς ἀνθρώποις συνδιαιτώμενος, ὁ τρέφων ἅπαντας τῇ θεότητι, καὶ τρεφόμενος τῇ ἀνθρωπότητι, ὁ βλύζων φιλανθρωπίαν, καὶ πηγάζων οἰκτιρμούς, ὁ πᾶσαν τράπεζαν πληρῶν παντὸς ἀγαθοῦ, ὁ δι᾽ ἡμᾶς πρὸς ἡμᾶς παραγενόμενος· ἐλθέτω ἐπὶ τὴν παροῦσαν ἡγεμονικὴν καὶ μεγαλοπρεπῆ εὐωχίαν καὶ ἀρχοντικὴν πανδαισίαν, καὶ αὐθεντικὴν τράπεζαν· καὶ καταλαβέτω τὸν θεοστήρικτον τοῦτον οἶκον καὶ τῇ θεϊκῇ αὐτοῦ παρουσίᾳ, τιμήσοι καὶ εὐλογήσοι καὶ ἁγιάσαι τὸν εὐσεβέστατον· καὶ γεννηθήτω ὁ Κύριος σωτὴρ καὶ φωτισμὸς καὶ ὑπερασπιστὴς τῆς ζωῆς αὐτοῦ, γενηθήτω φρουρὸς καὶ φύλαξ τῆς ψυχῆς καὶ τοῦ σώματος· καὶ ἡ χάρις αὐτοῦ καὶ ἡ ἔλαμψις μηδέποτε ἀναχωρήσοι τῆς αὐτοῦ συνοικεσίας καὶ οἰκειότητος.

### Νουθεσία πρὸς τὸν ταξειδεύοντα Γρηγόριον

Πρόσεχε σεαυτῷ τέκνον· μὴ ὁ κόσμος σὲ ἀκοσμίαν ἐνδύσῃ, μνήσθητι τὸν καλέσαντα Κύριον· μὴ ποιήσῃς τὸ στόμα σου θάνατον· μὴ κατακρίνῃς τὰς χεῖρας ἀσέμνοις περιπλοκαῖς, μὴ καταδικάσῃς τοὺς πόδας δρόμοις αἰσχροῖς, μὴ ἀνατρέψῃς τὸν καλόν σου δρόμον, δρόμοις αἰσχροῖς, μὴ σκορπίσῃς τῆς ἁγνείας τοὺς μαργαρίτας· μὴ οἰκοδομήσῃς κακῶς ἃ κατέλυσας καλῶς, μεῖνον σωφροσύνης ἄγαλμα νεουργόν, ἵνα μὴ χωνευθῇς εἰς τὸ πῦρ τὸ αἰώνιον.

### Εὐχὴ

Ἐπιβρέξοι εἰς τὴν θεοφρούρητον ἡγεμονίαν καὶ τζάραν ὁ Κύριος ὑετὸν πρώϊμον καὶ ὄψιμον, καὶ πληθυνθήσονται αἱ ἅλωνες σίτου καὶ οἱ ληνοὶ οἴνων.

### Πρὸς τοὺς Ἀρχιερεῖς

Ἐπειδὴ ἓν σῶμά ἐσμεν, καὶ μέλη Χριστοῦ πάντες, ἑνὸς μέρους νενοσηκότος κοινωνοὶ τῆς ἀλγηδόνος πάντες γενώμεθα.

### Εὐχὴ
### Πρὸς τὴν Θεοτόκον

Ὢ ὑπέραγνε Δέσποινα τοῦ σύμπαντος κόσμου καὶ βασίλισσα πάσης ὁρατῆς τε καὶ νοουμένης κτίσεως, ἡ ταχεῖα προστασία καὶ ἄμαχος, ἡ τὸν Θεὸν Λόγον ἐν γαστρί σου χωρήσασα· ἡ τὴν φύσιν ἡμῶν τῷ σῷ τόκῳ θεώσασα, ἡ Θεῷ καὶ ἀνθρώποις τῷ τόκῳ σου μεσιτεύσασα, ἐλέησον τὸν λαόν σου, τὴν ποίμνην σου, καὶ τὴν κληρονομίαν σου. Σπλαγχνίσθητι ἐπὶ τῷ ὄρει τούτῳ τῶν ἐν τῷ σῷ καυχομένῳ ὀνόματι· μεσίτευσον ὑπὲρ ἡμῶν τῶν ἀναξίων δούλων σου δυσώπησον τὸν μονογενῆ σου Υἱὸν ἐπὶ τοῖς ἡμετέροις μακροθυμῆσαι πταίσματι, καὶ λῦσαι πᾶσαν καθ᾽ ἡμῶν δικαίαν ὀργὴν τῆς δικαιοσύνης Αὐτοῦ. Ναὶ Δέσποινα, Δέσποινα, ἡ τοῦ κόσμου ἀντίληψις, ἐλέησον ἡμᾶς, καὶ μὴ ἐάσῃς ἡμᾶς ἀπολέσθαι ταῖς ἁμαρτίαις ἡμῶν· ἡμάρτομεν, ἠνομήσαμεν καὶ τὸν καθαρὸν τοῦ βαπτίσματος καὶ ἀγγελικοῦ σχήματος χιτῶνα, κατερρυπώσαμεν· καὶ τὰς δεσποτικὰς ἐντολὰς ἠθετήσαμεν· ἀλλὰ κἂν ὀλισθαίνωμεν, καὶ ἀκρατῶς ἁμαρτάνωμεν, ἀλλ᾽ οὐκ ἐπετάσαμεν, οὔτε ἐκτείνομεν τὰς χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλ-



λότριον ἀλλ᾽ εἰς τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν.

Χαῖρε Μαρία οὐρανίου στάχυος ἀθέριστος ἄρουρα, χαῖρε ἀληθινῆς ἀμπέλου ἀψευδής; μήτηρ Παρθένε, ἀτρέπτου θεότητος σαγήνη ἀδιάπτωτος, ἡ τῇ κτίσει ὑφάνασα ἀχειρόπλοκον στέφανον, πυρὸς ἁγίου οἰκητήριον, ἡ τῆς φυγάδος οἰκουμένης ἐπάνοδος, τῆς λιμωττούσης κτίσεως ταμεῖον ἀδαπάνητον, ἡ ἀπέραντος χάρις, τοῦ ἡλίου λαμπρότερον φῶς, τοῦ νοητοῦ ἀγκίστρου τὸ δέλεαρ, νοερὰ τῆς δόξης κιβωτέ· ἡ στάμνος ἡ χρυσῆ, ἡ τὸ οὐράνιον ἔχουσα μάννα, ἡ τὴν γλυκεῖαν πόσιν τῆς ἀενάου πηγῆς τοὺς διψῶντας ἐμπλήσασα· ἡ νοερὰ θάλασσα, ὁ λαμπρὸς οὐρανός, ἡ στυλοειδὴς νεφέλη, ἡ τὸν Θεὸν ἔχουσα τὸν ἐν τῇ ἐρήμῳ καθοδηγήσαντα τὸν Ἰσραήλ, ἡ ὁλόρριζος δόξα, ἡ χωρὶς Θεοῦ μόνου, πάντων ἀνωτέρα ὑπάρχουσα.

### Εὐχὴ
### Πρὸς τὸν αὐθέντην

Θήσει τὴν αὐτοῦ ὑψηλότητα ὑψηλὸν παρὰ πᾶσι τοῖς εὐσεβέσι καὶ ἡγεμόσι τῆς γῆς, καὶ τὸν θρόνον αὐτοῦ· καὶ τὴν δόξαν ἥτις ἐστὶν αἱ πολλαὶ ἀρεταὶ καὶ γλυκεῖαι χάριτες ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ· ἡ εὐφρασία τοῦ Θεοῦ, εὐφράνοι τὴν ψυχὴν αὐτοῦ ἡμέρας καὶ νυκτός· κοιταζομένου τε καὶ ἀνισταμένου· καὶ συνελόντες εἰπεῖν, πάντα τὰ ἀγαθὰ τῆς εὐφροσύνης ἔχοιεν ἐν τῇ καρδίᾳ αὐτοῦ ἀεὶ καὶ πάντοτε ἐμφωλεύοντα· καὶ ἡ γῆ ἣν διέπει ἐν Χριστῷ αὕτη ἡ πανευκλεὴς ἡγεμονία εἴη ὡς πηγὴ βρύουσα ἀγαθά, καὶ μέλι καὶ γάλα· καὶ ἡ αὐτοῦ ὑψηλότης εἴη λύχνος ἁπτόμενος τῆς ἁγίας Τριάδος.

— Τρισσεύεται ὁ νόμος τῆς πάλης.

— Πολλαὶ τῆς θείας κηδεμονίας αἱ ὁδοί, καὶ πολύτροποι προστασίαι δέδωκε γὰρ ἀνθρώποις τὴν ἐκ βρωμάτων τροφὴν καὶ τῆς σαρκὸς τὸ συγκρότημα βρώμα· γράμμα δέ με προσεδίδαξε θεῖον τοὺς τῆς φύσεως ὅρους τὸν Θεὸν ὑπερβαίνειν· μέμνημαι θείας φωνῆς κεκραγυίας ἀνθρώποις, μὴ δεδιέναι πεινῆν ὅταν φροντίζῃ Θεός· κήδεται ὁ Θεὸς κἂν ὑμεῖς οὐ θέλετε· ἔστι γὰρ καὶ ἄνευ τροφῆς ζωοποιὸς ὁ Θεός· καὶ ζήσεται σὰρξ ἄνευ βρώματος καὶ ζῆν αὐτὴν προστάττει ὁ Θεός· δι᾽ ὧν προσέκρουσεν ὁ Ἀδάμ· ὁ Χριστὸς καταλάττει· ἐπειδὴ γὰρ ἐξ ἀπιστίας Ἀδὰμ καὶ βρώσεως ἐξέπεσε (ἀπιστήσας γὰρ τῷ Θεῷ καὶ φαγὼν κατηνέχθη) ἐλθὼν ὁ Χριστὸς ἀναστήσας τὴν φύσιν ἐξ ἐγκρατείας καὶ πίστεως ἄρχεται.

### Κατὰ κενοδοξίας

Ἡδὺς τῆς κενοδοξίας ὁ βρόχος· γλυκυθύμιατον ἄγγιστρον δίπλοκον τῇ κενοδοξίᾳ γὰρ τὸ τῆς ἀπονοίας συμπερυφίσταται πάθος· ὁ γὰρ δόξης ἐρασθεὶς πρὸς κομπωδίαν γοργός· ἡ ἀκτημοσύνη, ἡ νηστεία, τὰ ῥάκη, καὶ τὰ τούτοις σύστοιχα πολὺ γαργαλίζει τὸν ἄνθρωπον πρὸς κόμπον.

— Δοκεῖς μοι λεοντῶδες γραφικὸν ἀποστάζων διὰ γράμματος μέλι· καὶ ἐξ ὄζοντος σκεύους μύρον (ἐκβλύζει) προβάλλῃ.

### Πρὸς φίλον ἔπαινος

Ὄντως ἡδοναῖς τοῦ ἔξω βίου ὤφθης ἀχαύνωτος· ὄντως κενοδοξίας ἀγαργάλιστος πάθει· τὰ δύο ὁμοῦ διέκλασας μαχικώτατα βέλη θεόληπτε.

—Φιλαρχίας ἐν ἅπασιν ὄρεξις· εὕρεσις κέρδους ἀπευκτὴ παρ᾽ οὐδέσι· πλεονεξία πάντες τραυματίαι· κατεπάτησας τὴν ἔνδοξον τοῦ βίου λαμπρότητα· ἀνθρώπου φύσις εὐσαγήνευτος λήμμασιν· ἂν ἴδῃ τῆς γῆς τὰ φαιδρά, προσδραμεῖται τῇ κτήσει, ἁρπάζει τὸν φαινόμενον πλοῦτον· τῶν πολλῶν ἐρασθήσεται κτήσεων· ἀλήθειαν τὴν σκιὰν ὑποπτεύει καὶ πιστεύει τοῖς λαλουμένοις. Ἀλλ᾽ ἡ ἀναφανεῖσά



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σου γραφή, μεγάλη τῇ ῥητορικῇ περιβάλλει εὐπρέπειαν καὶ τῆς ἀπαιδείας παιδαγωγὸς ὤφθης ἄριστος.

**Περὶ ἀγάπης**

Ἡ ἀγάπη κατεβίβασε τὸν Θεὸν ἐπὶ γῆς, καὶ μετὰ ἀνθρώπων συνανεστράφη· ἡ ἀγάπη τὸ τοῦ Χριστοῦ θαυμάσιον ἔργον τὸ κόσμου σωτηρίας μυστήριον· ἡ ἀγάπη τοὺς ὑπὲρ τοῦ πλησίον πόνους φέρει ἡδέως· δι᾿ ἀγάπην δοῦλοι ἀλλήλων εἶνε κελευόμεθα· διὰ γὰρ τῆς ἀγάπης φυσὶ δουλεύετε ἀλλήλοις· ἀγάπη τὰς ἰδίας ἑνὸς ἑκάστου κτήσεις κοινὰς ἁπάντων ἐργάζεται· ἀγάπη δεικνύει σοι τὸν πλησίον ὡς ἑαυτόν. (Γαλ. ι΄. ιγ΄).

— Φαίδρυνον ἡμᾶς τῇ ταχίστῃ σου παρουσίᾳ καὶ εὔφρανον τῇ ἐλεύσει σου τὰς καρδίας τῶν ἀδελφῶν, ἀδελφὲ πανσεβάσμιε· πάσης γὰρ εὐθυμίας μεῖζον ἀδελφὸς ἀδελφῷ ὀφθείς. Παρακαλεῖται γοῦν ἐν ταῖς θλίψεσί φησιν ὁ Ἀπόστολος ἐπὶ τῇ παρουσίᾳ Τίτου· ὅτε δὲ οὐ πάρεστιν οὐκ ἔχει τῷ πνεύματι ἄνεσιν. Ἀγάπη γὰρ Θεοῦ καὶ ἀδελφῶν ἀγάπη, δύο ἀχώριστα. Ἀγάπη τὸ πένθος τοῦ διαβόλου· δαιμόνων τὸ λικμητήριον.

**Περὶ ἀγάπης καὶ ἄλλων ἐντολῶν ὅρα καλῶς**

Σεμνὰ μὲν οὖν τὰ καθ᾿ ἡμᾶς ἀδελφοί, καὶ ἀληθῶς ἐπικόσμια τὰ τῆς ἱερᾶς καὶ θείας ἀγάπης· καὶ ἴδωμεν μὲν ἕκαστος τάς τε τῆς νέας χάριτος, καὶ τὰς ἐν τῷ νόμῳ διδασκαλίας· καὶ γὰρ αὗται συμφερόντως διδάσκουσιν· οὐχ ὑπερόψει φησί, τὸν ἐνδεῆ· μεταδώσεις δὲ θλιβομένῳ· ἀπολαύσει τῶν παρὰ σοὶ καρπῶν ὁ πένης, ἑβδόμῳ δὲ ἔτει καὶ ὁ δοῦλος εἰς ἐλευθερίαν ἀφεθήσεται· πεντηκοστῷ δὲ ἔτει ἅπαν χρέος λυθήσεται, καὶ οἱ πεπρακότες τὰς κτήσεις ἐπαναλήψονται μὴ ἀποδώσαντες τὸ τίμημα· τόκον οὐκ ἀπαιτήσεις· οὐκ ἐνεχυριάσεις μύλον, οὐδὲ ἐπιμύλιον· οὐδὲ τοῦ πένητος ἐνεχυριάσεις ἱμάτιον· οὐδὲ μὴ ἐπεισελεύσῃ βιαίως λαβεῖν ἐνέχυρον· οὐκ ἐγκαταλείψεις ὑποζύγιον τοῦ πλησίον σου· οὐδ᾿ ἂν ἐχθρὸς τυγχάνῃ· ἐπανάξεις δὲ αὐτῷ καὶ ζῶον πλανώμενον, ὑπηρέτης ὡς φίλῳ γενόμενος καὶ διαλύων τὴν ἔχθραν ἐμπεσούσης προφάσεως.

(Ἀκολουθεῖ)

---

ΣΑΒΒΑ ΜΟΝΑΧΟΥ ΦΙΛΟΘΕΪΤΟΥ

## ΥΠΟΜΝΗΜΑ ΠΕΡΙ ΦΑΝΤΑΣΙΑΣ

**(Ψυχολογικὸν)**

Ἐπειδὴ ἀνωτέρω ἐρρέθη περὶ προσοχῆς καὶ προφυλάξεως τοῦ νοὸς καὶ τῆς καρδίας ἀπὸ πονηροὺς καὶ αἰσχροὺς λογισμούς, καὶ ἐπειδὴ διὰ τῆς Φαντασίας ἐργάζεται ὁ ἄνθρωπος καὶ καλὸν καὶ κακόν, καὶ διὰ μὲν τῆς φαιδρᾶς φαντασίας δύναται ὁ ἄνθρωπος νὰ στολίσῃ τὴν ψυχήν του διὰ πολλῶν ἀρετῶν, νὰ ὠφελήσῃ τοὺς ἀνθρώπους καὶ εὐαρεστήσῃ τὸν Θεόν, διὰ δὲ τῆς ἀχαλινώτου φαντασίας εἶναι δυνατὸν νὰ γίνῃ τὸ ἕρμαιον τοῦ Διαβόλου καὶ πάσης ἄλλης διαφθορᾶς, διὰ τοῦτο, καλὸν εἶναι περὶ φαντασίας νὰ εἴπωμεν ὀλίγα τινά.

### ΤΙ ΕΙΝΑΙ ΦΑΝΤΑΣΙΑ

Φαντασία εἶναι ἀγαπητοί, μία μεταβεβλημένη ἀνάπλασις τῶν παραστάσεων εἰς τὴν συνείδησιν ἡμῶν· π. χ. στοχαζόμενος φαντάζομαι ὅτι, κατ᾿ αὐτὸν τὸν τρόπον θὰ εἶναι δυνατὸν νὰ φέρω εἰς πέρας τὸ ἔργον, περὶ τοῦ ὁποίου στοχάζομαι· αὕτη λοιπὸν ἡ σκέψις καὶ σχεδίασις, διὰ τοῦ νοός μου περί τινος ἔργου λέγεται φαντασία. Ἡ φαντασία εἶνε



μία ἰσχυρὰ δύναμις τῆς ψυχῆς· εἶνε μήτηρ τῆς ποιήσεως, τῆς τέχνης, τῆς ἐπιστήμης, τῆς προόδου. Διὰ τῆς φαντασίας κατωρθώθησαν πολλὰ θαυμαστὰ καὶ ἔνδοξα ἔργα· αἱ ὡραῖαι τέχναι, ἡ λαμπρὰ ποίησις, ἡ ἐπιστήμη, ἡ πρόοδος. Ὅσα λαμπρὰ ἔργα τῶν ὡραίων τεχνῶν βλέπομεν σήμερον, ὅσα θαυμαστὰ ἔργα τῆς τε ἀρχαίας καὶ τῆς σημερινῆς ἐκκλησιαστικῆς καὶ δημοτικῆς ποιήσεως, ὅσας ἐφευρέσεις τῆς ἐπιστήμης, τῆς προόδου ἀπαντῶμεν, ὅλα ταῦτα γεννήματα τῆς φαντασίας εἶναι. Ὑπάρχουν ὅμως δύο εἰδῶν φαντασίαι· ἡ φαιδρὰ φαντασία, καὶ ἡ ἀχαλίνωτος φαντασία.

### Α΄ ΦΑΙΔΡΑ ΦΑΝΤΑΣΙΑ

Ἡ φαιδρὰ φαντασία εἶναι αὕτη περὶ ἧς εἴπομεν ἀνωτέρω· ἡ μήτηρ τῆς ποιήσεως, τῆς τέχνης, τῆς ἐπιστήμης, τῆς προόδου. Ἡ τοιαύτη φαντασία ὅταν διευθύνεται ὑπὸ τοῦ ἠθικοῦ νόμου, ἐνισχύει τὰς δυνάμεις τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ προάγει τοὺς ἀνθρώπους εἰς τὰς πνευματικὰς καὶ ψυχικὰς προόδους(1). Δηλαδὴ ἐνισχύει τὸν νοῦν τοῦ ἀνθρώπου, θερμαίνει τὴν καρδίαν αὐτοῦ καὶ προθυμοποιεῖ αὐτὴν ἵνα συνεργαζομένη μετὰ τοῦ νοὸς ἐφευρίσκῃ διαφόρων εἰδῶν ἐφευρέσεις καὶ συστήματα· ὡς ἀποτέλεσμα ἔχει τὴν χαράν, ἥτις συνδέεται μὲ τὸ ἀγαθόν.

Καλλιεργεῖται δὲ ἡ φαιδρὰ φαντασία, ὡς ἐπὶ τὸ πλεῖστον, διὰ τῆς μουσικῆς, διὰ τῆς ἀναγνώσεως τερπνῶν βιβλίων καὶ ἠθικοθρησκευτικῶν ᾀσμάτων καὶ ποιημάτων, διὰ τοῦ ἠθικοῦ βίου, καὶ τελευταῖον διὰ τῆς νοερᾶς προσευχῆς καὶ τῆς θεωρίας, ὁπότε ὁ ἄνθρωπος γίνεται τέλειος χριστιανός, εἰκὼν Θεοῦ, καὶ Θεὸς κατὰ χάριν.

Καὶ ταῦτα μὲν ἐν ὀλίγοις εἶναι τὰ καλὰ ἀποτελέσματα τῆς φαιδρᾶς φαντασίας. Ἂς ἴδωμεν δὲ ἤδη καὶ τὰ αἴσχιστα καὶ ἀπαίσια ἀποτελέσματα τῆς ἀχαλινώτου φαντασίας.

(Ἀκολουθεῖ)

---

(1) Ἵνα δὲ ἴδωμεν τὰ λαμπρὰ καὶ θαυμάσια ἀποτελέσματα τῆς ψυχικῆς ταύτης δυνάμεως, ἂς ῥίψωμεν ἓν νοερὸν βλέμμα εἰς τὰ ἔξοχα φιλοσοφικὰ καὶ ποιητικὰ ἔργα τῶν ἀρχαίων Ἑλλήνων, εἰς ἃ θὰ θαυμάσωμεν τὴν φιλοσοφικὴν εὐρυμάθειαν, τὴν ποιητικὴν χάριν τῶν διαφόρων ποιητικῶν συστημάτων, τὰ ὁποῖα ὅλα συστήματα καὶ διάφοροι φιλοσοφικαὶ ἐφευρέσεις εἶνε ἔργα τῆς φαιδρᾶς φαντασίας. Ἂς ἀναπολήσωμεν νοερῶς ἐπίσης ἐρευνῶντες εἰς τὸ ἔξοχον καὶ ἱερὸν βιβλίον τῆς Παλαιᾶς Διαθήκης τὰς προφητικὰς ῥήσεις τῶν θεηγόρων Προφητῶν· τὰς ἐξόχους ἐκείνας διανοίας, αἵτινες διὰ τῆς ἐνεργείας τοῦ Παναγίου Πνεύματος προεφήτευσαν καὶ προεσήμαναν τόσα λαμπρὰ ἱστορικὰ γεγονότα, ἅτινα ἄλλα μὲν συνεπληρώθησαν ἄλλα δὲ συμπληροῦνται καθ᾿ ἡμέραν, καὶ ἄλλα μέλλουν νὰ συμπληρωθοῦν, μετὰ τόσης σαφηνείας, ὅπου θὰ ἴδωμεν τὴν ἰσχυρὰν ταύτην δύναμιν τῆς ψυχῆς τὴν φαιδρὰν λέγω φαντασίαν ἐνεργοῦσαν ἀψευδέστατα.

Ἐπὶ πλέον ἂς ῥίψωμεν ἓν βλέμμα καὶ εἰς ἓν ἄλλο τερπνὸν βιβλίον συναφὲς τῇ Π. Διαθήκῃ, τὸ ὁποῖον λέγεται Καινὴ Διαθήκη ἔνθα θὰ ἴδωμεν τὰ λαμπρὰ ἀποτελέσματα τῆς φαιδρᾶς φαντασίας. Ἐκεῖ θὰ ἴδωμεν τὸν χορὸν τῶν ἁγίων ἐνδόξων Ἀποστόλων, οἵτινες ὡς χορδαὶ ὀργάνου κρουόμεναι διὰ τῆς χάριτος τοῦ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτοῦ Ἁγίου Πνεύματος ἐξήγησαν καὶ ἡρμήνευσαν τὰς προφητικὰς ῥήσεις τῶν θεηνόρων Προφητῶν περὶ τῆς ἐλεύσεως καὶ δράσεως τοῦ Μεσίου, αἵτινες ἐπληρώθησαν ἐναργέστατα ἐν τῷ προσώπῳ Αὐτοῦ. Ἐδῶ θὰ ἴδωμεν τὸν ὑψιπέτην ἐκεῖνον ἀετὸν τὸν ἠγαπημένον Ἐπιστήθιον Μαθητὴν τοῦ Κυρίου Ἰωάννην τὸν θεολόγον διὰ τῆς ψυχικῆς ταύτης δυνάμεως σαφέστατα διακηρύττοντα καὶ διατρανοῦντα τὴν ὕπαρξιν τοῦ Θεοῦ καὶ Λόγου ὡς Δημιουργοῦ, καὶ ἐπικυροῦντα τὸ πρῶτον βιβλίον τῆς Π. Διαθήκης τῆς Γενέσεως διὰ τοῦ ἐν «ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος» καὶ διακηρύττοντα τὴν δημιουργίαν Αὐτοῦ· «Πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν» (Ἰωάν. Α΄. 1,—3).

Ὡσαύτως διακηρύττει ἀναμφισβητήτως τὴν ὕπαρξιν τοῦ Τρισυποστάτου Θεοῦ, λέγων, «Τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ Οὐρανῷ· ὁ Πατὴρ ὁ Λόγος καὶ τὸ Ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν» (Ἰωάν. Α΄. ἐπιστ. ε΄. 7). Ἐν τῇ Καινῇ Διαθήκῃ βλέπομεν καὶ τὸν Ἀπ. Παῦλον ὅστις διὰ τῆς ἰσχυρᾶς ψυχικῆς ταύτης δυνάμεως καὶ διὰ τῆς χάριτος τοῦ Θεοῦ φθάσας εἰς τὸν ὕψιστον βαθμὸν τῆς ἁγιότητος, διακηρύττει πρὸς τοῖς ἄλλοις καὶ διὰ τὴν κατάστασιν τῆς σημερινῆς Ἐκκλησίας, καὶ διὰ τοὺς καταστρατηγοῦντας τὰς παραγγελίας τοῦ Εὐαγγελίου τοὺς διαστρεβλωτὰς τῶν δογμάτων τῆς Ἐκκλησίας, παραγγέλλοντα, οὕτω «Προσέχετε, ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν» (Πράξ. κ΄. 28 — 30). Τὸν ἴδιον βλέπομεν εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν του ἐπεξηγοῦντα καὶ ἀναλύοντα πάσας τὰς προρρήσεις τῶν Προφητῶν περὶ τῆς ἐλεύσεως τοῦ Μεσίου κλπ.

Ἵνα δὲ παραστήσωμεν λαμπροτέραν τὴν εἰκόνα τῶν ἀποτελεσμάτων τῆς ἰσχυρᾶς ταύτης δυνάμεως τῆς ψυχῆς ἤτοι τῆς φαιδρᾶς φαντασίας ἂς προβάλωμεν καὶ πρότυπά τινα πνευματικῆς προόδου ἐκ τοῦ χοροῦ τῶν ἀληθινῶν ποιμένων καὶ διδασκάλων τῆς Ἐκκλησίας, οἵτινες ἐνισχύοντες τὴν φαιδρὰν φαντασίαν καὶ συνδυάζοντες αὐτὴν διὰ τῆς θείας χάριτος ἔγραψαν καὶ ἐδίδαξαν τὰ σωτήρια διδάγματα διὰ τῶν ἱερῶν συγγραμμάτων αὐτῶν· ὧδε βλέπομεν τὸν Μέγαν Βασίλειον ἐγκλείοντα εἰς τὸν ἐγκέφαλον αὐτοῦ τόσας ἐπιστήμας, τὴν ῥητορικήν, τὴν φιλοσοφικήν, τὴν θεολογικήν, τὴν ἰατρικήν, τὴν ἀστρονομικήν, τὴν φυσικὴν καὶ βοτανικήν, καὶ τέλος τὴν ζωολογικήν, δι᾽ ἧς ἐπεξηγεῖ τὰ διάφορα ἰδιώματα τῶν θηρίων καὶ ἑρπετῶν κλπ. (Ἑρμηνεία εἰς τοὺς ψαλμοὺς Μ. Βασιλείου), τὸν Ἰ. Χρυσόστομον, τὸν Γρηγόριον τὸν Θεολόγον καὶ ἅπαντα τὸν χορὸν τῶν ἱερῶν διδασκάλων τῆς Ἐκκλησίας, οἵτινες διὰ τῆς ψυχικῆς ταύτης δυνάμεως ἔχοντες καὶ τὴν χάριν καὶ τὸν φωτισμὸν τοῦ Ἁγίου Πνεύματος κατώρθωσαν νὰ γράψουν τόσα ὠφέλιμα καὶ ψυχωφελῆ συγράμματα κοσμοῦντα τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ. Τὶ δὲ νὰ εἴπωμεν περὶ τοῦ χοροῦ τῶν θεοπνεύστων Ποιητῶν τῆς Ἐκκλησίας τοῦ Χριστοῦ; ὅπου θαυμάζει τις τὰ ὑψηλὰ νοήματα τῆς Ἐκκλησιαστικῆς ποιήσεως· ἐδῶ βλέπομεν τὸν προεξάρχοντα τῶν ποιητῶν



Ἰ. τὸν Δαμασκηνόν, ὅστις μὲ ἓν τροπάριον τῆς Λαμπρᾶς διακηρύττει τὴν ἐκ τοῦ Τάφου τοῦ Κυρίου ἐξαστράψασαν αἴγλην καὶ τὴν προξενηθεῖσαν παγκόσμιον χαρὰν καὶ πανήγυριν οὐρανοῦ, γῆς καὶ καταχθονίων. «Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια» (Κανὼν τοῦ Πάσχα κλπ.).

## ΕΚ ΤΗΣ ΣΥΛΛΟΓΗΣ ΣΠΥΡΙΔ. ΛΑΥΡΙΩΤΟΥ ΜΟΝΑΧΟΥ-ΙΑΤΡΟΥ

## ΑΠΟΦΘΕΓΜΑΤΑ ΦΙΛΟΣΟΦΙΚΑ

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

### Περὶ ἀπογνώσεως

Ὡς ἀδύνατον ἀποθανόντα βαδίζειν, οὕτως ἀδύνατον τὸν ἀπογνόντα σωθῆναι.

— Οὐκ ἔστιν ἁμαρτία ἡ νικῶσα τὸ ἔλεος τοῦ Θεοῦ εἰμὴ ἡ ἀπόγνωσις. Οὐδεὶς οὕτως ἀγαθὸς καὶ οἰκτίρμων ὡς ὁ Θεός, τῷ δὲ μὴ μετανοοῦντι ταῖς ἁμαρτίαις, οὐδὲ αὐτὸς ἀφίησιν.

Οὐ χρόνου ποσότητι, διαθέσει δὲ ψυχῆς ἡ μετάνοια κρίνεται.

— Οὐχ οὕτως ἐραστὴς μανικὸς τῆς αὐτοῦ ἐρωμένης ἐρᾷ, ὡς τῆς μετανοούσης ψυχῆς ὁ Θεός.

—Ὁ αἰσχυνόμενος ἀνθρώπῳ ἀποκαλύψαι τὰς ἑαυτοῦ ἁμαρτίας ἐνταῦθα, ἐκεῖ καὶ μὴ βουλόμενος, ἐπὶ πάντων αἰσχυνθήσεται.

— Οὐ χαίρει ἐπ᾽ οὐδενὶ ὁ ἐχθρὸς οὕτως ὡς ἐπὶ τοῖς μὴ ἐκφαίνουσι τοὺς ἑαυτῶν λογισμούς.

Ὅταν ὁ εὐχόμενος μὴ ἀκούει τῶν ῥημάτων, πῶς ὁ Θεὸς ἀκούσεται τῆς προσευχῆς;

—Ὁ μετὰ συνέσεως ψάλλων, ἔργον ποιεῖ τῶν οὐρανίων δυνάμεων.

— Φιλίαν πρὸς τὴν εὐχὴν ἔχειν οὐ δύναται, ὁ μὴ πᾶσαν ἄλλην ἀπαρνησάμενος. Ὧν ὁ νοῦς μεμάθηκεν ἀληθῶς εὔχεσθαι,

« ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ»
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ
ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΚΔΙΔΟΜΕΝΟΝ ΕΝ ΒΟΛΩ

**Γραφεῖα καὶ τυπογραφεῖα : Κοραῆ 47**

***ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ***

| | | |
|---|---|---|
| Ἐσωτερικοῦ | δρ. | 100 |
| Ἐξωτερικοῦ | σελίνια | 7 |
| Ἀμερικῆς | δολλ | 2 |
| Τὸ τεῦχος | δρχ. | 10 |

Ἐπιστολαὶ συνδρομαὶ καὶ δωρεαὶ ἀποστέλλονται πρὸς τὸν κ. Σωτ. Σχοινᾶν - Κοραῆ 47 Βόλον.

**Χειρόγραφα δημοσιευόμενα ἢ μή, δὲν ἐπιστρέφονται.**

οὗτοι Κυρίῳ ἐνώπιος ἐνωπίῳ λαλοῦσιν, ὡς πρὸς τὸ οὖς τοῦ βασιλέως.

— Μόνα δίδου τῇ γαστρὶ ἃ χρὴ λαβεῖν, οὐχ ὅσα βούλεται, ὡραία νηστεία ἡ τῇ βραχυφαγίᾳ χαίρουσα, καὶ λιτοτοφαγία ἔχουσα, καὶ ἀνθρωποπαρέσκειαν φεύγουσα.

— Κενόδοξος ἀσκητὴς ἀδικεῖται διπλῶς, τὸ μὲν σῶμα κατατήκων τὸν δὲ μισθὸν μὴ λαμβάνων.

— Πᾶς ὀκνηρός ἐστι καὶ ἀπειθής.

—Ἀπαγγείλαντός τινος τῷ Διογένει ὅτι ὁ δεῖνά σε κακῶς λέγει καὶ τυπτέτω με, ἔφη, μὴ παρόντα.

— Ὁ αὐτὸς λοιδορούμενος ὑπό τινος φαλακροῦ ἔφη, σὲ μὲν οὐχ ὑβρίζω τὰς δὲ τρίχας σου ἐπαινῶ ὅτι κακοῦ κρανίου ἐξέφυγον.

— Κακῶς ἀκούειν κρεῖσσον ἢ λέγειν κακῶς.

— Οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων κατήγοροι.

—Ἡ μὲν μάχαιρα τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους.

— Προδότου δέ τινος τῆς φιλίας κακῶς τὸν Διογένη λέγοντος, ἔφη· χαίρω

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐχθρός σου γενόμενος σὺ γὰρ οὐ τοὺς ἐχθρούς, ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς.

—Ὁ τὴν ἑαυτοῦ θεραπεύων γαστέρα καὶ πνεῦμα πορνείας νικῆσαι φιλονικῶν, ὅμοιός ἐστι τὸ μετὰ ἐλαίου σβεννύοντι ἐμπρησμόν.

— Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον ἢ τοῖς κολακεύουσι, ὡς δὲ ἐχθρῶν χείρονας ἐκτρέπου τοὺς κολακεύοντας.

—Ἡ ταπείνωσις καὶ ἡ ὑπομονὴ πραΰνει καὶ τὸν μεγαλύτερον ἐχθρόν σου· διὸ λέγει ἡ Γραφή· ἐταπεινώθην καὶ ἔσωσέ με.

— Οἱανδήποτε ἐργασίαν καὶ ἂν τελῇς θεληματικῶς, ἐπαρουσιάσθῃ ἡ ἔμψυχος εἰκὼν τοῦ Κυρίου ἔχων ἀνάγκην σοῦ, ἄφες τὴν ἐργασίαν σου καὶ ἐπιμελήθητι τοῦ πλησίον σου· καὶ τοῦτο λογίζεται ἐκκοπὴ θελήματος, ὑπακοὴ εἰς τὸν Χριστόν, προσευχὴ κτλ.

— Εἴτις δίκαιον ἢ ἄδικον ἔλεγχον ἐξ αὐτοῦ ἀπορρίψηται, οὗτος τὴν ἑαυτοῦ σωτηρίαν ἠρνήσατο, φιλότιμός ἐστιν ὁ μὴ διδοὺς ἀφορμὴν εἰς μέμψεις, οὐχὶ δὲ ὁ δυσχεραίνων ταῖς δικαίαις αὐτῷ γινομέναις.

— Σωφρόνων ἀνδρῶν τὸ μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυτούς, γενναίων δὲ καὶ φιλοσόφων τὸ ἐμπεσόντας φέρειν γενναίως.

—Ἵππος ἐστὶ βασιλικὸς ἡ γλῶσσα· ἂν μὲν οὖν ἐπιθῇς αὐτῇ χαλινόν, ἐπαναπαύεται αὐτῇ καὶ ἐπικαθιεῖται ὁ βασιλεύς· ἂν δὲ ἀχαλίνωτον ἀφῇς φέρεσθαι καὶ σκιρτᾶν, τοῦ διαβόλου ὄχημα γίνεται.

— Μὴ δὴ καταισχύνῃς τὴν γλῶσσάν σου, ἐπὶ πῶς ὑπὲρ σοῦ δεηθήσεται;

— Ὅταν τὴν οἰκείαν παρρησίαν ἀπολέσῃ, ἀλλὰ κόσμησον αὐτὴν ἐπιεικείᾳ· οὐδὲ γὰρ ἕτερός σε τις ἀδικῆσαι δύναται, ἂν μὴ σὺ αὐτὸς ἀδικεῖς. Ὥστε εἰ κατὰ τῶν ἀδικούντων γενέσθαι βούλει, κατὰ σεαυτοῦ πρόσελθε πρῶτον, οὐδεὶς ὁ κωλύων, ὥσαν δὲ καθ' ἑτέρου προσέλθῃς μείζονα ἀδικηθεὶς παρῆλθες.

**ΣΠΥΡΙΔΩΝ ΛΑΥΡΙΩΤΗΣ**
Ἰατρός

# ΚΑΝΩΝ

## Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον, ψαλλόμενος τῇ η΄. Μαΐου, ποιηθεὶς παρὰ τοῦ ὁσιωτάτου Διδασκάλου κυρίου Νικοδήμου τοῦ Ναξίου, ὁμοῦ μὲ τὸν πλ. δ΄.

### Ὠδὴ α΄.

**Ἀναστάσεως ἡμέρα**

Ἀναστάσεως ἡμέρα, εὐσεβείας πιστῶν, πτώσεως δὲ τῆς πλάνης· καὶ γὰρ υἱὸς ὁ τῆς βροντῆς, ἐν ἀρχῇ ὁ Λόγος ἦν, βροντήσας τρανῶς, αἱρέσεις κατέβαλε, καὶ τὴν πίστιν ἐκράτυνεν.

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψόμεθα, θεολογίας ὕψος τὸ δυσανάβατον, Ἰωάννου σήμερον, βάθος τὸ ἀπύθμαντον, πλάτος τὸ ἀόριστον, καὶ τὸ μῆκος τὸ ἄπειρον.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἐπὶ τῇ σῇ πανηγύρει, οἱ μέν, ὡς



πνεῦμά σου θεῖον ἔχοντες, ἡ δὲ ὡς κατέχουσα, τὰ σεπτά σου συγγράμματα.

**Θεοτοκίον**

Χαίροις Δέσποινα Μαρία, χαίροις σήμερον χαρᾷ, διπλῇ διπλῶς Παρθένε, ἐν τῇ Ἀναστάσει τὸ μέν, τοῦ κατὰ φύσιν σου Υἱοῦ· ἐν τῇ μνήμῃ τὸ δέ, υἱοῦ παμφιλτάτου σου, κατὰ χάριν Θεόνυμφε.

### Ὠδὴ γ΄.

**Δεῦτε πόμα πίωμεν καινὸν**

Δεῦτε πόμα πίωμεν πιστοί, δεῦτε κόνιν μάννα ζωῆς ἀρρυσώμεθα, ἀπὸ τοῦ τάφου καινῶς, τοῦ θείου ὀμβρούμενον ἡμῖν, Ἰωάννου σήμερον.

Νῦν πάντα πεπλήρωται φωτός, τῆς Χριστοῦ Ἀναστάσεως ἐκλαμπρυνόμενα, καὶ τῇ λαμπρᾷ ἑορτῇ, Ἰωάννου φίλου τοῦ Χριστοῦ, συνεκλαμπρυνόμενα.

Χθὲς συνεθαπτόμην σοι Χριστέ, διὰ τῆς ἐν τάφῳ καινῆς καταθέσεως, ὁ Ἰωάννης βοᾷ, ἀλλὰ συνανίσταμαί σοι νῦν, διὰ μεταστάσεως.

**Θεοτοκίον**

Μήτηρ μόνη γέγονας Χριστοῦ, τοῦ Θεοῦ Λόγου ὑπεράμωμε Δέσποινα, καὶ θεολόγου ὁμοῦ, τοῦ νῦν προκειμένου εἰς ᾠδήν· ὢ χάρις Μητρότητος!

### Ὠδὴ δ΄.

**Ἐπὶ τῆς θείας φυλακῆς**

Ἐπὶ τῆς θείας φυλακῆς, ἀποκαλύψεων ἑστώς, ὥσπερ ἀετὸς ὑψιπέτης, τοῦ Υἱοῦ ἐπώπτευσας, δόξαν καὶ τὴν θεότητα, καὶ γέννησιν τὴν ἄχρονον τούτου, καὶ τὴν ἐν χρόνῳ αὐτοῦ, ἄφραστον σάρκωσιν.

Ἄρσεν κατὰ φύσιν ὦ Θεολόγε τοῦ Χριστοῦ, πέφηνας σαφῶς· ὑπὲρ φύσιν δὲ γέγονας ἄγγελος· τὸ παρὰ φύσιν γὰρ ἔφυγες, καθάπερ ἄϋλος ἐν ὕλῃ, καὶ ἐν σαρκὶ ἀσάρκως πολιτευσάμενος.

Ὡς ἐνιαύσιος ἀμνός, καὶ ὡσεὶ πρόβατον σφαγῆς, ἐλογίσθης σὺ καθ' ἡμέραν, Ἰωάννη ἔνδοξε διὰ Χριστοῦ ἀγάπησιν, θνήσκων καὶ πίνων δηλητηρίου, πραγματικῶς ὡς ἐπηγγείλω ποτήριον.

Ὁ Θεοπάτωρ μὲν Δαβίδ, πρὸ τῆς σκιώδους Κιβωτοῦ, ἥλατο σκιρτῶν, ἡμεῖς δὲ οἱ φιλόχριστοι σήμερον, πρὸ τῆς λαμπρᾶς εἰκόνος σου, χοροὺς στησάμενοι λαμπαδούχους, σὲ χαρμοσύνως Ἰωάννη γεραίρομεν.

**Θεοτοκίον**

Ὁ ἐκ Παρθένου τοῦ Πατρός, λάμψας Παρθένος ὑπὲρ νοῦν, ἀχρόνως Υἱός τε καὶ Λόγος, Παρθένον μητέρα σε, ἔσχεν ἐν χρόνῳ ἄχραντε, καὶ ἔλαβεν ἀδελφὸν παρθένον· ὢ παρθενία πατρυιομητράδελφος!

### Ὠδὴ ε΄.

**Ὀρθρίσωμεν ὄρθρου**

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἐκ λειμώνων ᾀσμάτων, πολυανθῆ καὶ εὐώδη, στέφανον δρεψώμεθα καὶ Θεολόγου σήμερον, τὴν κορυφὴν στεφανώσωμεν.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, δοξολογοῦμεν Χριστέ, ὅτι ἐχαρίσω τῷ κόσμῳ, φῶς δεύτερον τὸν σὸν μαθητήν, δι' οὗ τὸ ἀληθινόν, καὶ πρῶτον φῶς σὲ πάντες ἴδωμεν.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ Θεολόγῳ Χριστοῦ, τῷ μεγάλῳ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κόσμου, Ἡλίῳ, πάντοτε μὲν λάμποντι, οὐδόλως δὲ δύνοντι, καὶ παντελῶς μὴ ἐκλείποντι.

**Θεοτοκίον**

Εἰ γέγονε θετὸς υἱός σου, Παρθένε ὁ Ἰωάννης, καὶ νόμιμόν ἐστι πάντως, ἅπαντα τὸν πλοῦτόν σου, καὶ δόξαν τὴν βασίλειον, κληρονομῆσαι Βασίλισσα.

**Ὠδὴ ς'.**

**Κατῆλθες ἐν τοῖς κατωτάτοις**

Κατῆλθες εἰς τὰ βάθη τὰ τοῦ Θεοῦ, καὶ ἠρεύνησας αὐτά, πνεύματι Θεολόγε, καὶ μαργαρίτας λαμπρούς, εὗρες δόγματα, καὶ γνῶσιν τὴν μυστικήν, τῆς ἁγίας Τριάδος.

Φυλάξας, τὰ σήμαντρα σῷα σοφέ, τετραπλῆς παρθενίας, σαρκὸς ψυχῆς τε νοὸς καὶ αἰσθήσεως, διὸ καὶ κατ' ἐξαίρετον, ὑπὸ πάντων μόνος σὺ ὀνομάζῃ Παρθένος.

Σωτήρ μου τὸ ζῶν ἀποσφράγισμα, σὺ μὲν πέλεις τοῦ Πατρός· σοῦ δὲ πάλιν τὸ Πνεῦμα τὸ θεῖόν ἐστι, τοῦ δὲ πνεύματος, σφραγὶς ὤφθη ἀληθῶς, ὁ φίλος Ἰωάννης.

**Θεοτοκίον**

Φανεῖσα, μήτηρ φύσει τοῦ Χριστοῦ, καὶ χριστωνύμου σου λαοῦ, μήτηρ γέγονας θέσει· ὁ πρωτότοκος, ἀλλ' οὖν, πάντων ἄχραντε, τῶν υἱῶν σου τῶν θετῶν, ἐστὶν ὁ Ἰωάννης.

**Ὠδὴ ζ'.**

**Ὁ παῖδας ἐκ καμίνου**

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, καὶ σὲ ἐλυτρώσατο, ὡς ἀγαπητόν, σάλου καὶ κλύδωνος δεινοῦ, θαλαττίων ὑδάτων κραυγάζοντα· σὺ μόνος εὐλογητὸς εἰς αἰῶνας, Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες ὀπίσω σου ἔδραμον· ὁ δὲ μυστικὸς φίλος σου Λόγε μόνος, ἐξηκολούθει σοι, τῷ ποιμένι ὡς κριός, μὴ χωρισθείς σου ποτέ, οὔτε ἐν τῷ σταυρῷ, οὔτε ἐν τῷ πάθει σου.

Θανάτου ἑορτάζομεν νέκρωσιν, διὰ σοῦ γινώσκοντες, τὸν ἀληθινόν, καὶ μόνον ὄντως Θεόν, καὶ ὃν Θεὸς Ἰησοῦν ἀπέστειλεν· ἡ γνῶσις γὰρ ἡ τούτων, καὶ πίστις, ζωὴ ἐστιν αἰώνιος.

Ὡς ὄντως ὁ ναός σου ἐνδείκνυται, οὐρανὸς Ἀπόστολε, ἐν ᾧ πιστούς, τῷ Εὐαγγελίῳ λάμπεις ὥσπερ ἥλιος, τῇ δ' ἀποκαλύψει σου ὡς σελήνη δᾳδουχεῖς, καὶ ὡς ἄστρα, ἐπιστολαῖς σου προβέβλησαι.

**Θεοτοκίον**

Παρεστῶσα τῷ Σταυρῷ πρὶν Πανάμωμε, Υἱοῦ σου ἤλγησας, σὺν Ἰωάννῃ ἐκ ψυχῆς, τῷ φιλουμένῳ μαθητῇ· διὸ καὶ σήμερον δίκαιον χαίρειν σε, ἐξόχως σὺν αὐτῷ δι' ἐκείνῳ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν.

**Ὠδὴ η'.**

**Αὕτη ἡ κλητὴ**

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, διπλῆν χαρὰν προβάλλει, καὶ διπλοῦς τοὺς ἡλίους, ἀναστάσεως Χριστοῦ, καὶ Ἰωάννου λαμπρᾶς πανηγύρεως· διὸ εὐφρανθῶμεν, διπλῶς καὶ ἡμεῖς πάντες.

Δεῦτε τὸν ἐμόν, τῆς ζωῆς ἄρτον φάγετε· δεῦτε πίετε οἶνον ὦ ἀδελφοί μου καὶ φίλοι τῆς θεώσεως· ὁ Ἰωάννης βοᾷ πρὸς ἑστίασιν, καλῶν τοὺς πιστούς, τῆς αὐτοῦ θεολογίας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε, πῶς κατησφάλι-



σέ σου, τὸ πλοῖον ὁ Ἰωάννης ἐκ μερῶν τῶν τεσσάρων ἀγκύρας, ῥίψας μεγάλας τέσσαρας τετραχῶς τὸν Λόγον ὡς ἣν θεολογῆσαι.

Πάτερ Παντοκράτορ καὶ Λόγε καὶ Πνεῦμα, Τριὰς Μονὰς ἁγία, καὶ ὑπερούσιε φύσις, Σὲ θεολογεῖν ἐδιδάχθημεν, καὶ προσκυνεῖν ἔγνωμεν, παρὰ Ἰωάννου τοῦ πρώτου θεολόγου.

**Θεοτοκίον**

Κόρην ὡς ὀφθαλμοῦ, φυλάξας σε Παρθένε, ὁ παῖς σου Ἰωάννης, καὶ μέχρι τῆς ἐξόδου, συμπαραμείνας σοι, τὰς εὐχάς σου ὑπὲρ πάντας ἐπλούτησε· δι' ὃ ἠξιώθη, γενέσθαι Θεολόγος.

**Ὠδὴ θ'.**

**Φωτίζου, φωτίζου**

Φωτίζου, φωτίζου ἡ Ἐκκλησία τοῦ Χριστοῦ, κατατέρπου καὶ νίκα, τοὺς ἐχθρούς σου ἅπαντας, ἔχεις καὶ γὰρ πρόμαχόν σου στερρόν, κόσμου πιστῶν, τὸ μέγα στοιχεῖον, τὸν θεολόγον τὸν πρώτιστον.

Ὢ θείας ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς, τῆς ἀγάπης τοὺς νόμους, ἐκφραζούσης ἄριστα ὡς ἠγαπημένου ὄντως Χριστῷ! ἣν ἐν ἡμῖν ἀεὶ βασιλεύειν, τοῖς ὑμνηταῖς σου ἱκέτευε.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ, ὢ νοὸς τοῦ μεγάλου, γέννημα καὶ ὄρχημα· δόξης τῆς σῆς, καταξίωσον πάντας τυχεῖν, ἔχων ὑπὲρ τούτου, τὸν μαθητήν σου πρεσβεύοντα.

Ὢ κλέους! ὢ δόξης! ὢ συγγενείας θεϊκῆς, ἧς ἠξίωσαι μόνος, Ἰωάννη ἔνδοξε, τοῦ γὰρ Θεοῦ, τὴν μητέρα καὶ σύ, μητέρα πλουτεῖς, Θεὸν δ' ἀδελφόν σου· ὢ ξενηκούστου αὐχήματος.

Ὢ μῆτερ ἁγία, Χριστοῦ· ὢ ἐλπὶς γλυκυτάτη, καὶ μύστου τοῦ Χριστοῦ, ὀρθοδόξων Δέσποινα· ὅπου καὶ ὑμεῖς, κατοικεῖτε οἱ τρεῖς, ἐκεῖ ἁγνή, καὶ ἡμᾶς οἰκῆσαι, ταῖς σαῖς πρεσβείαις ἀξίωσον.

## ΟΙΚΟΙ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ

### Εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Θεολόγον καὶ Εὐαγγελιστήν. Ποίημα Ἰωάννου τοῦ Εὐγενικοῦ, Χαρτοφύλακος τῆς μεγάλης Ἐκκλησίας, καὶ ἀδελφοῦ τοῦ Ἁγίου Μάρκου Ἀρχιεπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ.

Κοντάκιον. **Ἦχος πλ. δ'.**

**Τῇ ὑπερμάχῳ**

Τὸν μαθητὴν φίλον Χριστοῦ ἐπιστήθιον.
Καὶ ἀετὸν θεολογίας τὸν ὑψήγορον.
Δός μοι λόγον ὑμνῆσαι σε ἠγαπημένε.
Ὡς γὰρ Λόγου ἀποστόλῳ χρηματίσαντι.
Τὸν Υἱόν σου τῆς Μητρὸς ἀναγορεύσαντος.
Ἀνακράζω σοι:
Χαῖρε Λόγου ὁ σύγγονος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Οἱ οἶκοι (¹)

Ἄγγελόν σε ὦ Λόγε, καὶ Ἀπόστολον μέγαν, τὸν φίλον σου ἀναγορεύεις, (ἐκ γ΄.) εὐθὺς γὰρ θεωρήσας σὲ γλυκὺ θέαμα, γλυκύτερον ἄκουσμα, ἐξίστατο, ὢ ἔκστασις! ἀκούων παρὰ σοῦ τοιαῦτα.

Χαῖρε, ἐν ᾧ ἡ χαρὰ τρυφήσει· χαῖρε, ἐν ᾧ ἡ ἀρὰ θρηνήσει.

Χαῖρε, παλαιὸν τὸν Ἀδὰμ ἐκδυσάμενος· χαῖρε, νέος Σὴθ τῇ Μητρὶ δοθησόμενος.

Χαῖρε, σὺ γὰρ χαίρων εἴρηκας ἁλιέων τοῖς παισί· χαῖρε, σὺ γὰρ χάριν εὕρηκας, ἐν ἀνθρώπων ταῖς φρεσί.

Χαῖρε, ὅτι ὑπάρχεις Θεοῦ Λόγου αὐτόπτης· χαῖρε, ὅτι ὑπάρξεις ξένων ἔργων ἐργάτης.

Χαῖρε, σπινθὴρ φλογὸς θείας Ἄγγελε· χαῖρε, λαμπτὴρ ἐνθέου σαρκώσεως.

Χαῖρε, δι' οὗ πᾶσι Θεὸς βροντήσει· χαῖρε, δι' ὃ βροντῆς γόνος κληθήσῃ.

Χαῖρε Λόγου ὁ σύγγονος.

Βλέπων σε ὁ Δεσπότης, ἐκλογῆς σκεῦος μέγα, ἠράσθη τῇ ψυχῇ σου τῇ ὥρᾳ, ἀνθ' ὧν χαίρειν τῷ φύντι εἰπών, ἀντεπτερώθης τῷ θεουργῷ ἔρωτι, ἀνεπιστρόφῳ νεύσει ἐκφελκόμενος, καὶ ἔνθους ψάλλων. Ἀλληλούϊα.

Γνῶσιν ὁ Θεολόγος, ὑπεράγνωστον βλέπων, ἀγάπης ὑπερβάλλει τοὺς ὅρους· χαίρων καὶ γὰρ τοῖς τοῦ Χριστοῦ μᾶλλον, ἤπερ οἱ ἄλλοι, θεοφθέγμασι, βαβαί! οἷα θεόβροντα, προανακρούοντος ἠχεῖται:

Χαῖρε, ἐμῶν λογάδων ἡ βίβλος· χαῖρε, πολλῶν φιλτάτων ὁ τίτλος.

Χαῖρε, Ἰωάννη ὀμφὴ χαριτώνυμε· χαῖρε, σάλπιγξ μεγαλόφωνος Θεολόγος ἀληθῶς.

Χαῖρε, σύριγξ ἡ ἡδύφωνος τῆς σοφίας ὁ βυθός· χαῖρε, τοῦ διδασκάλου ὁ θελκτήριος ἔρως.

Χαῖρε, πρὸς ἀντιπάλους τὸ πρηστήριον βέλος· χαῖρε, Χριστοῦ πλουτήσας εὐμένειαν.

Χαῖρε, Θεοῦ κερδήσας ἐπίπνοιαν· χαῖρε, βληθεὶς τῇ τελείᾳ ἀγάπῃ.

Χαῖρε, φλεχθεὶς τῇ φλογί τῇ ἀφλέκτῳ· χαῖρε θυσία γεγονὼς τῷ Κυρίῳ·

Χαῖρε Λόγου ὁ σύγγονος

Δέπας χρυσοῦν ἀρρήτων, ἔμπλεων ἐκ χαρίτων, ὑπάρχεις τοῦ Χριστοῦ μεγαλῆτορ· τί ἐξείπω καὶ γὰρ οὐ σθένω, πῶς ἧς ἀνακείμενος ἐπιστήθιε; τῷ ἔρωτι ἐκείνου φεῦ τοῦ κόλπου, ἐν τῷ δείπνῳ ψάλλων. Ἀλληλούϊα.

Ἔχουσα ἡ Σαλώμη (ὃ δηλοῖ τὴν τελείαν) παρώνυμον τοῦ τῆς Ἐλισάβετ, Ἰωάννην τὸν γλυκὺν υἱόν, τῷ θεοειδεῖ τούτου ὑπερήδεται· καὶ ῥήμασιν ὡς ἅλμασι, προσίεται προφητοφθέγκτως.

Χαῖρε, υἱὲ τῆς ἀριστοτόκου· χαῖρε υἱὲ μητρὸς Θεοτόκου.

Χαῖρε, Πατρὸς οὐρανόβροντον ὄργανον· χαῖρε, τοῦ Υἱοῦ τὸ κατάλληλον τέμενος.

Χαῖρε, ἄνθος θεοπάτορος Ἰωσὴφ θυγατριδοῦς· χαῖρε, γόνος θεομήτορος Ἰησοῦ ἀδελφιδοῦς.

(¹) Οὗτοι ὑπῆρχον πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως πρὸ τὸ 1400 καὶ ἀντεγράφησαν εἰς τὰ 1903.



Χαῖρε, τοῦ πατροθέου προφητάνακτος ὄρπηξ· χαῖρε, τῆς θεαδέλφου παρθενόφυτος κάλυψ.

Χαῖρε, υἱὲ μητρὸς ἀπειρόδυνε· χαῖρε, μητρὸς τῆς ἁγνῆς ἁγνοτόκε·

Χαῖρε, υἱέ τῆς θνητῆς θνητὸν θαῦμα· χαῖρε ἡ δόξα θνητῶν καὶ τὸ καύχημα.

Χαῖρε Λόγου ὁ σύγγονος

Ζάλην ἔνδον μὴ ἔχων, μολυσμῶν ὦ Παρθένε, τὸ σῶμα γαληνὸν διετήρεις, γαληνοτέραν δὲ τὴν ψυχήν· διὸ ἤκουες, καὶ Παρθένος ἄμωμος διὰ βίου καὶ ἄμεμπτος, ἐν τῷ μέλπειν σε οὕτως ὄντως. Ἀλληλούϊα.

Ἤκουσαν οἱ τρεῖς μύσται πατρικῆς οὐρανόθεν, φωνῆς ἐν Θαβωρίῳ ὦ Λόγε, οἷς τὸ ἀρχαῖον κάλλος δείξας τῆς εἰκόνος, ἀστράπτεις κρύψας τὸν ἥλιον, ἀσυγκρίτως δὲ ὑπεραστραφθεὶς ὁ φίλος σου ἀκούει.

Χαῖρε, διόπτρα φωτὸς ἀκτίστου· χαῖρε, ἐπόπτα φωτὸς τριφώτου.

Χαῖρε, ἀοράτου φωτὸς θεῖον κάτοπτρον· χαῖρε, ἀνεσπέρου φωτὸς φωστὴρ ἄδυτε.

Χαῖρε, ὅτι φῶς οὐράνιον σὺ κατεῖδες ἐν τῇ γῇ· χαῖρε, ὅτι φῶς τερίγειον εἶδες ὑπὲρ οὐρανούς.

Χαῖρε, δεκτέρων φώτων πρωτοφώτιστον φάος· χαῖρε, φωτὸς ἀνάρχου τριφαοῦς φωτοδόχε.

Χαῖρε, ὑπὲρ τὸ φῶς φῶς δεξάμενος· χαῖρε φωτὶ τὸ φῶς θεασάμενος.

Χαῖρε, δι' οὗ φῶς τρισσὸν προσκυνοῦμεν· χαῖρε, δι' οὗ φῶς τὸ ἄκτιστον φαίνει.

Χαῖρε Λόγου ὁ σύγγονος

Θείαν θέαν θεόπτα, θεωρήσας ὢ θαῦμα! ἀθέατον Θεοῦ θεωρίαν τὸ φῶς ἐν Θαβὼρ τὸ θεουργόν, ἐθεάθης ὦ Θεολόγε θεωρέ, ὡς Θεὸς ἐν μέσῳ Θεῶν, ἐκθειάζων τὸ θεῖον ἔνθους. Ἀλληλούϊα.

Ἴδε σε ὁ Δεσπότης, συνεπόμενον πόθῳ, συμπάσχοντα μητρὶ συμπασχούσῃ, συναλγοῦντα αὐτῇ ἐκπαθῶς, δρασμῷ χρησαμένων τῶν λοιπῶν, μόνῳ σὺν μόνῃ παθόντι προσχῶν, ἀδελφοπρεπῶς ἐδεξιοῦτο.

Χαῖρε, παθῶν κοινωνὲ Δεσπότου· χαῖρε σταυροῦ μετασχὼν Σωτῆρος.

Χαῖρε, τῆς ζωῆς ἐκ τοῦ ξύλου γευσάμενος· χαῖρε, τῇ λαιᾷ τοῦ Σταυροῦ παριστάμενος.

Χαῖρε, σὺ γὰρ τὸν ἀόρατον ἀοράτως καθορᾷς· χαῖρε, σὺ γὰρ ὡς ἐρώμενος τῷ ὡραίῳ καὶ ἐρᾷς.

Χαῖρε, ὦ μεγαλῆτορ ἐραστὰ καὶ Παρθένε· χαῖρε, ὦ φιλομῆτορ ἴδε νῦν σου ἡ μήτηρ.

Χαῖρε, κοινοῦ θανάτου ἀνώτερε· χαῖρε, προγνοὺς προδόντα τὸν δόλιον.

Χαῖρε, παθῶν ἐκπαθῶς οἷα φίλος· χαῖρε, παθῶν τὸν μὴ ἔχοντα εἶδος.

Χαῖρε Λόγου ὁ σύγγονος

Κράτιστά σε Παρθένε, ὁ Υἱὸς τῆς Παρθένου, ὡς βαίνοντα ἐπαίρει κατ' ἴχνος· τίς γάρ σου ὀλβιώτερος; τὶς δ' αὐταῖς χερσὶ χρωτὸς θείου ἔψαυσε; τὶς δὲ ἀσκαρδαμυκτὶ τῷ Σταυρῷ ἐνητένισε; ψάλλων. Ἀλληλούϊα.

Λόγος ὁ ἐκ τῶν κόλπων μὴ ἐκστὰς τῶν πατρῴων, διήρηται παθῶν τῶν Μητρῴων, μαθητὴν δὲ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀνεῖπεν υἱὸν τῆς μητρὸς αὐτοῦ, μέγα καταθύμιον· ἣ καὶ παρακληθεῖσα, μητροπρεπῶς ἐβόα τούτῳ.

Χαῖρε, υἱὲ μητρὸς λυπουμένης· χαῖρε, εἰκὼν Υἱοῦ ἐμοῦ μόνη.

Χαῖρε, τῆς ἐμῆς παρθενίας τὸ ἄγαλμα· χαῖρε, τοῦ ἐμοῦ τοκετοῦ τὸ ἐντρύφημα.

Χαῖρε, διὰ τὴν εὐμένειαν, ἧς τετύχηκας Θεοῦ· χαῖρε, διὰ τὴν εὐγένειαν, ἣν τετήρηκας ψυχῆς.

Χαῖρε, ὦ παρακλήτορ, Μητροθέου Παρθένου· χαῖρε, ὦ φιλομήτορ, οἷον ἄκουσμα ξένον.

Χαῖρε, Υἱοῦ υἱὲ καὶ αὐτάδελφε· χαῖρε, υἱὲ ἀπάτορ ἐν πνεύματι.

Χαῖρε, υἱὲ Θεοτόκου Παρθένου· χαῖρε υἱέ, ἀνθ' Υἱοῦ ἄκος μέγα.

Χαῖρε Λόγου ὁ σύγγονος

Μέγα θαῦμα Παρθένε, καὶ υἱὲ τῆς Παρθένου, ἐξίσταμαι ὁρῶν σου τὴν χάριν, καὶ ἀκούειν βοῶντος πρὸς σέ, τοῦ Δεσπότου τότε· ἴδε ἡ μήτηρ σου, ἡνίκα ἀπηώρητο κρεμάμενος, κραυγάζω. Ἀλληλούϊα.

Νέαν ἔδειξε κτίσιν, λογχονύκτου ἡ ῥύσις, πλευρᾶς τῆς τοῦ Δεσπότου νηγείσης, αἷμα γὰρ καὶ ὕδωρ τὸ ῥυέν, ἀψευδῶς ὁ ἀγαπητὸς ἑώρακε, παρὼν καὶ μεμαρτύρηκε, πρὸς ὃν ἀνθ' ὧν βοῶμεν ταῦτα.

Χαῖρε, προσψαύσας τῶν ἀνεπάφων· χαῖρε, αἱμάξας, ὦ χειρῶν θείων!

Χαῖρε, ἡ πηγὴ τῆς Ἐδὲμ ἡ τετράστομος· χαῖρε, ἡ αὐγὴ τοῦ Ἀδὰμ ἡ τετράμορφος.

Χαῖρε, φίλε ἐπιστήθιε Λόγου Εὐαγγελιστά· χαῖρε, παρθένε ἀπόστολε θεολόγε μαθητά.

Χαῖρε, ἐπ' ὤμων ὅτι σὲ τὸν αἴροντα ἦρας· χαῖρε, ζωὴν τὸν δόντα τοῖς νεκροῖς νεκρὸν ἄρας.

Χαῖρε, ἰδὼν πηγὴν τὴν σωτήριον· χαῖρε, τρυφῶν Χριστοῦ τὸ ποτήριον.

Χαῖρε, Χριστοῦ μαθητὰ θεοδέγμον· χαῖρε, Θεοῦ κηδευτὰ πανευδαῖμον.

Χαῖρε Λόγου ὁ σύγγονος

Ξένον αἷμα καὶ ὕδωρ, ῥύσιον παντὸς κόσμου, ὃ τεθέαται ὁ Θεολόγος· οὐδὲ νοῦς γὰρ ἀγγέλων ὁ ὑψηλός, μὴ ὅτι γε γλῶσσαι ἀνθρώπων σθένουσι, τί εἴπωσιν ἀξίως περὶ τούτων, ἢ βοῶσιν οὕτως. Ἀλληλούϊα.

Ὅλον ὄντα τῶν κάτω, σὺ τῶν ἄνω οὐδ' ὅλως, ἀπόντα τὸν μονογενῆ Λόγον, ἀνηγόρευσας θεοπρεπῶς· ἀδιάσταστον γὰρ διὰ τοῦ, οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν, συνανάρχως θεσπίζειν ἀκούεις.

Χαῖρε, ποταμὲ θεολογίας· χαῖρε, ὀφθαλμὲ θεογονίας.

Χαῖρε, ὁ ὑποδὺς τὸν γνόφον τὸν ἄδυτον· χαῖρε, ὁ ἐπαρθεὶς εἰς γνῶσιν τὴν ἄγνωστον.

Χαῖρε, γνῶσιν ὑπεράγνωστον μυηθεὶς τῶν χερουβίμ· χαῖρε, αἴγλη ἀστραπτόμενος ὡς αὐτὰ τὰ Σεραφίμ.

Χαῖρε, ὁ τῆς Τριάδος πνευματέμφορος ῥήτωρ· χαῖρε, ὁ μόνου γράφων ἐκ Πατρὸς θεῖον Πνεῦμα.

Χαῖρε, βροντὴ ἠχοῦσα τὰ πέρατα· χαῖρε, φωνὴ ἡ βροντῶσα τὰ δόγματα.

Χαῖρε, Θεὸν ἐκβροντήσας τὸν Λόγον· χαῖρε, Θεὸν συγκροτήσας τὸ πνεῦμα.

Χαῖρε Λόγου ὁ σύγγονος



Ποία γλῶσσα Παρθένε, εὐκρινῶς συγκροτήσει, τὸν σὸν Πνευματορρήτορα Λόγον; συνάναρχον γὰρ τῷ ἐν ἀρχῇ, ἀσύγχυτον δὲ τῷ πρὸς τὸν Θεόν, τῷ δὲ καὶ Θεὸς ἦν ὁ Λόγος, ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ κρατύνεις ψάλλων. Ἀλληλούϊα.

Ῥήτωρ ὢν θεογράφος, τριφεγγοῦς θεαρχίας, θεσμοὺς μυσταγωγεῖς τῆς ἀγάπης, τὶς γὰρ θυμηδέστατος Χριστῷ; τὶς δὲ οὕτω στέργει, καὶ περικαίεται, ἀκράτῳ Χριστοῦ ἔρωτι; θεσπίζοντος αὐτοῦ ἀκούων

Χαῖρε, τερπνὴ τῆς ἀγάπης λύρα· χαῖρε, χρυσῆ τῆς φιλίας θύρα.

Χαῖρε, μαθητῶν ξυμφυΐας ἡ σύμπνοια· χαῖρε, τῶν πιστῶν ἁρμονίας ἡ σύῤῥοια.

Χαῖρε, σχέσιν τὴν ἀνένδοτον πρὸς Θεὸν μυσταγωγῶν· χαῖρε, πόῤῥω τὸ μισάλληλον εὐσεβῶν ἀποσοβῶν.

Χαῖρε, ὁ ὑψιπέτης ὄρνις θεοφανείας· χαῖρε, ὁ ὑψιβάμων γνώμων τῆς ὁμονοίας.

Χαῖρε, εἱρμὸς εἰρήνης κατάλληλος· χαῖρε, θεσμὸς ᾧ μῆνις συρίττεται.

Χαῖρε, στοργὴ φιλοστόργων ἁπάντων· χαῖρε, στολὴ καὶ ῥυθμὸς πιστευσάντων.

Χαῖρε Λόγου ὁ σύγγονος

Σύμβολον χριστονίμων, καὶ θεσμῶν ὅλων βάσιν, ἀγάπην τὴν θεώνυμον γράφων, πρὸς αὐτὴν ἐκκαίεις τοὺς πιστούς, τὸ χρυσοῦν ὑφαίνων αὐτῇ ἱμάτιον, τὶς γὰρ οὐχ ὅλως γίνεται τοῦ κάλλους τοῦ αὐτῆς, μὴ κράζων; Ἀλληλούϊα.

Τρέφοντά σε παρθένε, σεαυτῷ ὡς πανάγνῳ τὸ ἀείζωον πῦρ τῆς ἀγάπης, ὁρῶν ὁ οὐρανοῦ ποιητὴς τῆς ἀγνώστου γνώσεως, τὸ δῆλόν σοι πιστεύεται, τοὺς πάντας σοι προσλαλεῖν διδάξας.

Χαῖρε, ὁ μύστης τῆς συντελείας· χαῖρε, ἡ μάστιγξ τῆς ἀνομίας.

Χαῖρε, θεωρὲ παγγενοῦς ἀναστάσεως· χαῖρε, συγγραφεῦ φοβερᾶς ἀνετάσεως.

Χαῖρε, σὺ γὰρ προεθέσπισας τὴν παρουσίαν τοῦ Χριστοῦ· χαῖρε, σὺ γὰρ προεσάλπισας κατακλυσμὸν τὸν νοητόν.

Χαῖρε, τῆς ἀδεκάστου δίκης ὁ δημηγόρος· χαῖρε, τοῦ πανολβίου βίου ὁ θεηγόρος.

Χαῖρε, πρηστὴρ βαλὼν τὸν ἀντίχριστον· χαῖρε, ἀστὴρ φωστήρ, ᾧ μεμήνυται.

Χαῖρε, πυρσὸς ὁ λαμπρὸς τῶν μελλόντων· χαῖρε, ψυχῶν ὁ σωτὴρ μείζων Νῶε.

Χαῖρε Λόγου ὁ σύγγονος

Ὕμνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· Ἰωάννην γὰρ τὸν σὸν ποθητόν, τῶν κριμάτων σου ἀβύσσου, ὦ Δέσποτα, κοινωνὸν τελεῖς ἄξιον, ὃν δέδωκας ἡμῖν ἵνα βοῶμεν. Ἀλληλούϊα.

Φωτοδόχος λαμπὰς σε, μετὰ πότμον ἰδοῦσα, Βασίλισσα ἡ πάντων ἀγγέλων, τὸν ἠγαπημένον μαθητήν, περιβεβλημένον τὸ φῶς ὡς ἱμάτιον, μητροπρεπῶς προσφθέγγεται, φωνὴ χερουβικῇ τοιῶσδε.

Χαῖρε, τὸ ἆθλον τῆς παρθενίας· χαῖρε, τὸ ἄνθος τῆς ἀϋλίας.

Χαῖρε, τῆς ζωῆς κληρονόμε, ὦ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

χάριτος· χαῖρε, Μητροθέου κοινωνὲ καὶ διάδοχε.

Χαῖρε, ὅτι μεταστάσεως, συμμετέσχες ὡς υἱός· χαῖρε, ὅτι ἀναστάσεως, οἷα Λόγου ἀδελφός.

Χαῖρε συμβιωτεύων τῇ μητρὶ τοῦ Δεσπότου· χαῖρε, μὴ λιπὼν ὅλως κόσμον ὡς καὶ ἡ μήτηρ.

Χαῖρε Ἐνὼχ καὶ Θεσβίτου φέρτερε· χαῖρε, φωνῆς Προδρόμου ὑπέρτερε.

Χαῖρε, τρυφῆς νῦν τρυφῶν ἀφθαρσίας· χαῖρε φρικτῆς πρόδρομε παρουσίας.

Χαῖρε Λόγου ὁ σύγγονος

Χάριν δοῦναι θελήσας, ἀριστεῖον ὢν οἷον! ὁ Λόγος τῇ τεκούσῃ Μητρῷον, σὺν τῷ ἐπιστηθίῳ αὐτοῦ ἀπαθανατίζει, υἱοπρεπέστατα, καὶ θεοῖ μητροτεκνίαν, ἀκούων ἐξ ἀμφοῖν ἀλήκτως. Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν ὕμνον, ἀνυμνοῦμέν σε πάντες, ὡς δεύτερον υἱὸν τῆς Πανάγνου· τὴν αὐτῆς γὰρ οἰκήσας νηδύν, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας.

Χαῖρε, υἱὲ τῆς μητρός τοῦ Λόγου· χαῖρε, ἁγίων ὁ μείζων πάντων.

Χαῖρε, Ἰωάννου μεγάλου μικρότερε· χαῖρε Ἰωάννη προδρόμου μειζότερε.

Χαῖρε, σώζων τὸ διάδημα βασιλέων εὐσεβῶν· χαῖρε, καύχημα σεβάσμιον ὀρθοδόξων εὐλαβῶν.

Χαῖρε, τῆς Ἐκκλησίας ἡ θεόβρυτος βρύσις· χαῖρε τῆς βασιλείας ἡ στερέμνιος βάσις.

Χαῖρε, Πάτμου Ἐφέσου μέγ' ἄϊσμα· χαῖρε παντὸς τοῦ κόσμου ἀγλάϊσμα.

Χαῖρε, Θεοῦ λιτανεύων μητέρα, χαῖρε, πλουτῶν υἱϊκὴν παῤῥησίαν.

Χαῖρε Λόγου ὁ σύγγονος

Ὦ πανύμνητε γόνε, τῆς τεκούσης τῶν πάντων ἁγίων ἁγιώτατον Λόγον, (ἐκ γ΄.) δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, τοὺς μελῳδοῦντας. Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον

Τὸν μαθητὴν φίλον....

Ἀλλὰ καὶ ὁ σοφὸς Νικηφόρος ὁ Βλεμμίδης, ἐν τῷ πρὸς τὸν θεολόγον Ἰωάννην ἐγκωμίῳ συναποφαίνεται, ὅτι οὐ μόνον, μετέστη, ἀλλὰ καὶ ἀνέστη ὁ Θεολόγος· κοιμηθεὶς μέν, εἶθ' ὡς ἐν ῥιπῇ ἀλλαγεὶς καὶ φθορὰν ἀποτινάξας καὶ ἀφθαρτισθείς, ἐλεύσεται δέ, φησίν, ἐν ἀφθάρτῳ σώματι, τὸν ἀντίχριστον ἐλέγξειν.

### Εὐχή

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, διὰ πρεσβειῶν καὶ ἱκεσιῶν τῆς Πανυπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας τῆς Παντοβασιλίσσης τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, καὶ τοῦ Πανενδόξου Ἀποστόλου καὶ παρθένου ἠγαπημένου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, διαφύλαξον τὸν δοῦλόν σου τὸν ὁσιώτατον γέροντα (δεῖνα) σὺν πάσῃ τῇ ἱερᾷ αὐτοῦ συνοδείᾳ ὅπου ἐκτελεῖ τὴν ἁγίαν σου καὶ σεβασμίαν ἑορτήν, μὲ κόπους πολλοὺς καὶ ἀγρυπνίας, καὶ ἀξίωσον αὐτὸν τῆς Βασιλείας τῶν οὐρανῶν. Ἀμήν.

---

**Διαδόσατε τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην».**



ΙΩ. ΣΠΑΘΑΡΗ ΚΑΘΗΓΗΤΟΥ

## ΤΙΣ Η ΟΥΣΙΑ ΤΟΥ ΕΛΛΗΝΙΣΜΟΥ ΚΑΙ ΤΗΣ ΕΝΙΑΙΑΣ ΕΘΝΙΚΗΣ ΣΥΝΕΙΔΗΣΕΩΣ ΤΩΝ ΕΛΛΗΝΩΝ ΑΠΟ ΤΩΝ ΑΡΧΑΙΟΤΑΤΩΝ ΧΡΟΝΩΝ (*)

**Τρεῖς εἰσιν ἀρεταὶ τὰς χρεών σ' ἀσκεῖν τέκνον Θεούς τε τιμᾶν, τούς τε θρέψαντας γονεῖς, νόμους τε κοινοὺς Ἑλλάδος καὶ ταῦτα δρῶν ἕξεις στέφανον εὐκλείας ἀεί.**

**Εὐριπίδης**

Ἡ ἰδέα τῆς Πατρίδος ἀνέκαθεν εἰς τὰ στήθη τῶν Πανελλήνων συγκινήσασα τὴν ψυχήν των προήγαγεν εἰς φῶς ἔργα θαυμαστά, τὰ ὁποῖα οὐδὲ ὁ πᾶς χρόνος θ' ἀμαυρώσῃ, ὡς προκείμενα εἰς μίμησιν εἰς πάντα φρόνιμον καὶ συναισθανόμενον τὰς ὑποχρεώσεις του πρὸς πᾶσαν εὐγενῆ καὶ ὑψηλὴν ἀξίωσιν τῆς ἀνθρωπίνης διανοίας· ναὶ μὲν καὶ ἄλλοι λαοὶ οὐδέποτε ἀπέκλιναν ἀπὸ τῆς κατευθύνσεως ταύτης, ἐὰν ἐπεδίωκον νὰ πράξωσι μέγα τι καὶ γενναῖον, ἀλλ' ἡ ἔλλειψις τῶν ἀπαιτουμένων ἐθνολογικῶν συστατικῶν δὲν προσέδιδεν εἰς τὴν φιλοπατρίαν των τὴν ἔξαρσιν, ἣν ἐνεφύσησεν εἰς αὐτὴν τὸ Ἑλληνικὸν θαῦμα. Καὶ παριστάμεθα ἐν τῇ ἀενάῳ τῶν αἰώνων ῥοῇ μάρτυρες κρατῶν μεγάλων, τὰ ὁποῖα κατέκτησαν τὸν σύγχρονόν των κόσμον, χωρὶς ὅμως νὰ ἔχωσι τὴν ἐσωτερικὴν ἐκείνην πνοήν, ἣν ἡ Ἱστορία ἀναγνωρίζει εἰς τὰ ἔθνη τὰ προωρισμένα νὰ πληρώσουν τὰς ὑψηλὰς τῆς ψυχῆς ἐπιθυμίας εἰς ἃς δὲν εἶναι δεδομένον ν' ἀναχθῇ πᾶς τις, ἂν μὴ ἐτάχθη εἰς αὐτὸν ὑπὸ τῆς θείας Προνοίας, ἥτις σαφῶς ἑνὸς ἑκάστου καθώρισε τὴν πορείαν, ὡς καὶ τὴν τῶν ἐθνῶν ἀποστολήν.

Ἂν ῥίψωμεν ἓν βλέμμα εἰς τὰς πολυσέλιδας τῶν ἀνθρωπίνων πράξεων δέλτους, πολλάκις θὰ διερωτηθῶμεν τί ἀπέγιναν οἱ Χετταῖοι, οἱ Βαβυλώνιοι, οἱ Ἀσσύριοι, οἱ Μογγόλοι, οἱ Κιμμέριοι καὶ πλῆθος ἄλλων λαῶν, οἵτινες πλὴν ἐλαχίστων κληροδοτημάτων πνευματικῶν οὐδὲν ἄλλο ἀφῆκαν, εἰμὴ τέφραν καὶ κόνιν ἢ καὶ τὸ ὄνομά των ἁπλῶς. Πῶς συμβαίνει λαοί, οἵτινες προβάλλουν εἰς τὴν αὐγὴν τῆς Ἱστορίας νὰ μὴ καταλίπωσιν ἔργα ἀντάξια τοῦ μεγέθους ἢ τῆς ἐκτάσεως τῆς ἀρχῆς, τὴν ὁποίαν ἦρχον; Διατὶ ἔσβυσε καὶ αὐτὴ ἡ ἀνάμνησίς των εἰς τὴν συνείδησιν τὴν ἱστορικὴν καὶ ἀμυδραὶ ἀπηχήσεις διαμνημονεύονται διὰ μέσου τῶν αἰώνων, ἀπηχήσεις, αἱ ὁποῖαι ἀνορθώνουν τὰς τρίχας τῆς κεφαλῆς τῶν ἐπιγιγνομένων, οἵτινες εἰς τὸν ζυγὸν τῆς ἀληθείας ζυγίζουν τὰς ἀρετὰς καὶ τὰ μειονεκτήματα τῶν προγενεστέρων λαῶν; Καὶ θὰ παρέρχωνται ἀλλεπάλληλα τῶν ἐθνῶν τὰ κύματα, τῶν ἐκ τῆς ἄνω Ἀνατολῆς ἐμφανισθέντων εἰς τὸ στάδιον τοῦ πολιτισμοῦ, ἀλλὰ μόνον ὡς καταστρεπτικῶν θυελλῶν, αἱ ὁποῖαι ἐν τῇ μανίᾳ των ἔτεινον νὰ συμπαρασύρωσιν εἰς τὸν ὄλεθρόν των, ὡς κακοποιοὶ θεότητες τὸν πολιτισμόν, τὸν ὁποῖον προηγούμεναι γενεαὶ μετὰ μακραίωνας μόχθους κατώρθωσαν νὰ προαγάγωσι ἐξαιρόμεναι εἰς τὸ ὕψος τῶν παρεχομένων ὑπὸ τῆς θείας Προνοίας εὐεργετημάτων καὶ νὰ μεταδώσωσι εἰς τοὺς ἄλλους τῶν ἀποκτημάτων των τῶν πνευματικῶν ἢ καὶ τῶν ἠθικῶν, ὅσοι δὲν ἠνοήθησαν ὑπ' Αὐτῆς.

Εἶναι γνωστὸν εἰς τοὺς ἐγκύψαντας εἰς τὰς εἰδήσεις τῆς Ἱστορίας, ὅτι οὐδεὶς λαὸς ἐξ ἐκείνων, οἱ ὁποῖοι ὡς μόνον δίκαιον ἐπικρατήσεως προέτεινον τὴν πολεμικὴν ῥομφαίαν, ἐπέζησε οὐδὲ ἠδυνήθη ποτὲ νὰ συγκινήσῃ τὴν γνώμην τῶν ὑπὸ τὸ

---

(*) Λόγος πανηγυρικὸς ἐκφωνηθεὶς ἐν τῇ αἰθούσῃ τοῦ θρησκευτικοῦ συλλόγου «οἱ Τρεῖς Ἱεράρχαι» κατὰ τὴν ἡμέραν τῆς Ἐθνικῆς ἑορτῆς ΚΕ΄. Μαρτίου.

Athos Library Αγιορειτική Βιβλιοθήκη

μένον ἐν τῷ μέσῳ τῶν Σκυθῶν, ἢ τῶν Λιγήρων. Διὰ τὸν ἕλληνα, ἡ ἀνθρωπότης διατηρεῖται καταφανῶς εἰς δύο ὁμάδας, τοὺς ἕλληνας καὶ τοὺς βαρβάρους· ἀλλὰ ταχέως οἱ ἕλληνες θεωροῦσιν ἑαυτοὺς ὡς ὑπερέχοντας τῶν ἄλλων λαῶν, καὶ ἐξ ἐθνικῆς ὑπερηφανείας δίδουν εἰς τὴν λέξιν βάρβαρος τὴν ἐξευτελιστικὴν ἔννοιαν, ἣν ἔχει.

### ΟΡΙΣΜΟΣ ΤΗΣ ΕΘΝΙΚΗΣ ΣΥΝΕΙΔΗΣΕΩΣ ΤΩΝ ΕΛΛΗΝΩΝ

Οὐδεὶς καλύτερον τοῦ Ἡροδότου ὥρισε «τὸ ἑλληνικὸν» τ. ἔ. τὴν ἑλληνικὴν φυλήν, ὅστις προσδίδει εἰς τὸ στόμα τῶν Ἀθηναίων τοὺς λόγους διὰ τοὺς ὁποίους δὲν ἐπετρέπετο νὰ προδώσουν κοινὴν ἐθνικὴν ὑπόθεσιν. «Τὸ ἑλληνικὸν ἐὸν ὅμαιμόν τε καὶ ὁμόγλωσσον καὶ θεῶν ἱδρύματά τε κοινὰ καὶ θυσίαι ἢ θεάτε ὁμότροπα» ἤτοι κοινότης φυλῆς, γλώσσης, θρησκείας καὶ ἠθῶν ἰδοὺ τὶ εἰς τὴν συνείδησιν τῶν ἀρχαίων ἐγγυᾶται τὴν ἑνότητα τῆς ἑλληνικῆς φυλῆς.

(Ἀκολουθεῖ)

---

ΤΟ ΔΙΗΓΗΜΑ ΜΑΣ

## Η ΡΟΖΑ ΤΟΥ ΤΑΝΝΑΝΒΟΥΡΓΟΥ

### ΚΕΦΑΛΑΙΟΝ Α.´

### Η ΡΟΖΑ ΑΝΑΤΡΕΦΟΜΕΝΗ ΥΠΟ ΚΑΛΗΣ ΜΗΤΡΟΣ

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

Ἡ Ῥόζα βλέπουσα, τὴν συναίσθησιν τῆς μητρός της, ὕψωνεν ἐπίσης τὴν ψυχήν της πρὸς τὸν Κύριον, καὶ ἠδυνήθη νὰ καταπεισθῇ ὅτι ἀφ᾿ ὅλα τὰ αἰσθήματα, τὸ εὐγενέστερον πάντων εἶναι ἡ ἀληθὴς εὐσέβεια, καθ᾿ ὅσον αὕτη εἶναι ἡ μόνη, ἡ ἀληθῶς ἐξασφαλίζουσα τὴν εὐτυχίαν τοῦ θεοσεβοῦς ἀνθρώπου. Ἡ Ματθίλδη ἐμερίμνα μεγάλως εἰς τὸ ν᾿ ἀνακουφίζῃ τοὺς ἀσθενεῖς, τοὺς δυστυχεῖς καὶ τοὺς καταθλιβομένους. Μίαν ἡμέραν βεβαιωθεῖσα ὅτι εἰς τὸ τοποθετημένον εἰς τοὺς πρόποδας τοῦ ὄρους χωρίον, εὑρίσκετο πτωχή τις γυνή, μήτηρ ἑπτὰ ἀνηλίκων τέκνων, λίαν φιλεργός, καὶ πρό τινος ἀσθενήσασα κινδυνωδῶς, ἡ εὐγενὴς κυρία δὲν ἐδυσκολεύθη νὰ καταβῇ τὸ κρημνῶδες μέρος, ἐπὶ τοῦ ὁποίου ὑψοῦτο τὸ φρούριον, διὰ νὰ προσέλθῃ πρὸς ἐπίσκεψιν τῆς δυστυχοῦς γυναικὸς ὑπὸ τὴν ταπεινὴν καὶ ἀχυρίνην στέγην της. Αὕτη παρατηρήσασα τὴν κατάστασίν της, ἐφρόντισεν ὥστε τίποτε νὰ μὴ τῇ λείψῃ, τῇ προσέφερεν αὐτὴ ἡ ἰδία τὰ ἰατρικά, ἵνα τὴν ἐνθαῤῥύνῃ καὶ νὰ τὰ μεταχειρισθῇ. Αὕτη καθημερινῶς προσερχομένη τῇ ἀσθενεῖ, ἔφερε μεθ᾿ ἑαυτῆς καὶ τὴν Ῥόζαν, ὅπως πολλὰ ἐνωρὶς αὕτη συσχετισθῇ μὲ τὴν θέαν τῆς δυστυχίας, ἵνα μάθῃ ν᾿ ἀνακουφίζῃ τοὺς ἀτυχεῖς καὶ ἵνα μίαν ἡμέραν δυνηθῇ νὰ ἐγκαρτερῇ εὐκολώτερον εἰς τὰ ἐπισυμβησόμενα, τυχόν, δεινὰ καὶ δυστυχίας. Τέλος ἡ Ματθίλδη, πλησιάσασα τὴν κλίνην τῆς ἀσθενοῦς, ἀνεκήρυξεν ὅτι αὕτη ἦτο ἐκτὸς παντὸς κινδύνου. Εἰς τούτους τοὺς λόγους, δάκρυα ἔῤῥευσαν ἀπὸ τοὺς ὀφθαλμοὺς ἁπάντων. Ὁ σύζυγος τῆς πασχούσης δυστυχοῦς προσεκαλέσατο τὰ τέκνα του νὰ ῥιφθῶσιν εἰς τοὺς πόδας τῆς εὐγενοῦς κυρίας, διότι διετήρησε τὰς ἡμέρας τῆς μητρός των· αὐτὴ ἡ ἰδία συγκινηθεῖσα, ἔκυψεν ἔμπροσθεν αὐτῆς, καὶ ἥνωσε τὰς εὐχαριστήσεις της μὲ τὰς τῆς οἰκογενείας της, καὶ ἅπαντες ἠσπάζοντο τὴν χεῖρα καὶ τὰ ἐνδύματα τῆς εὐεργέτιδός των. Τὸ θελκτικὸν τοῦτο θέαμα συνεκίνησε βαθέως τὴν καρδίαν τῆς Ῥόζας. Τὰ δάκρυα ἐπίσης κατέῤῥεον ἐπὶ τῶν παρειῶν της· ἐμακάριζεν ἑαυτὴν ὅτι ηὐτύχησε νὰ ἔχῃ τοιαύτην ἐλεήμονα μητέρα, καὶ εἰς τὸ βάθος τῆς καρδίας της ἐχάραξε τὴν ἀπόφασιν ἵνα ἀκολουθήσῃ τὰ ἴχνη της.



Τοιαύτη ἀνατροφὴ δὲν ἔλειψε νὰ παράσχῃ εὐτυχεῖς ἐκβάσεις· ἡ Ῥόζα προσαπέκτα ἁπάσας τὰς ἰδίας ἀρετὰς τὰς ἁρμοζούσας εἰς τὰς νέας. Ἡ καρδία της ἦτο πλήρης ἐκ τοῦ καθαρωτέρου σεβασμοῦ πρὸς τὸν Θεόν, τῆς πρὸς τοὺς γονεῖς της τιμῆς, καὶ τῆς πρὸς ὅλους τοὺς ἀνθρώπους ἀγάπης. Ἡ σωφροσύνη, ἡ διάκρισις, ἡ γλυκύτης καὶ ἡ καθαρὰ καὶ ἁγνὴ τῆς Ῥόζας ψυχὴ ηὔξανον περισσότερον τὰ θέλγητρα τῆς μορφῆς της. Τὸ ἁπλοῦν τῆς ἐνδυμασίας της ἀνταπεκρίνετο πρὸς τὴν εἰλικρίνειάν της. Αὕτη ἡ ἰδία περιεβάλλετο τὸ λινὸν ἁπλοῦν φόρεμα, ὅπερ εἶχεν ὑφάνει κλώσασα καὶ λευκάνασα τὸ λινάριον· κυανοί τινες ἢ μᾶλλον κόκκινα κομβία προσηρμοσμένα καταλλήλως ἐπὶ τοῦ λίαν λευκοῦ φορέματός της, ἦτο ὁ καλλωπισμός, ὅνπερ αὕτη ἐπροτίμα. Ἀλλ᾿ οἱ ὑπὸ ἀγαθότητος καὶ εἰλικρινείας στίλβοντες γλαυκοὶ ὀφθαλμοί της, καὶ τὸ χρῶμα τῆς ἀθωότητος διακεχυμένον ἐπὶ τῶν παρειῶν της ὑπερέβαινον κατὰ τὴν ὡραιότητα τὴν θέαν τῶν κυάνων, καὶ κατὰ τὴν δροσερότητα τὴν λάμψιν τῶν νεογεννήτων ῥόδων! Πάντες οἱ θεώμενοι αὐτὴν ἔλεγον. «Ἄνευ οὐδεμιᾶς ἀμφιβολίας, ἡ Ῥόζα τοῦ Ταννανβούργου εἶναι ἡ ὡραιοτέρα κόρη ἁπάσης τῆς χώρας τῆς Σουηβίας. Αὕτη εἶναι πολὺ πλέον ἀξιάγαστος διὰ τὴν ἀρετήν της, ἢ διὰ τὴν ὡραιότητά της». (Ἀκολουθεῖ)

Οἱ ἀποστείλαντες ἐσχάτως τὰς συνδρομάς των.

**α´. Ἔτους**

Σεβ. Μητροπολίτης Κερκύρας κ. κ. ΑΛΕΞΑΝΔΡΟΣ Κέρκυρα
» » Μηλιτουπόλεως κ. κ. ΙΕΡΟΘΕΟΣ Ἅγ. ὅρος
Ἱ. Ναὸς Ἁγίου Γεωργίου Καπίστης, Βόλος
» » » » Κουκουράβας Βόλος
» » » Δημητρίου Ποταμιᾶς, Βόλος.
» » » » Καστρίου Βόλος
» » Παναγίας Ἄνω Βόλου Βόλος.

**β´. Ἔτους**

Ἀρχιμ. Γρηγόριος Καραγιαννάκης Κρήτη.
Ἱερεὺς Βασίλειος Χ''Φιλιππίδης Θεσσαλονίκη.

---

## ΔΗΛΩΣΙΣ

Ἡ Διεύθυνσις τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» δέχεται συνεργασίαν ἀπὸ πάντα ἐπιστήμονα ἢ διανοούμενον, ἀποστέλλοντα εἰς αὐτὴν ὕλην ἱστορικήν, ἔχουσαν σχέσιν πάντοτε μὲ τὸ Ἅγιον Ὄρος. Ὡσαύτως ὕλην ἐπαγωγὸν καὶ χρήσιμον διὰ τὴν σωτηρίαν τῆς ψυχῆς.

Διεύθυνσις. : Σωτήριον Σχοινᾶν. Βόλον.

---

## ΥΠΟΜΝΗΣΙΣ

**Ὑπομιμνήσκομεν εἰς τοὺς Σεβαστοὺς Πατέρας τοῦ Ἁγίου Ὄρους, τοὺς καθυστεροῦντας τὴν συνδρομὴν αὐτῶν τοῦ α´. ἔτους ἐκ δραχμῶν 120, τὰ διπλότυπα τῶν ὁποίων ἀφίσαμεν ἐκεῖ κατόπιν τῆς διαβεβαιώσεως αὐτῶν ὅτι θὰ τὰς στείλουν, ἵνα ἀποστείλωσιν αὐτάς, καθόσον οὕτω παρακωλύουσι τὸ ἔργον τῆς ἐκδόσεως τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης».**

**Ὡσαύτως ὅταν ἐπιστρέφουν τεύχη, νὰ προσέχουν νὰ μὴ χάνεται ἡ ταινία· ἐν ἐναντίᾳ περιπτώσει νὰ γράφωσιν ἐπὶ τοῦ ἐξωφύλλου τὴν διεύθυνσίν των. Οὕτω καταστρεφομένης τῆς ταινίας καὶ μὴ ὑπαρχούσης ἄλλης διευθύνσεως ἐπὶ τοῦ φύλλου, δὲν γνωρίζομεν πόθεν μᾶς ἐπιστρέφονται.**

**Ἐπιστρεφόμενα τεύχη δὲν λαμβάνονται ὑπ᾿ ὄψιν ἂν δὲν ἔχουν ἔγγραφον δήλωσιν τοῦ συνδρομητοῦ.**

**Ἡ διεύθυνσις**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΠΑΡΑΚΛΗΣΙΣ

Παρακαλοῦνται καὶ αὖθις οἱ κ. κ. συνδρομηταί, ὅπως ἀποστείλωσιν ἡμῖν τὴν συνδρομήν των τοῦ πρώτου ἔτους ἐκ δραχμῶν 120. Μᾶς καθυστεροῦνται πλέον τῶν 3)4 τῶν συνδρομῶν, ὥστε εὐκόλως δύναταί τις νὰ ἐννοήσῃ ὅτι δυσχεραίνεται πολὺ τὸ ἔργον τῆς ἐκδόσεως.

Εἶναι ἀληθὲς ὅτι οἱ κ. κ. συνδρομηταὶ φαντάζονται ὅτι θὰ σταλῇ ἀντιπρόσωπος ἡμῶν πρὸς εἴσπραξιν τῶν συνδρομῶν των, ὅπως γίνεται σχεδὸν εἰς ὅλα τὰ περιοδικά. Δυστυχῶς ὅμως δι᾿ ἡμᾶς δὲν εἶναι εὔκολον τοῦτο, διότι ἡ διάδοσις τούτου εἶναι ἀκόμη πολὺ μικρά, σχεδὸν εἰς τὰ σπάργανα, ὥστε νὰ μὴ δυνάμεθα νὰ πέμψωμεν τοιοῦτον ἀντιπρόσωπον. Πλὴν αὐτῶν, κινούμεθα ἀπὸ τὸν ζῆλον τοῦ νὰ φέρωμεν εἰς φῶς τοὺς θησαυροὺς τοῦ ἁγίου Ὄρους, χωρὶς νὰ ἔχωμεν οὐδεμίαν χρηματικὴν ἐπιχορήγησιν ἀπὸ οὐδένα, ἀλλὰ περιμένομεν πρωτίστως ἀπὸ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἀπὸ τὴν συνδρομὴν τῶν ὀλίγων συνδρομητῶν, οἵτινες, ἐὰν ἀρνηθοῦν νὰ μᾶς πληρώσουν, θὰ φέρουν ὅλην τὴν εὐθύνην ἀπέναντι τοῦ Θεοῦ, ἀφ᾿ ἑνὸς μὲν διὰ τὴν ζημίαν ἡμῶν, ἀφ᾿ ἑτέρου δὲ διὰ τὴν διακοπὴν τῆς ἐκδόσεως.

Περιμένομεν λοιπὸν ἀπὸ ὑμᾶς, ὄχι μόνον τὴν ἀποστολὴν τῆς συνδρομῆς σας, ἀλλὰ καὶ πᾶσαν τὴν δυνατὴν ἐνίσχυσιν διὰ τὴν ἀπρόσκοπτον ἔκδοσιν τοῦ περιοδικοῦ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης».

Τὴν ἄνω παράκλησιν ἀπευθύνομεν ἀκόμη καὶ εἰς τοὺς ἁγιορείτας Πατέρας, εἰς ὅσους καθυστεροῦν εἰσέτι τὰς συνδρομάς των, ὅπως τὰς ἀποστείλουν.

**Ἡ Διεύθυνσις**

---

**Διὰ τὰς ἐν ἁπάσῃ τῇ ἐπικρατείᾳ ἱερὰς Μονὰς καὶ λοιπὰ εὐαγῆ καθιδρύματα.**

Δηλοῦμεν ὅτι αἱ ἱεραὶ Μοναὶ καὶ τὰ λοιπὰ Ἐκκλησιαστικὰ καθιδρύματα, τὰ ἔχοντα Ἀκολουθίας ἁγίων προστατῶν αὐτῶν ἢ πολιούχων, ἢ ἄλλως πως ἐκκλησιαστικὴν ὕλην πρὸς ἔκδοσιν εἰς βιβλία μικρὰ ἢ μεγάλα, δύνανται μὲ μικροτέραν ἀμοιβὴν νὰ δημοσιεύωνται. Αἱ μὲν ἀκολουθίαι ἁγίων ὁλόκληροι εἰς τὸ περιοδικόν μας καθὼς καὶ μικραὶ Ἐκκλησιαστικαὶ διατριβαί, ἡ δὲ λοιπὴ ὕλη, ἡ δυναμένη νὰ τυπωθῇ εἰς βιβλιάριον, ἀναλαμβάνομεν τὴν ἐκτύπωσιν αὐτοῦ μὲ μικρὰν τιμήν. Εἰς τοὺς οἰκονομικῶς ἀδυνάτους, παρέχομεν εὐκολίαν πληρωμῆς.

**Ἡ Διεύθυνσις**

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΤΟΣ Β.΄ ΑΡΙΘ. 20
ΙΔΡΥΤΗΣ: ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ-ΙΑΤΡΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΜΑΡΚΟΥ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΕΦΕΣΟΥ, ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

ΠΟΙΗΜΑ ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΛΑΥΡΙΩΤΟΥ

Ἀντιγραφεῖσα ἐκ τοῦ Κώδικος ω. 111 φύλλον 185 τῆς ἐν τῷ ἁγίῳ Ὄρει τοῦ Ἄθω ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας.

ΥΠΟ
ΣΠΥΡΙΔΩΝΟΣ (ΑΘΑΝΑΣΙΟΥ) ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΑΠΡΙΛΙΟΣ 1938

1938
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΜΗΝΙ ΙΑΝΟΥΑΡΙΩ ΙΘ΄.

# Ἀκολουθία εἰς τὸν ἐν ἁγίοις Πατέρα ἡμῶν Μάρκον ἀρχιεπίσκοπον Ἐφέσου τὸν Εὐγενικόν.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογοῦμεν τὴν α΄. στάσιν τοῦ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ ἁγίου

**Ἦχος α΄.**
**Πανεύφημοι μάρτυρες**

Λαμβάνει μεγίστην χαρμονήν, Ἐκκλησία ἅπασα, ἡ τῶν πιστῶν ἑορτάζουσα, Μάρκε τὴν μνήμην σου, Πάτερ τὴν φωσφόρον, ὁδηγὸν πλουτήσασα, σὲ πίστεως ὀρθῆς καὶ κοσμήτορα διὸ αἰτοῦμέν σε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἀγάλλου καὶ χόρευε πιστῶς, Ἐκλησία ἅπασα, ἡ τῆς ἑῴας καὶ σκίρτησον καὶ γὰρ ἀνέτειλεν, ἥλιος καθάπερ, Μάρκος ὁ πανεύφημος, ποιμὴν εὐγενικὸς πράξει κλήσει τε, ὃν ἱκετεύσωμεν, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ὑπάρχων θείου ἔμπλεως φωτός, Μάρκος ὁ πανεύφημος, θεολογεῖ ἐκπορεύεσθαι Πνεῦμα τὸ ἅγιον, τοῦ Πατρὸς ἐκ μόνου, αἰτίας ὑπάρχοντος, Πνεύματος Υἱοῦ τε ὡς ἔφασαν οἱ θεοκήρυκες, καὶ δογμάτων οἱ ἐκφάντορες, Ἐκκλησίας τοῦ Χριστοῦ οἱ πάνσοφοι.

**Ἕτερα. Ἦχος δ΄.**
**Ἔδωκας σημείωσιν.**

Ῥήμασιν ἑπόμενοι, τοῦ θεηγόρου σου στόματος, ὀρθοδόξως δοξάζομεν, Πατέρα ἀγέννητον Υἱὸν γεννητόν τε, καὶ Πνεῦμα τὸ θεῖον **ἐκ** τοῦ Πατρὸς ἐκπορευτόν, μίαν θεότητα κυριότητα, ὦ Μάρκε πανσεβάσμιε, ὀρθοδοξίας ὑπέρμαχε, εὐσεβούντων ἀγλάϊσμα, πρεσβευτὰ τῶν τιμώντων σε.

Ἴδομέν σε ἔνδοξε, ὀρθοδοξίας ὑπέρμαχον, καὶ θεολόγων συνήγορον, τοῦ ψεύδους κατήγορον, καὶ ἐν τῇ φατρίᾳ, τῇ ἀθεσμοτάτῃ καταβαλόντα τὴν ὀφρύν, κακοφροσύνης ὅθεν αἰτοῦμέν σε, ἐμμένειν τοῖς διδάγμασι, τοῖς παρὰ σοῦ τοὺς ὑμνοῦντάς σε, καὶ τιμῶντας τὴν μνήμην σου ἀποστόλων ὁμότροπε.

Ὥσπερ χρυσορρήμονα, καὶ θεολόγον ὡς δεύτερον, καὶ τὸν οὐρανοφάντορα, ἐν χρόνοις τοῖς ὕστερον, ἐγνώρισεν ὄντως, Χριστοῦ ἡ Ἐκκλησία, πατροπαράδοτα αὐτῇ, διαφυλάττοντα τὰ τῆς πίστεως, ὦ Μάρκε πανσεβάσμιε, τῆς Ἐφεσίων ὁ πρόεδρος,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οἰκουμένης διδάσκαλος, πρέσβευε τῶν τιμώντων σε.

Δόξα. Ἦχος πλ. δ'.

Ἡ γρήγορος γλῶσσά σου πρὸς διδασκαλίαν ἐν τοῖς ὠσὶ τῶν καρδιῶν ἐνηχοῦσα, τὰς τῶν ῥαθύμων ψυχὰς διανίστησι, καὶ θεοφθόγγοις λόγοις σου κλῖμαξ εὑρίσκεται τοὺς ἐκ γῆς πρὸς Θεὸν ἀναφέρουσα· διό, Μάρκε εὐγενικέ, μὴ παύσῃ πρεσβεύων Χριστῷ, φωτισθῆναι τῷ θείῳ φωτὶ τοὺς τιμῶντάς σε.

**Καὶ νῦν Θεοτοκίον**

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθών, μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. Διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον καὶ τὸ ἀνάγνωσμα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Κεφ. Ι'. 32 Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κο-



πιάσει· καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδὲν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσα σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ. καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν· καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Κεφ. Δ'. 14 Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί· ἀθανασία γὰρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις, καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής· καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις, καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γὰρ ἐν αὐτῇ, πνεῦμα νοερόν, ἅγιον, ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ Προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δὲ ἐστιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐρρύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια, καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς. Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιᾶς πρεσβύτου πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν, ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν, ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου ἐξουσίαν, καὶ σώζων ἐν καιρῷ θλίψεως καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ· ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἦχος α΄.**

Εὐφραίνου ἐν Κυρίῳ πόλις ἡ Κωνσταντίνου, ἡ γόνον ἐνέγκασα, πάντας διενεγκόντα, Μάρκον τὸν ἀοίδιμον, ἐφ᾽ ᾧ ἀήττητον ἀριστέα, ἄριστα καὶ λαμπρῶς, τὸν ὕψιστον Πάπαν καθελόντα, τῇ δυνάμει τοῦ Πνεύματος. Ἀνάλαβε τῶν ᾀσμάτων, τὴν λιγύφθογγον κινύραν, καὶ μέλπε τὸν αἰσχύναντα τῶν Λατίνων τὰ στίφη, περικροτοῦσα φαιδρῶς τούτου σήμερον, τὴν μνήμην τὴν ἔνδοξον.

**Ὁ αὐτὸς**

Ὡς μέγα ὑπάρχει σου τὸ κατόρθωμα, ἁγιώτατε Μάρκε· ὡς θαυμαστή σου καὶ ξενήκουστος ἡ ἔνστασις· τῶν γὰρ ἡμετέρων, τῶν μὲν βίᾳ, τῶν δὲ πειθοῖ, ἁπλῶς ἁπαξαπάντων, τῇ τῆς πίστεως ὑπαχθέντων καινοτομίᾳ, σὺ μόνος καρτερόψυχε, ὑπὲρ τῆς πατρῴας δόξης μέχρι τέλους ἀντέσχες πρὸς ἅπαντας, Λατίνους τε φημὶ καὶ Λατινόφρονας. Καὶ γὰρ τοὺς ὀφείλοντάς σοι συμμαχεῖν ὡς ἀδελφούς, πολεμίους ἔσχες, καὶ δεινῶς ἀντιβαίνοντας. Διὰ τοῦτο ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομά σου, Ἱεράρχα πανθαύμαστε, ὡς μόνου σου τὴν τοῦ μονογενοῦς θεολογίαν ἀπαράτρωτον φυλάξαντος. Διὸ καὶ νῦν παρρησίαν πρὸς αὐτὸν κεκτημένος, δεόμεθα πρέσβευε ὑπὲρ τοῦ φυλάττεσθαι ἡμᾶς ἀτρώτους, ἐκ παντοίας αἱρέσεως.

**Ἦχος δ΄.**

Τῶν ὀρθοδόξων τὰ συστήματα, χρεωστικῶς σε μακαρίζει, Μάρκε τῆς Ἐφέσου πρόεδρε, ὡς εὐσεβείας στῦλον στερεόν, καὶ πρόμαχον ἀήττητον. Σὺ γὰρ ἐν Φερράρᾳ καὶ Φλωρεντίᾳ, ἀναφανδὸν ἐξήλεγξας τῶν κακοδόξων Ἰταλῶν, τὴν ἀντίχριστον καινοτομίαν τῆς θείας πίστεως, Πνευματομάχους τοῖς πᾶσι γνωρίσας, ὡς τὴν μοναρχίαν τῆς Θεότητος, εἰς δυαρχίαν τέμνοντας. Γρηγόριον καὶ Βησσαρίωνα, ὡς παπολάτρας ἀναφανέντας καὶ ἀλλοτριόφρονας, πανταχοῦ, ὡς μιξοθήρας στηλιτεύσας, τὴν ὀρθόδοξον πίστιν σαλευομένην ἐκράτυνας. Ἣν καὶ ἡμᾶς διαφυλάττειν μέχρι τέλους ἀπαράτρωτον, πρέσβευε Χριστῷ τῷ Θεῷ



ὡς ἔχων πρὸς αὐτὸν παρρησίαν πολλήν, Πάτερ ἁγιώτατε.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἀδαμάντινε τὴν ψυχήν, Μάρκε πανοΐδιμε, φωστὴρ διαυγέστατε, τοῦ νοητοῦ τῆς Ἐκκλησίας στερεώματος· στῦλε ἀπερίτρεπτε τῆς εὐσεβείας, τίς σου κατ᾽ ἀξίαν δυνηθήσεται παραστῆσαι τοὺς ἡρωϊκοὺς ἀγῶνας, τούς τε πρὸς ἀλλοτρίους, ναὶ μὴν καὶ τοὺς οἰκείους τῆς πίστεως; μεθ᾽ ὧν ἀνδρικώτατα συμπλεκόμενος, τῇ δυνάμει τοῦ Πνεύματος, τὸ ὑπερθαύμαστον τῆς νίκης κατὰ πάντων ἀνέστησας τρόπαιον, ὡς ἡ ἐκ τοῦ παπικοῦ στόματος προελθοῦσα ἀπόφασις τρανῶς ἐμαρτύρησε λέγουσα. Ἐποιήσαμεν οὐδέν, πάντες οὐδείς. Ὡς νέον δὲ Ζοροβάβελ σὲ κηρύττομεν, ὅτι τὴν ἐν Ἰταλίᾳ πεπτωκυῖάν πως ὀρθόδοξον ἡμῶν πίστιν, οἴκαδε ἐπιστρέψαι ἀνώρθωσας, καὶ ἁπανταχοῦ ταῖς θεοσόφοις σου διδασκαλίαις συνέστησας. Διὸ καὶ εἰς αἰῶνας εὐφημοῦμεν τὴν ἔνδοξον μνήμην σου.

**Καὶ νῦν.**

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος....

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Ἦχος πλ. β΄.

**Τριήμερος ἀνέστης Χριστὲ**

Τὰ ἄζυμα συρίττεις σοφέ, τὸ πῦρ τε τὸ ἀκάθαρτον, μοναρχίαν καὶ ὀφρὺν τὴν παπικήν, ἀπὸ τῆς Ἐκκλησίας, ῥαπίζεις ὦ τρισμάκαρ, κακοδοξίας ἐφευρήματα.

**Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν**

Ὁ μέγας Ἐφεσίων ποιμήν, ὁ Μάρκος ὁ πανσέβαστος, ἑορτάσαι τὴν πανίερον αὐτοῦ, μνήμην ἡμᾶς προτρέπει ἐνθέως συνελθόντας τὴν θείαν ὄντως καὶ σεβάσμιον.

**Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην**

Ὑμνήσωμεν συμφώνως πιστοί, τὸν μέγαν καὶ σεβάσμιον, Θεολόγον τὸν ὑπέρμαχον σαφῶς, καὶ μύστην τῆς Τριάδος, Μάρκον τὸν τῆς Ἐφέσου, ὀρθοδοξίας τὸν διδάσκαλον.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου. Ὅσιε, Πάτερ· καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Ἀπολυτίκιον. **Ἦχος γ΄.**

**Θείας πίστεως**

Θείας πίστεως ὁμολογίᾳ, μέγαν εὕρατο ἡ Ἐκκλησία, ζηλωτήν σε θεῖε Μάρκε πανεύφημε, ὑπερμαχοῦντα πατρῴου φρονήματος, καὶ καθαιροῦντα τοῦ σκότους ὑψώματα· ὅθεν ἄφεσιν Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τοῖς σὲ γεραίρουσι.

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε, ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου, καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν ἑσπερινόν.

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα.

**Ἦχος α΄.**

**Τὸν τάφον σου Σωτὴρ**

Πυξίον μυστικὸν καὶ θεόγραφον πλάκα, καὶ βίβλον νοητὴν σὲ κηρύττομεν Μάρκε· ἐν αἷς ἀναγινώσκομεν τὸ τῆς πίστεως σύμβολον, ἀπαράτρωτον, καὶ τῶν Λατίνων προσθήκην ἀποβάλλομεν τῶν Ὀρθοδόξων οἱ δῆμοι, οἱ σὲ μακαρίζοντες.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκίον**

Μαρία ἡ τὰς τρεῖς ἀνηκούστους ἑνώσεις, ἑνώσασα φρικτῶς, παρθενίαν καὶ τόκον, Θεὸν καὶ τὸν ἄνθρωπον, πίστιν τε καὶ πιστεύουσαν, τοῖς ξενίζουσι τούτοις καρδίαν ἀνθρώπου· ἡμᾶς ἕνωσον, τῇ τοῦ Υἱοῦ σου ἀγάπῃ, καὶ σῶσον Πανύμνητε.

Μετὰ τὴν β'. Στιχολογίαν. Κάθισμα.

**Ἦχος δ.'**

**Κατεπλάγη Ἰωσὴφ**

Κατεπλάγησαν ὁμοῦ, πάντες οἱ Δύσεως σοφοί, καὶ εἶδας τὴν ἰσχύν, τῶν διαλέξεων τῶν σῶν, παριστάμενοι ἐν μέσῳ τοῦ συνεδρίου, ὅπως ἐξ ἑτοίμου πρὸς ἅπαντας, ἐδίδου ἀποκρίσεις θεόσοφε, ἐξ ὁπλοθήκης θείας τῶν Πατέρων, καὶ γραφικῶν παραστάσεων, δι' ὧν τὴν τούτων, ἔξω σοφίαν, ἔδειξας μωρανθεῖσαν.

**Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκίον**

Ἀπειρόγαμε ἁγνή, πῶς συλλαμβάνεις ἐν γαστρί, τὸν ἁπάντων τὴν πνοήν, περικρατοῦντα ἐν χερσί; φράσον ἡμῖν τὸν λόγον τοῦ μυστηρίου σου. Πανάληθές ἐστι, τοῦτο ὦ ἄνθρωπε· καὶ παῦσε ἐρευνῶν τὸ δυσθεώρητον, ὕψος καὶ βάθος, μῆκος καὶ πλάτος, τῆς ἀπορρήτου λοχείας μου. Νικᾷ γὰρ ὄντως, ἔννοιαν πᾶσαν, ἀνθρώπων τε καὶ Ἀγγέλων.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

**Ἦχος πλ. δ'.**

**Τὴν Σοφίαν καὶ Λόγον**

Ἡ τοῦ Πνεύματος χάρις τοῦ παντουργοῦ, καθαρώτατον σκεῦος καὶ ἱερόν, εὑροῦσά σε θεόσοφε, ἐξεχύθη σοῖς χείλεσι, καὶ ὄργανον εἰργάσατο πληρῶσαι ἃ ὥρισε, τὴν Ἐκκλησίαν πᾶσαν, θανεῖν κινδυνεύουσαν, τῇ κακοδοξίᾳ τῶν Λατίνων ζῶσαι. Διὸ οἱ Ὀρθόδοξοι, ὡς ζωὴν οἰκουμένης σε, εὐφημοῦντες κραυγάζομεν. Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Δόξα, τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον**

Ἡλιόμορφον ἅρμα τὸ τοῦ Δαβίδ, πορφυρόστρωτος κλίνη τοῦ Σολομῶν, τόμος θεοχάρακτος, Ἡσαΐου καὶ ἔμψυχος, σκηνὴ τοῦ Μωσέως, καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμὼς ὑπάρχεις, λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιὴλ τε τὸ ὄρος, πυξίον κροκόλευκον Ἀββακοὺμ, καὶ τὸ ἔξοχον, Προφητῶν περιήχημα, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν πανάγιον τόκον σου.

Οἱ ἀναβαθμοί. Τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. ἤχου.

**Προκείμενον. Ἦχος δ'.**

Τὸ στόμα μου λαλήσει σοφίαν

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Τὸ Πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος· ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας.

**Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἱεράρχου.**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον.

**Ἦχος πλ. β'.**

Τῆς ἐμπαθοῦς δυάδος ὑπεραρθείς, καὶ τῆς ὑλικῆς τετράδος ἤδη λυθείς, τῆς ἐν Μονάδι Τριάδος, καὶ ἐν Τριάδι Μονάδος σὺ τριαδικὸς καὶ μοναδικός, ἐπόπτης γέγονας ἄμεσος καὶ τῇ τῶν πρωτοτόκων συναυλιζόμενος πανηγύρει, τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων πρέσβευε ὑπὲρ ἡμῶν, Πάτερ ἁγιώτατε.



Οἱ Κανόνες

Τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου οἱ δύο.

Τοῦ α'. ἡ Ἀκροστιχὶς κατὰ: Ἀλφάβητον ἐν δὲ τοῖς θεοτοκίοις : Κυρίλλου

**Ὠδὴ α'. Ἦχος δ'.**

**Ἀνοίξω τὸ στόμα μου**

Ἀνάρχου θεότητος, Πατρὸς Υἱοῦ τε καὶ Πνεύματος, ἐλλάμψεως δύναμιν παρασχεθῆναί μοι, καθικέτευσον, ποιμὴν τῆς Ἐκκλησίας, ὦ Μάρκε θεσπέσιε ὅπως ὑμνήσω σε.

Βεβαίαν κατέχοντες, ὁμολογίας τὴν ἄγκυραν, σοῦ Μάρκε θεόπνευστε σὲ ἱκετεύομεν, ταύτην στήριξον, θερμῶς τοῖς σοῖς ἱκέταις πιστεύειν ἀείποτε ὡς σὺ ἐκήρυξας.

Γηράσασι δέδοσαι τοῖς σοῖς γεννήτορσιν ἔνδοξε, Σαμουὴλ ὡς πρόπαλαι καὶ τὴν κατήφειαν, τὴν τούτων ἔλυσας, καὶ τὴν τῆς Ἐκκλησίας, ἐκλάμψας ὡς ἥλιος Μάρκε θεσπέσιε.

**Θεοτοκίον**

Κανόνα τῆς πίστεως, τοῦ σοῦ Υἱοῦ θεονύμφευτε, τοῦ Μάρκου κατέχοντες, ὁμολογίαν σεπτήν, ἐκτρεπόμεθα πάντας τοὺς βλασφημοῦντας, ἀρείους ὡς ἄφρονας σὲ νῦν δοξάζοντες.

Ἕτερος Κανὼν

Οὗ ἡ ἀκροστιχὶς Μάρκον τὸν ἀοίδιμον ὑμνῶ προφρόνως : ἐν δὲ τοῖς Θεοτοκ. Κυρίλλου.

**Ὠδὴ α'. Ἦχος πλ. δ.'**

**Ὑγρὰν διοδεύσας**

Μάρκον τὸν ἀοίδιμον τοῦ Χριστοῦ, μέγαν θεολόγον, ἀνυμνῆσαι νῦν βουληθείς, τοῦ Πνεύματος τὴν χάριν ἐξαιτοῦμαι, ὅπερ αὐτὸς ὀρθῶς ἐθεολόγησεν.

Ἄνωθεν ἡ κλῆσίς σου ἀληθῶς, γέγονε θεόφρον, κατακλῦσαι τὰ θολερά, δυσσεβείας ὕδατα ὁ θεῖος, τὰ τῆς Αἰγύπτου ὡς πρὶν σὸς συνώνυμος.

Ῥωννύμενος σθένει τοῦ παντουργοῦ, Πνεύματος ὦ Μάρκε, παιδιόθεν τὴν ἀρετήν, συνέλαβες καὶ τέτοκας τὸν φόβον, τὸν τοῦ Κυρίου σοφῶς παμμακάριστε.

Καλῶς ἠκροάσθης καὶ νουνεχῶς, τοῦ Εὐαγγελίου, ἐσταυρώθης κόσμῳ παντί, κόσμου τοὺς θορύβους ἀποκλίνων, καὶ τὸν σταυρὸν ἐπὶ ὤμων ἀράμενος.

**Θεοτοκίον**

Κυρίως σε οἴδαμεν ἀληθῶς, πάντες Θεοτόκον, τὰς ἐλπίδας μετὰ Θεόν, ἐπὶ σοὶ σαλεύομεν σωθῆναι, τοῦ σοῦ Μάρκου λιταῖς τοῦ θεόφρονος.

Καταβασία: **Χέρσον ἀβυσσοτόκον.**

**Ὠδὴ γ'.**

**Τοὺς σοὺς ὑμνολόγους**

Δυνάμει τοῦ θείου θεοφόρε, τοῦ Πνεύματος ἀπεῖχες τῆς τροφῆς νηπιόθεν τοῦ γάλακτος, ἡμέραις σταυρωσίμοις τε, δηλῶν κἂν τούτῳ δέσποτα ὁμολογίας τὸν ζῆλόν σου.

Ἐθέλχθης τῷ πόθῳ τοῦ Κυρίου, ὦ Μάρκε μισήσας τὰς τρυφάς, καὶ ἡδονὰς τοῦ σώματος, ἐν τῇ ἀκμῇ τοῦ σώματος, καὶ ἀντὶ πάντων ἔκρινας, τὴν θείαν ὄντως ἐγκράτειαν.

Ζητήσας Θεὸν ἐν τῇ ἐρήμῳ, ἐμάκρυνας φυγαδεύων καθαρῶς, προσομιλῶν τῷ κτίστει σου, μόνος τῷ μόνῳ πάνσοφε καὶ παρ' αὐτοῦ δεχόμενος τὴν ὑπὲρ νοῦν θείαν ἔλλαμψιν.

**Θεοτοκίον**

Υἱοῦ σου μηδόλως τὴν προσθήκην, δεχόμενος Μάρκος ὁ κλεινός, παρὰ κανόνας ἔχουσαν, τοὺς ἱεροὺς τῆς πίστεως, οὕτω καὶ τοὺς πιστοὺς ἐδίδαξεν, ὦ Θεοτόκε πανάμωμε.

Ἄλλος. **Σὺ εἶ τὸ στερέωμα**

Ὅλον σου τὸ φρόνημα, πρὸς τὸν Θεὸν σοφὲ ἔτρεψας ὅλως αὐτῷ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁλικῶς ἐκράθης καὶ συνέζησας ἔνδοξε.

Νέου σου ἐζήλωσαν, τὰς ἀρετὰς σοφὲ γέροντες, ἔβλεπον γάρ, κανόνας καὶ τύπον, τοῦ σοῦ βίου τὸ ἔνθεον.

Τὸ τοῦ βίου ἔνδοξε, ὁ πάντα βλέπων τὸ ὅσιον, ἰδὼν τοῦ σοῦ, σὲ τῆς Ἐφεσίων, Ποιμενάρχην καθίστησι.

Θεοτοκίον

Ὕσον θείαν δρόσον μοι, τῷ ἐκτακέντι τῶν θλίψεων, μήτηρ Θεοῦ, λυπηραῖς ἐφόδοις, Παναγία θεόνυμφε.

Καταβασία: **Τὸ στερέωμα**

Κάθισμα. Ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ Λόγον

Τοὺς λειμῶνας τῶν θείων Μάρκε Γραφῶν, καὶ Πατέρων Ἁγίων τῶν συγγραφῶν, σοφῶς περιενόστησας, φιλεργὸς ὥσπερ μέλισσα, καὶ τῆς ὀρθοδοξίας τὰ ἄνθη δρεψάμενος, ἐν μέλι ἐξ ἁπάντων, γλυκὺ κατεσκεύασας, καὶ παρέθου πᾶσι, τοῖς πιστοῖς θεοφόρε. Διὸ οἱ γευόμενοι γλυκασμοῦ ἐν τῷ φάρυγγι, τῆς διανοίας βοῶμέν σοι. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ χαῖρε Κόρη καθέδρα βασιλική· κλίνη πορφυρόστρωτε· χρυσοπόρφυρε θάλαμε· χλαμὺς ἁλουργόχροε· τιμαλφέστατον τέμενος· ἀστραπηφόρον ἅρμα· λυχνία πολύφωτε· Χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα. Χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε. Χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Ὠδὴ δ΄.

Τὴν ἀνεξιχνίαστον

Ἡ ἐπιφοιτήσασα τοῖς μαθηταῖς, Πνεύματος τοῦ θείου ἐπέλευσις, αὕτη προστάττει, σὲ τὴν ἔρημον σοφέ, καταλιπεῖν ὡς τάχιστα, εἰς τὴν βασιλίδα πορεύεσθαι.

Θείᾳ ἐπιπνοίᾳ τοῦ παντουργοῦ, ἡ τῶν Ἐφεσίων ἔνδοξε, ἐν τῇ συνόδῳ, σὲ εὐμοίρησε σοφέ, ποιμένα Μάρκε πάνσοφον, ὡς τῶν Ἀποστόλων ὁμότροπον.

Ἴδεν ἡ Ἀσία τὸν Παῦλον ποτέ, Πνεύματος τοῦ θείου πληρούμενον, ἴδε καὶ Μάρκον, τὸν ὁμότροπον σαφῶς, καὶ ἐν χαρᾷ ἐκραύγασε, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον

Ῥόδον εὐωδέστατον ὁ σὸς Υἱός, ἄχραντε Παρθένε καὶ Κύριος, τὸν θεῖον Μάρκον, ἐξανέτειλε σαφῶς, μυρίζον τὴν ὑφήλιον, θείαις ταῖς τῶν λόγων ἐνστάσεσιν.

Ἄλλος. Εἰσακήκοα Κύριε

Ὁ εἰδὼς πρὸ γενέσεως, πάντα τὰ ἐσόμενα προχειρίζεται, ποιμενάρχην σε καὶ πρόεδρον, τοῦ πιστοῦ ποιμνίου Μάρκε πάνσοφε.

Νοητοὺς ἀπεδίωξας, τῇ σφενδόνῃ μάκαρ τῶν θείων λόγων σου, σὺ τοὺς λύκους τοὺς λυττήσαντας, Ἐκκλησίας Μάρκε τοῦ Κυρίου σου.

Ἀαρὼν ὥσπερ δεύτερος, ὅσιε ἀμέμπτως σὺ ἐλειτούργησας, τῷ τοῦ Πνεύματος τῷ χρίσμασι, τελεσθεὶς παμμάκαρ τελεώτατα.

Ὁλικῶς σὺ ἐφίλησας, τὸν φιλήσαντά σε θείῳ φιλήματι, ὡς ποιμάνας σὺ τὴν ποίμνην σου, ἐπὶ χλόην Πάτερ τὴν τοῦ Πνεύματος.



Θεοτοκίον

Ῥυομένην σε εὕροιμι, πάσης περιστάσεως Θεονύμφευτε, τὴν ἐλπίδα καὶ γὰρ ἅπασαν, ἐπὶ σὲ θαρρῶν μου ἀνατέθεικα.

Καταβασία: **Ἐκάλυψεν οὐρανούς.**

Ὠδὴ ε΄.

Ἐξέστη τὰ σύμπαντα

Κοσμήσας τὴν Ἔφεσον, καὶ τὴν Ἀσίαν ἅπασαν, λόγοις σου ἐνθέοις ἱεράρχα, κόσμιος πρᾷος ὅσιος ἄκακος, ἄμεμπτος σὺ γέγονας σαφῶς, Παῦλος ὡς ἐδίδαξεν, οὗ τὸν ζῆλον ἐζήλωσας.

Λαλήσας ὁ δείλαιος, κατὰ σοῦ λόγους ἄφρονας, πλήττεται τὸ στόμα ἀοράτως, οἶδε δοξάζειν Θεὸς τοὺς δούλους αὐτοῦ, δοξάζοντας τοῦτον ἐμφανῶς, λόγοις τε καὶ πράγμασι, διανοίας εὐθύτητι.

Μυρίσας τοῖς θαύμασι, σὺ τὴν Ἀσίαν ἅπασαν, νέος τις Ἀπόστολος ἐφάνης, ὁμωνυμίαν ὁμοτροπίᾳ αὐχῶν, ἔργοις καὶ διδάγμασιν ὁμοῦ, πράξει θεωρίᾳ τε, μεγαλύνας τὸν Κύριον.

Θεοτοκίον

Ἰδοὺ ὢ Θεόνυμφε, Μάρκος ἄλλος ἀπόστολος, κῆρυξ γεγένηται τοῦ τόκου, τοῦ σοῦ Παρθένε καὶ σὲ ἐκήρυξεν, ἄσπιλον πανάμωμον ἁγνήν, μόνην ἐνδιαίτημα, τοῦ ὑψίστου πανάμωμε.

Ἄλλος. **Ὀρθρίζοντες βοῶμέν σοι**

Ἱέρευσας σεαυτὸν τῷ Κυρίῳ σου, Μάρκε σοφέ, καὶ ὡς μάρτυς ἀναίμακτος, ἐγένου θῦμα εὐπρόσδεκτον.

Δυνάμει κραταιούμενος Πνεύματος, Μάρκε σοφέ, οἱ καιροὶ σὲ ἐπέγνωσαν, καὶ μηδαμῶς σαλευόμενον.

Ἰάτρευσας Κυρίου τῇ χάριτι νόσους πολλάς, τῶν πιστῶς προστρεχόντων σοι, Μάρκε θεῖε σεβάσμιε.

Μεγάλῃ τῇ φωνῇ ἐξερχόμεθα, λόγοις τοῖς σοῖς ἠκούοντο τὰ πνεύματα, ἐπιτιμώμενα ἔνδοξε.

Θεοτοκίον

Ἰάτρευσον Παρθένε πανύμνητε, ψυχὴν ἐμὴν πληγωθεῖσαν βέλεσι, τοῦ ἐσχεὶ πολεμοῦντός με.

Καταβασία: **Ὡς εἶδεν Ἡσαΐας.**

Ὠδὴ ϛ΄.

Τὴν θείαν ταύτην

Ναμάτων θείων ἀνάπλεως, ὑπάρχων θεοφόρε κατέκλυσας τὰ θολερώτατα, καὶ ἁλμυρώτατα ὕδατα, τῶν γλωσσαλγούντων Πάτερ κατὰ τοῦ Πνεύματος.

Ξηράνας Μάρκε πανεύφημε, φυτὰ τῆς δυσσεβείας προθέλυμνα, λόγοις πανσόφοις σου, ἐν τῇ φατρίᾳ τῆς δύσεως, ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα σοφῶς ἐκήρυξας.

Ὁ θεῖος Μάρκος τῆς πίστεως, ὑπέρμαχος φανεὶς καὶ διδάσκαλος, θείοις διδάγμασι, νῦν ἐπαξίως ἀγάλλεται, ὑπὲρ ἡμῶν τῶν τιμώντων μνείαν ποιούμενος.

Θεοτοκίον

Λυχνία ὤφθης πολύφωτος, λαμπάδιον ἐν μέσῳ σου ἔχουσα, Μήτηρ τὸν κτίστην σου, σὲ ὡς ὁ Μάρκος ἐκήρυξε, καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεὸν ἐδόξασεν.

Ἄλλος. **Ἱλάσθητί μοι Σωτὴρ**

Ὁ νόμος ὁ τοῦ Θεοῦ, οὐκ εἶα φέρειν πανόλβιε, παρανομοῦντας κακῶς, τὰ ἄρθρα τῆς πίστεως, ὅθεν σὺ διήλεγξας, βασιλεῖς δυνάστας, ἱερέας τοὺς κακόφρονας.

Νυγείσης σου τῆς ψυχῆς, ὑπὸ τῆς χάριτος ὅσιε, ἐν μέσῳ τῆς θολερᾶς ἐκείνης συρρεύσεως ἐδίδαξας πάνσοφε, μὴ παραχαράττειν πατροπαράδοτα διδάγματα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὑμνοῦμεν πανευκλεῶς, τὴν θείαν λύραν τοῦ Πνεύματος, τὸ Πνεῦμα ἐκ τοῦ Πατρός, ἐκ μόνου πορεύεσθαι, τὸν Μάρκον διδάξαντα διὰ τοῦ Υἱοῦ δὲ τοῖς πιστοῖς διαδιδόμενον.

**Θεοτοκίον**

Λαμπόμενος τῷ φωτὶ τῆς θεαρχίας θεότητος, ἐθεολόγεις αὐτήν, πιστῶς Μάρκε πάνσοφε, τὴν θεογεννήτριαν συνεργὸν γὰρ εἶχες τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Καταβασία: **Ἐβόησέ σοι.**

**Κοντάκιον**

**Ἡ Παρθένος σήμερον**

Πανοπλίαν ἄμαχον, ἐνδεδυμένος θεόφρον, τὴν ὀφρὺν κατέσπασας, τῆς Δυτικῆς ἀνταρσίας, ὄργανον τοῦ παρακλήτου γεγενημένος, πρόμαχος ὀρθοδοξίας προβεβλημένος. Διὰ τοῦτό σοι βοῶμεν, χαίροις ὦ Μάρκε, ὀρθοδόξων καύχημα.

**Ὁ οἶκος**

Τίς ἀμοιβή; τίς ἀνταπόδοσις ἀξία παρ' ἡμῶν σοι προσενεχθήσεται, Μάρκε ἁγιώτατε; σὺ γὰρ δι' ἀσκήσεως προκαθαρθείς, Θεολογίας γέγονας ὄργανον· καὶ Ἱεράρχης χρηματίσας, ὑπὲρ τῆς πατρῴας δόξης, πρὸς δυτικοὺς ἠγωνίσω μέχρις αἵματος· τῶν τῇ κακοδοξίᾳ καταπεσόντων, ἀνάστασις γέγονας· τῶν παραπεσεῖν κινδυνευόντων ἀσφάλεια· τῶν διεστώτων ἕνωσις· καὶ πάντων ἁπλῶς τῶν ἀνατολικῶν, ὀρθοδοξίας ἀνεδείχθης Διδάσκαλος. Διὰ τοῦτο κατὰ χρέος ἐκβοῶμέν σοι ἀπαύστως, χαίροις ὦ Μάρκε, ὀρθοδόξων καύχημα.

Τῷ αὐτῷ μηνὶ ιθ'. μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ.

Μάρκος πάλαι Αἴγυπτον ηὔγασε μέγας. Μάρκος δὲ ἄλλος ἔλλαμψε πρὸς Ἀσίαν.

Ἕτερος

Μάρκος ῥίγας Αἰγύπτου ηὔγασε ζόφον.
Ἐκ τῆς ἕω δὲ Μάρκος ἤλασε πλάνην.

Τῇ δεκάτῃ τριτάδι Μάρκου πνεῦμ' ἴπτατο γαίης.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ'.**

**Οὐκ ἐλάτρευσαν**

Πάλαι ἔφησας Χριστὲ τοῖς ἀποστόλοις σου, μεθ' ἡμῶν ἔσεσθαι, ἕως αἰῶνος ἀεί, ἰδοὺ ἐβεβαίωσας Μάρκον ἀπόστολον, ἀποφήνας σου, τὸν τῆς Ἐφέσου πρόεδρον, ἐν αὐτῷ κατασκηνώσας.

Ῥητορεύειν τε τοῦ Πνεύματος τὰ ἄρρητα, Μάρκε θεόπνευστε, καὶ ἐκδιδάσκειν ὀρθῶς, αὐτὸ σὲ ἐνέπνευσε Πέτρον ὡς πάλαι σαφῶς, ὅθεν ἔψαλλες, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Συνελθόντες σου τὴν μνήμην ἑορτάζομεν, Μάρκε θεσπέσιε, ἀρχιερέων κανών, ἡ βάσις καὶ στήριγμα ἡμῶν τῆς πίστεως, μεθ' ἧς πρέσβευε, διαβιοῦντας σῴζεσθαι, καὶ τυχεῖν τοῦ θείου τέλους.

**Θεοτοκίον**

Λαῖλαψ ἔχει με καὶ σκότος παραπτώσεων, ὧνπερ ἐξήμαρτον, διὸ βοῶ σοι ἁγνή, λαμπρύνουσα σῶσόν με, μῆτερ τοῦ ζῶντος Θεοῦ, ἱκετεύω σε, πρεσβειῶν τοῦ σοῦ θεράποντος, ἱεράρχου θείου Μάρκου.



Ἄλλος. **Παῖδες ἑβραίων**

Μέγας ἐδείχθης θεολόγος, καὶ ὑπέρμαχος ὦ Μάρκε τῆς Τριάδος, τὸν Πατέρα εἰπών, αἰτίαν εἶναι μόνον, Υἱοῦ καὶ θείου Πνεύματος, ὀρθοδόξως δογματίζων.

Νέος ἀπόστολος ἐδείχθης, τρισκαιδέκατος ὁμώνυμος τοῦ πάλαι, τοῦ τὴν Αἴγυπτον φωτί, λαμπρύναντος ἐνθέως, ἀναβοῶν πανόλβιε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὤφθης ἐν μέσῳ τῆς φατρίας, ὡς Ἠλίας σὺ ἐκεῖνος ὁ θεσβίτης, θείῳ ζήλῳ ζηλῶν, ἐκραύγαζες τοῖς πᾶσι, καινοτομίας φύγετε, ἵνα ζῆτε εἰς αἰῶνας.

Πένησιν ὤφθης ἐπαρκέσας, συμπαθής τε ἐλεήμων δεομένοις πρᾶος ἱλαρὸς εὐπρόσιτος κραυγάζων, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον**

Λάμπρυνον φέγγει μετανοίας, ἡ κυήσασα τὸ φῶς τὸ πρὸ αἰώνων, τὸν ἐν νυκτί με παθῶν, καθεύδοντα βοᾶν σοι, εὐλογημένη Πάναγνε, χαῖρε χαῖρε εἰς αἰῶνας.

Καταβασία: **Σὲ τὸν ἐν πυρί.**

**Ὠδὴ η'.**

**Παῖδας εὐαγεῖς**

Τίμιος ἐν πᾶσι θεῖε Μάρκε, ἐφάνης τοῖς βασιλεῦσι καὶ τοῖς ἄρχουσι, τότε μὲν διήλεγξας, δόγματα τοὺς στρέφοντας, τὴν οἰκουμένην αὖθις, ἐγείρεις ψάλλειν ὀρθῶς, τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὕψωσας Θεὸν ὁμολογίᾳ, τῆς πίστεως ὦ Μάρκε πανοαοίδιμε, ἔλλαμψας ὑπὲρ ἥλιον, λόγων ταῖς ἐνστάσεσι, θεολογῶν ἐκήρυξας τὸ Πνεῦμα πρόεισιν, ἐκ μόνου τοῦ Πατρὸς ὡς αἰτίου, πέλοντος Υἱοῦ τε καὶ Πνεύματος θεόφρον.

Φρόνημα κτησάμενος θεόφρον, τῶν θείων Ἀποστόλων καὶ μαρτύρων τε, μέγας ἀναδέδειξαι, μάρτυς καὶ Ἀπόστολος, πάντας ἀνθρώπους ἔπεισας ὀρθὰ φρονεῖν καὶ βοᾶν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον**

Ὄρθρος φαεινὸς σὺ ἐγνωρίσθης, ἡ μόνη τὸν νοητὸν σὺ ἐμφάνασα, ἥλιον τὸν λάμψαντα, πᾶσαν καὶ φωτίσαντα, τὴν οἰκουμένην πάναγνε, Παρθενομῆτορ ἁγνή, διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. **Τὸν ἐν ὄρει ἁγίῳ**

Ῥήμασί σου τοῖς θείοις θεηγόρε, ἐν φατρίᾳ ἐκείνῃ τῇ ἀθέσμῳ, κατεβροντήθη παπικὴ ἡ ἄνοια, ἐκδιδάσκοντός σου μὴ παραχαράττειν, τῆς πίστεως τὰ ἄρθρα τοὺς ὅρους.

Ὅλος ὤφθης διάπυρος τῷ ζήλῳ, ὡς ὁ πάλαι Ἠλίας ὁ πυρίπνους, τοὺς ἱερεῖς τοῦ Πάπα σὺ κατῄσχυνας, νέου ὡς φανέντος, πνευματομαχοῦντος Ἀρείου Σαβελλίου.

Φερωνύμως ἀπόστολος ἐδείχθης καὶ τῇ γνώσει ἐκείνου ὡπλισμένος, θεολογεῖς τὰ ἄζυμα μὴ δέχεσθαι, ἐν μυσταγωγίᾳ, τοὺς ἱερομύστας ἀπᾴδοντα τῇ πίστει.

Ῥητορεύων ῥητόρων ὡς πυρίπνους, θείοις λόγοις ὡς ἄλλος θεολόγος, ἀποδεικνύεις φανεραῖς ἐπιφαύσεσι, μένειν ἐν τοῖς ὅροις, τῶν ἱερομύστων, ὦ Μάρκε θεηγόρε.

**Θεοτοκίον**

Ὃν οἱ ἄνω τρόμῳ προσκυνοῦσι, κάτω Μάρκος θεολογεῖ ἐνθέως, ὡς ὑποφήτης θεῖος ὡς ἀπόστολος,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦτον Θεοτόκε, μήτηρ τοῦ ἐλέους δυσώπει ὡς υἱόν σου.

Καταβασία: **Ἀστέκτῳ πυρί.**

**Ὠδὴ θ΄.**

**Ἅπας γηγενὴς**

Χαίρεις παρ' ἡμῶν, ὦ Μάρκε πανεύφημε τῶν εὐφημούντων σε, μόνος γὰρ ἐνέμεινας, ὀρθοδοξίας σπινθὴρ πανεύφημε, καὶ μόνος σὺ ἐξήστραψας, ὡς ἄλλος ἥλιος, ὡς ὁ πάλαι, μέγας Ἀθανάσιος, σὺ τὸν ζῆλον ἐδείκνυς τῆς πίστεως.

Ψάλλεις τὸ τρισσόν, ὦ Μάρκε τὸ ἅγιος σὺ παριστάμενος, θείᾳ τῇ θεότητι, ἀγγέλοις πᾶσι σὺν ἀρχαγγέλοις τε, ἣ τὰς λιτὰς προσάγαγε, τῶν εὐφημούντων σε, καὶ τελούντων, μνήμην τὴν πανίερον, σοῦ τὴν θείαν σοφὲ καὶ πανεύσημον.

Ὥσπερ ὁ Χριστός, τῆς χήρας προσήκατο μικρὸν τὸ ἔλεος, οὕτω Μάρκε ἔνδοξε, ὡς εὐγνωμόνως καὶ σὺ τὴν πρόθεσιν, τοῦ τοῦτό σοι ὑφάναντος ἄμουσον πόνημα, καὶ ἀντίδος, θείαν εὐλογίαν σου, καὶ ψυχῆς σωτηρίαν καὶ ἔλεος.

**Θεοτοκίον**

Ὕμνους εὐπρεπεῖς, οὐκ ἔχω πανύμνητε σοὶ ἀφοσιώσασθαι, πλήθει γὰρ πταισμάτων μου, ἀεὶ δονοῦμαι περικυκλούμενος· σὺ οὖν ἁγνὴ με φώτισον, ὀρθὰ ποιεῖν καὶ φρονεῖν, καὶ τῆς θείας, τεύξασθαι λαμπρότητος, ταῖς πρεσβείαις τοῦ σοῦ Μάρκου Θεόνυμφε.

Ἄλλος. **Κυρίως Θεοτόκον**

Ναοῦ σου τοῦ ἐνθέου, νῦν διαλυθέντος, καθαρῶς τῇ Τριάδι χαίρων παρίστασαι, πατριαρχῶν ἐν χορείαις καὶ ἀποστόλων σκηναῖς.

Ὡς χήρας ὁ Δεσπότης, τὰ λεπτὰ τὰ δύο, προσδεδεγμένος σὺ εἴης ὦ Μάρκε σοφέ, τοὺς δὲ ἀμούσους τοὺς ὕμνους προσαγομένους σοι.

Συνὴν σὺ τῷ Δεσπότῃ, μέμνησο τῶν πίστει, σοῦ μεμνημένων καὶ τιμώντων τὴν μνήμην σου, ἣν ἐτησίως τελοῦμεν Μάρκε πανεύφημε.

**Θεοτοκίον**

Ὑμνοῦμεν Θεοτόκε, καὶ δοξολογοῦμεν, καὶ προσκυνοῦντες τὸ χαῖρε σοι κράζομεν, σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

Καταβασία: **Θεοτόκε ἡ ἐλπίς·**

Ἐξαποστειλάριον

**Γυναῖκες ἀκουτίσθητε**

Τὸν μέγαν ἀρχιποίμενα, τὸν μύστην καὶ ἐκφάντορα, τὸν πρόεδρον τῆς Ἐφέσου, Μάρκον τὸν θεηγόρον, ἐν ὑμνῳδίαις ἅπαντες, οἱ πιστοὶ εὐφημήσωμεν, σήμερον γὰρ ἐξέλαμψεν, ὡς ἥλιος ἐν τῷ κόσμῳ, ταῖς ἱεροφαντορίαις.

**Θεοτοκίον**

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη· ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

Ἦχος πλ΄. β΄.

**Τριήμερος ἀνέστης**

Λαμπρότητι τοῦ βίου σου, ὀρθότητι τῶν λόγων σου, στερεώσας τὴν ὀρθόδοξον Χριστοῦ, πίστιν ὦ θεοφόρε, ἐπηύξησας ὦ Μάρκε, καλῶς τὸ τάλαντον ὡς γέγραπται.

Ἁγίως σου διήνυσας, τὸν βίον Μάρκε πάνσοφε, ἐκκηρύξας πᾶσαν αἵρεσιν σαφῶς, πίστεως τῆς ἁγίας διδάξας παρρησίᾳ, καινοτομεῖν μηδόλως ἔξεστιν.

Ὑπάρχων θείου Πνεύματος, σὺ ἔμπλεως ἐτέλεσας, θαυμασίως τῷ ὀνόματι Χριστοῦ, θαύματα καὶ σημεῖα, ὦ Μάρκε τῆς Ἐφέσου, κόσμος καὶ βάσις τῆς ὀρθότητος.

Ἕτερα. **Οἶκος τοῦ Εὐφραθᾶ**

Ὤφθης τῇ τοῦ Χριστοῦ, θεόφρον Ἐκκλησίᾳ, προπύργιον καὶ τεῖχος, ἀπὸ τῶν ἐναντίων, φυλάττων ταύτην δόγμασι.

Δέδωκας τῷ Θεῷ, ψυχὴν ὁμοῦ καὶ σῶμα, ὁλοκαύτωμα οἷον, καὶ ζῇς διαιωνίζων, ὑπὲρ ἡμῶν δεόμενος.

Ἤδη ἐν ταῖς αὐλαῖς, Κυρίου θεοφάντορ, αὐλίζῃ σὺν ἁγίοις, ποιούμενος μὴ παύσῃ, μνείαν τῶν μεμνημένων σου.

**Δόξα. Ἦχος πλ. α΄.**

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων καὶ χορεύσωμεν τῷ Πνεύματι, καὶ κροτήσωμεν εὐφραινόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει, τοῦ θεοφόρου Πατρός. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τῶν δι' ἀγώνων τῶν λογικῶν γενναίως, τοὺς γόνους τῆς Δύσεως, ἀντιλέγοντας δυσσεβῶς, ἐν σοφίᾳ νικήσαντα εὐφημείτωσαν· ποιμένες καὶ διδάσκαλοι, τὸν τῆς ὀρθοδοξίας ἀήττητον προστάτην, συνδραμόντες μακαρίσωμεν· οἱ ὅσιοι τὸν ἀσκητήν· οἱ ἱερεῖς τὸν ποιμένα· οἱ ἐν συμφοραῖς τὸν σωτῆρα· οἱ φιλόσοφοι τὸν σοφόν· οἱ ἁμαρτάνοντες τὴν θερμὴν πρεσβείαν· οἱ ἀσθενοῦντες τὸν ἰατῆρα· οἱ θεολόγοι τὸν θεολόγον· ἅπαντες οἱ ὀρθόδοξοι, τὸν κοινὸν εὐεργέτην, κατὰ χρέος ἐγκωμιάζοντες ἀνακράζωμεν· Μάρκε ἁγιώτατε, μεσίτευσον ὑπὲρ ἡμῶν, πρὸς τὸν Θεὸν καὶ Δεσπότην, καὶ ῥῦσαι κολάσεως ταῖς ἱκεσίαις σου.

Καὶ νῦν.

Μακαρίζομέν σε...

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Δίδοτε καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τὰ τυπικά, καὶ ἐκ τοῦ Κανόνος, Ὠδὴ γ΄. καὶ ϛ΄. Ἀπόστολος καὶ Εὐαγγέλιον Ἰωάννου τοῦ Χρυσοστόμου.

**Κοινωνικόν.**

Εἰς μνημόσυνον αἰώνιον.

Ἡ παροῦσα ἀκολουθία ἐποιήθη παρ' ἐμοῦ τοῦ εὐτελοῦς προηγουμένου Κυρίλλου ἐν ἔτει αψιθ΄. ἐν τῷ πλοίῳ, διὰ τὴν Βενετίαν πλέοντες. Ἀντεγράφη δὲ ἐνταῦθα αψπ΄. μηνὶ Νοεμβρίῳ ἐν τῇ Λαύρᾳ, πόθῳ τοῦ ἁγίου.

---

ΣΑΒΒΑ ΜΟΝΑΧΟΥ ΦΙΛΟΘΕΪΤΟΥ

## ΥΠΟΜΝΗΜΑ ΠΕΡΙ ΦΑΝΤΑΣΙΑΣ
### (Ψυχολογικὸν)

### Β΄. Η ΑΧΑΛΙΝΩΤΟΣ ΦΑΝΤΑΣΙΑ

Ὅπως εἴπωμεν ὅτι ἡ φαιδρὰ φαντασία εἶναι μήτηρ τῆς ποιήσεως, τῆς τέχνης, τῆς προόδου, οὕτω καὶ ἡ ἀχαλίνωτος φαντασία εἶναι τὸ ἐναντίον, μήτηρ τῆς νόσου ὅλων τῶν ψυχοπαθειῶν, τῆς ἀκολασίας, τῆς βλακείας καὶ τῆς φρενοβλαβείας.

Ἡ ἀχαλίνωτος φαντασία ὠθεῖ τὸν ἄνθρωπον εἰς τὴν ἀτιμίαν, εἰς τὸν βόρβορον, εἰς τὴν διαφθοράν, εἰς τὰ ὀλέθρια σαρκικὰ πάθη, τὰ ὁποῖα ἐπὶ τέλους φέρουν τὸν ἄνθρωπον εἰς διάφορα ψυχικὰ καὶ σωματικὰ νοσήματα, ὅσα ἡ ἰατρικὴ ἐπιστήμη σήμερον ἀνεκάλυψε. (Τοιαῦτα παραδείγματα διαφθορᾶς καὶ ψυχικῶν καὶ σωματικῶν νοσημάτων



Athos Library Αγιορειτική Βιβλιοθήκη

ἔχομεν πλεῖσθ' ὅσα σήμερον· ὁ βουλόμενος μαθεῖν ἂς περιέλθῃ τὰ νοσοκομεῖα καὶ τὰ φρενοκομεῖα τῆς σήμερον).

Ἡ φαντασία, ὅταν δὲν διευθύνεται ὑπὸ τοῦ λογικοῦ, ἐκτρέπει τὸν ἄνθρωπον εἰς διάφορα ψυχοβλαβῆ πάθη, καὶ ὡς ἄλογον ζῶον τρέχει πλέον τὸν κατήφορον τῆς ἁμαρτίας ἀσυνειδήτως. Ἐπιφέρει τὸν μαρασμὸν τοῦ σώματος καὶ τῆς ψυχῆς, ἐκνευρίζει καὶ ἐξασθενεῖ καθ' ὁλοκληρίαν τὰς πνευματικὰς καὶ σωματικὰς δυνάμεις τοῦ ἀνθρώπου, ὅστις πλέον ἀποβλακοῦται καὶ ἀποκτηνοῦται, καὶ ἐπὶ τέλους καταντᾷ εἰς τὴν φρενοβλάβειαν, ὁπότε πληροῦται τὸ ψαλμικὸν ῥητόν· «Ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς». (ψαλμ. ΜΗ'. 21). Ἡ ἀ χ α λ ί ν ω τ ο ς φ α ν τ α σ ί α εἶναι ἐν ἑνὶ λόγῳ, τὸ κυριώτερον ἔδαφος τῆς ἁμαρτίας.

Πολλοὶ μεγάλοι ψυχολόγοι Πατέρες τῆς Ἐκκλησίας, ἠδυνήθησαν νὰ διακρίνουν τὰ ὀλέθρια ἀποτελέσματα τῆς ἀ χ α λ ι ν ώ τ ο υ φ α ν τ α σ ί α ς. Διὰ νὰ τελεσθῇ δὲ ἡ ἁμαρτία παρουσιάζονται τρία τινά.

α'. Παρουσιάζεται τὸ κακόν· β'. ἐμφανίζεται ἡ ἡδονὴ· καὶ γ'. λαμβάνει χώραν ἡ πρᾶξις.

Ἀπὸ δὲ τῆς ἐμφανίσεως τοῦ αἰσχροῦ λογισμοῦ ἐν τῇ φαντασίᾳ, μέχρι τῆς τελέσεως τῆς ἁμαρτίας μεσολαβοῦσι τέσσαρά τινα· ἤτοι αὐτὸ τὸ ἀποτέλεσμα τῆς πρακτικῆς ἁμαρτίας διαιρεῖται εἰς τέσσαρα σ τ ά δ ι α. Καὶ πρῶτον μὲν ἐνεργεῖ τὸ λογιστικὸν· δεύτερον τὸ φανταστικὸν· τρίτον τὸ ἐπιθυμητικόν, καὶ τέταρτον ἡ συγκατάθεσις.

Καὶ ἐν πρώτοις εἰς τὸ πρῶτον σ τ ά δ ι ο ν ἐμφανίζεται εἷς ἁπλοῦς λογισμός, ὅστις πιθανὸν νὰ προέλθῃ ἀπὸ μίαν λέξιν αἰσχράν, ἢ ἀπὸ θέας τινός, ἢ ἀπὸ ἐπαφὴν ἔκ τινος σώματος, ἢ ἐκ τῆς ἀναπλάσεως μιᾶς παλαιᾶς παραστάσεως (θεάτρου, κινηματογράφου κλπ). Ἀλλ' ἐκ πασῶν τῶν αἰσθήσεων, ἡ μᾶλλον συντελοῦσα ἐμφάνισις τοῦ λογισμοῦ εἶναι ἡ ὅ ρ α σ ι ς· ἡ ὅρασις ἔχει ἐπίδρασιν εἰς μεγάλον ὁρίζοντα. Διὰ τοῦτο καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ ὁρίζει· «εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ»· (Ματθ. Ε'. 29) δὲν ἐννοεῖ δηλ. νὰ ἐκβάλῃς τὸν ὀφθαλμόν σου, ἀλλὰ νὰ ἀποσπάσῃς τὴν προσοχήν σου ἀπὸ τὸ σκανδαλίζον σε πρόσωπον.

Μετὰ τὸ πρῶτον στάδιον τὶ γίνεται; μόλις εἰσῆλθεν ὁ ἁπλοῦς λογισμὸς ἀμέσως ἀρχίζει τὴν ἐνέργειαν ἡ φαντασία. Λαμβάνουσα τὸν χρωστῆρα χρωματίζει τὴν εἰκόνα τῆς ἡδονῆς ἐπὶ τῆς καρδίας· καὶ εἰς μὲν τὴν Εὔαν παρουσιάζει τὸν ὡραῖον καρπόν, εἰς τὸν Δαβὶδ τὴν θέαν τῆς γυναικός, εἰς τὸν ἀκόλαστον, ἐπίσης γυναῖκα, καὶ ἐν γένει εἰς ἕκαστον συμφώνως μὲ τὴν κλίσιν ἣν ἔχει. Εἰσερχόμεθα ἤδη εἰς τὸ δεύτερον σ τ ά δ ι ο ν. Μόλις λάβει χώραν ὁ χρωματισμὸς τῆς εἰκόνος, ἡ φ α ν τ α σ ί α ἐξετάζει τὸ πρόσωπον, τὰ μέλη, συνομιλεῖ μετ' αὐτοῦ· φαντάζεται γλυκύτητα καρποῦ, ἀπόλαυσιν ἡδονῆς, ἐξετάζει τὸν τόπον, τὸν καιρὸν τὴν περίστασιν, τὸν τρόπον, καὶ οὕτω ἀνοίγει τὴν θύραν ἵνα εἰσέλθῃ ἡ ἐ π ι θ υ μ ί α· ὅπου λαμβάνει χώραν τώρα τὸ τρίτον σ τ ά δ ι ο ν. τὸ ἐ π ι θ υ μ η τ ι κ ό ν. Τοῦτο ὡς λυσσασμένος σκύλος δὲν ἐννοεῖ πλέον οὔτε νόμον, οὔτε φόβον Θεοῦ, οὔτε λογικότητα σκέπτεται, ἀλλὰ ὁρμᾷ νὰ ἁρπάσῃ, νὰ φάγῃ, νὰ ἀπολαύσῃ· ἀδημονεῖ, στενοχωρεῖται, τρέχει πρὸς τὸ ὀνειροπολούμενον ἀντικείμενον· φθάνει ἐκεῖ, κτυπᾷ λυσσωδῶς τὴν θύραν τῆς ἁμαρτίας· ὡς ἵππος θηλυμανὴς χρεμετίζει, ἐπιθυμεῖ, ὀρέγεται. Δὲν μένει τίποτε πλέον, μόνον ἡ σ υ γ κ α τ ά θ ε σ ι ς, ἥτις εἶναι τὸ τέταρτον σ τ ά δ ι ο ν. Ἐδῶ τώρα γίνεται μία φοβερὰ καὶ ἀγωνιώδης πάλη, εἷς τρομερὸς πνευματικὸς πόλεμος μεταξὺ τῆς ἐ π ι θ υ μ ί α ς καὶ τῆς σ υ γ κ α τ α θ έ σ ε ω ς· ἡ μὲν ἐπιθυμία κτυπᾷ φρενητιωδῶς τὴν θύραν τῆς σ υ γ κ α τ α θ έ σ ε ω ς προβάλλουσα τὴν καῦσιν, τὴν φλόγωσιν, τὴν δίψαν τοῦ νὰ ἀπολαύσῃ τὴν ἁμαρτίαν, ἡ δὲ συγκατάθεσις προβάλλει τὸν Νόμον τοῦ Θεοῦ, τὴν τιμωρίαν, τὴν κόλασιν, τὴν ἀτιμίαν. Οὐδαμῶς, λέγει, ἡ ἐπιθυμία ὑποχωρῶ· κάτω ὁ νόμος τοῦ Θεοῦ! κάτω ὅλα τὰ ἐμπόδια, ὑποχώρησον σὺ νὰ κορέσω τὴν δίψαν μου, νὰ ἀπολαύσω τὸ ποθούμενον. Καὶ αὕτη εἶναι ἡ φοβερὰ πάλη, ἀγαπητοί, τῆς σαρκὸς μετὰ τοῦ πνεύματος. Ἐξεγείρεται τὸ πάθος ἐναντίον τῆς συνειδήσεως, ἥτις ἀνδρείως ἀνθίσταται κατὰ τοῦ ἀλόγου πάθους· καὶ ἐὰν μὲν εὑρεθῇ δυνατὴ ἡ συνείδησις (ἡ ψυχὴ) καὶ νικήσῃ, καλῶς ἔχει· εἰ δὲ καὶ νικηθῇ, οὐαὶ τότε! ὤ, τότε! ἀνοίγει τὴν θύραν τῆς ἁμαρτίας ἡ συγκατάθεσις καὶ ὑποχωρεῖ νικημένη· καὶ ἰδοὺ πλέον τὰ πάντα τετέλεσται. Τότε δή, τότε ἀστραπαί, βρονταί, κεραυνοί, χάλαζα, κατέρχονται ἄνωθεν, ἅπερ δηλοῦσι τὴν ὀργὴν καὶ δικαίαν ἀγανάκτησιν τοῦ Θεοῦ, τιμωροῦντος τὸν ἀποστάτην ἀνιλεῶς

Ὥστε ἡ φ α ν τ α σ ί α, ἀγαπητοί, παίζει σπουδαῖον ῥόλον ἐν τῷ ἀνθρώπῳ. Διὰ τοῦτο πρέπει νὰ καλλιεργῶμεν μὲν τὰ αἴτια τῆς φ α ι δ ρ ᾶ ς φ α ν τ α σ ί α ς, δι' ἧς ὁ ἄνθρωπος προάγεται εἰς πνευματικὰς καὶ ὠφελίμους προόδους, νὰ ἀποφεύγωμεν δὲ τὰ αἴτια τῆς ἀ χ α λ ι ν ώ τ ο υ φ α ν τ α σ ί α ς, δι' ἧς ὁ ἄνθρωπος καταστρέφεται πνευματικῶς καὶ σωματικῶς.

Τέλος

---

ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΑΙ ΛΟΓΟΙ

## *ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ*

**(Ἐκ τοῦ Κώδικος Λ 197)**

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

### Τῆς ἀγάπης ἔπαινος

Μεγάλη τῆς ἐν Χριστῷ ἀγάπης ἡ δύναμις· καὶ λόγος οὐδεὶς περὶ αὐτῆς κατ' ἀξίαν ἱκανὸς διηγήσασθαι, ἐπειδὴ ἐξ αὐτῆς τῆς τοῦ Θεοῦ μεγαλονοίας ἀπαύστως προέρχεται· ὢ ἀγάπη, ἡ τὴν συμφωνίαν μὴ διαιροῦσα τῆς ἁγίας Τριάδος· ὢ ἀγάπη, ἀγγέλων σύμβιος· πατέρων σύντροφος, προφητῶν σύσκηνος, ἀποστόλων σύγχορος, μαρτύρων σύναθλος, ἀρχιερέων προνόμιον, ἱερέων μέλι, διακόνων γάλα, χριστιανῶν μάννα· μοναχῶν τελείωσις· ἀσκητῶν λαμπρότης· πατριαρχῶν μακαρισμὸς στέφανός τε καὶ δόξα, διδασκάλων πραγματεία, Ἐκκλησίας σύνδεσμος. Ἡ ἀγάπη τὴν πεπικραμένην ψυχὴν γλυκαίνει, τὴν τεθλιμμένην θεραπεύει, τὴν τεταπεινωμένην ἀναθάλλει· ἡ ἀγάπη τὴν ἐλεη-





Athos Library
Αγιορειτική Βιβλιοθήκη

μοσύνην φιλεῖ, τὴν ἐλεημοσύνην ἀσπάζεται, καὶ τῷ ταύτης γεωργῷ στεφάνους χρυσαυγεῖς ἑτοιμάζει. Ἡ ἀγάπη καὶ ἡ ἐλεημοσύνη τὰς θύρας ἀνοίγει τῆς βασιλείας τῶν οὐρανῶν.

— Οὐδείς ἐστιν ἐν ἀνθρώποις ὁ ἔχων τὸ τέλειον, ἀλλὰ μείζων ἐστὶν ὁ ἀγὼν ὁ προκείμενος τοῖ ἤδη παρωχηκότος κἂν ἡμεῖς ἀγνοοῦμεν.

— Ἀκούω περὶ ὑμῶν μέγιστά τε καὶ ἀξιέπαινα, καὶ δυνάμενα ψυχὴν προσειχειῶσαι Χριστῷ τῷ Θεῷ.

— Ἀπόκρισις. Ὁ Θεὸς ἀδελφέ, ὁ μόνος ἰώμενος τὴν ἀνθρωπίνην ἀσθένειαν, αὐτὸς καὶ σὲ καὶ ἡμᾶς δοξάσει τὰ θεῖα θελήματα· καὶ ὁδηγήσει πάντας εἰς τὸ ποιεῖν τὰ προσήκοντα· ἄνθρωπος γὰρ ἄνθρωπον ὠφελῆσαι οὐ δύναται, εἰ μὴ ἕκαστος ἑαυτῷ προσέχει διὰ παντός, καὶ νήφοντι τῷ νῷ τὸ δέον ἐργάζοιτο, τὸν Θεὸν κεκτημένος τῶν πρακτέων συλλήπτορα.

— Καιρὸν τροφῆς ποιήσωμεν τὴν ἀνάγκην τῆς φύσεως.

— Ὁ ἔχων ἀεὶ τοῦ φίλτρου καὶ τῆς ἀγάπης τὴν κίνησιν καὶ τὸν δρόμον ἀνεύδωτον.

— Διὰ τὴν ἐλπίδα, ἣν ἔχεις τὴν τῶν ἱδρώτων σου καὶ καμάτων ἀντίδοσιν, συγκατάβηθι καὶ μετάδος μοι εὐλογίας μοι καὶ συγχωρήσεως τῷ προαιτησαμένῳ σοι μέγιστε δέσποτα ἐλαχίστῳ σου δούλῳ, τὸν κοινὸν Δεσπότην ἀπομιμουμένη σου ἡ μακαρία ψυχή, τὸν μηδέποτέ τινα βδελυττόμενον.

— Ἡ χάρις οὐκ ἐκ τῶν ἀξιωμάτων γνωρίζεται, ἀλλ' ἐκ τρόπων ψυχικῶν χαρακτηρίζεσθαι εἴωθεν· Χριστός ὁ Θεὸς ἡ τῆς εἰρήνης πηγή, εὐχαῖς τῶν ἁγίων εἰρήνην σταθηράν σοι δωρήσαιτο.

— Τὸ σεμνὸν σχῆμα τὴν προαίρεσιν οὐκ ἀλλάττει· ἀπὸ γὰρ τῆς προαιρέσεως αἱ πράξεις.

— Τὴν ἐκ τῆς Μαρίας ἀειθαλῆ βλαστήσασαν χλόην ἡμῖν ὑποδείκνυε.

— Ἢ ὅτι πρὸς τὰ χρηματικὰ κέρδη ἀποβλέπων παραβλέπεις με τὸν πένητα, ἢ ὅτι διὰ τὸν κατάπτυστον πλοῦτον καταφρονεῖς τοῦ πλησίον.

## Ἀποστολὴ δώρων καὶ διάφορα

Καὶ τῶν πολυαργύρων αἱ παμμεγέθεις προσφοραὶ εὐπρόσδεκτοι καὶ τῶν ἀνυποκρίτων μετὰ γνώμης ἱλαρᾶς, κἂν σφόδρα τὰ δῶρα τυγχάνῃ βραχύτατα.

— Οἱ μὲν τοῦ κόσμου διδάσκαλοι τούτου, πρὸς τὴν τῶν γραμμάτων γνῶσιν τοὺς παῖδας ἀνάγουσιν· οἱ δὲ τῆς Ἐκκλησίας, πρὸς τὴν τῶν κατορθωμάτων τελείωσιν ἐκδιδάσκουσιν.

— Οὐδεὶς βασιλεύων ὑπῆρξεν ἀθάνατος, οὐδεὶς τὸ κοινὸν τέλος ἐξέφυγε· πάντας μεθίστησι θάνατος ὡς δεσπότης· πάντας λογοθέτουσιν οἱ σκώληκες· οὐδεὶς βασιλέων τὸν τοῦ ᾅδου πυλῶνα διέφυγε· πάντας κρατεῖ· πάντας ἐν τάφοις φρουρεῖ· οὐδεὶς ἐκείνου ὑπερήλλατο δίκτυα· οὐδεὶς ἐκείνου τὰς παγίδας ἐξέφυγε· οὐ Σαοὺλ ὁ πρῶτος ἐγκαινίσας τὸ τῆς βασιλείας διάδημα· οὐ Δαβὶδ ὁ θεοπάτωρ ὁ φανερωθεὶς ὑπὸ κέρατος καὶ ἄξιος τῆς βασιλείας κληθείς· οὐ Σαμουὴλ ὁ πατὴρ τῶν βασιλέων ὁ δι' ἐλαίου γνωρίζων τὸν ἄξιον καὶ ἀποθούμενος τὸν ἀνάξιον· οὐχ ὁ Σολομὼν ὁ σοφὸς ὁ δίχα μαχαίρας ἐλέγξας τῆς πόρνης τὰ ψεύματα· οὐχ Ἑζεκίας ὁ δάκρυσι τὴν τοῦ θανάτου ἀνατρέψας ἀπόκρισιν. Πάντας τοίνυν τὸ ξῖφος τοῦ θανάτου κατέφαγε, πάντας ὁ θάνατος δικαίους καὶ ἀδίκους, νέους καὶ γέροντας, ἄνδρας τε καὶ γυναῖκας, ἐξέβαλεν ἀπὸ τὴν ζωὴν ταύτην· μόνος ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος τὸν θάνατον ἐνίκησε· νεκροὺς ἤγειρε, θανόντας ἀνέστησε· μνημεῖα ἤνοιξε· ταρτάρου κλεῖθρα συνέτριψε, καὶ πολλὰ σώματα τῶν κεκοιμη-



μένων ἀνέστησε· διατί; ὅτι ἐγεννήθη ἀπὸ ἀθάνατον ὁ ἀθάνατος, καὶ διὰ τοῦ οἰκείου θανάτου τὸν θάνατον ἐθανάτωσε.

Ἰδοὺ νῦν εἴπω κἀγώ, τὸ στόμα μου κράζειν ἐκοπίασεν· ἰδοὺ καὶ ἡ γλῶσσά μου λαλεῖν ἀπεπαύσατο· καὶ ὁ λάρυγξ μου σιγῇ καταδέδεται. Ἐγκύψωμεν ἀδελφοὶ ἐν τοῖς τάφοις, καὶ θεασώμεθα τὴν μορφὴν τῆς εἰκόνος, ἣν ματαίως καλλωπιζόμεθα καὶ τὰς ἀνωφελεῖς καὶ ἀκαίρους φαντασίας ἡμῶν καὶ τὰ σχήματα· ἡ δόξα τε καὶ λαμπρότης· πῶς πάντα κόνις, πάντα τέφρα· πάντα δυσωδίας πεπλησμένα. Πῶς πάντα μαραίνει ὁ πικρότατος θάνατος· ἀλλὰ σὺ τοὺς τῆς ἀχαριστίας σου καὶ ἀγνωμοσύνης καρποὺς ἐν καιρῷ ἐπιτηδείῳ τρυγήσῃς.

Ἀληθῶς εἰς ἡμᾶς ἔφθασε τὰ τέλη τοῦ αἰῶνος κατὰ τὸν μέγαν ἀπόστολον, καὶ ἐπέστησαν χαλεποὶ καιροί, καὶ ἡ ἀνομία καὶ ἀπανθρωπία τῶν τυράννων καὶ ἀσεβῶν ἐπληθύνθη. Εἰς τὰς νόσους καὶ τὴν ψυχὴν ταῖς ἐκ τῆς ἀναβολῆς καὶ ἐλλείψεως θλίψεσι, βασανίσῃς.

— Καὶ ὅσῳ πλείονα τρυφῶμεν τῇ ἀναγνώσει τοῦ γράμματος, τοσούτῳ πρὸς πλείονα πόθον ἑαυτοὺς ἐπεγείρομεν καὶ ἀκορέστως ἀντλοῦντες αὐτοῦ τὰ νοήματα· πρὸς τρίβους ἀρετῆς ἑαυτοὺς διευθύνομεν καὶ πορευόμεθα· καὶ γνώμῃ καθαρᾷ βοῶντες λέγομεν, ὄντως ἐξηρεύξατο καὶ ἐρεύγεται ἡ καρδία μου λόγους ἀγαθούς, καὶ λόγους καὶ ῥήματα ζωὴν φέροντα· ὄντως κατακεκοσμημένη καὶ εὔχρηστος καὶ προσηνὴς καὶ πρᾶος ἡμῖν ὀφθεὶς ἀναδεικνύει τοῖς ἀγαπῶσί σε. Κἂν τοῖς ἑξῆς παρακαλοῦμεν, ἑστίασον ἡμᾶς τῆς ἐπιτετολιπευμένης τραπέζης σου, καὶ καρύκευσον τὰς καρδίας ἡμῶν εἰς πλησμονὴν τῷ ἀθολώτῳ τῆς ψυχοτρόφου διδασκαλίας σου γλεύκει τῷ ἐκ τῆς ἱερᾶς σου γλώττης ἀποστάξαντι, τὰς ὁδοὺς τοῦ Κυ-

« ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ»
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ
ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΚΔΙΔΟΜΕΝΟΝ ΕΝ ΒΟΛΩ

**Γραφεῖα καὶ τυπογραφεῖα : Κοραῆ 47**

***ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ***

| | | |
|---|---|---|
| **Ἐσωτερικοῦ** | **δρ.** | **100** |
| **Ἐξωτερικοῦ** | **σελίνια** | **7** |
| **Ἀμερικῆς** | **δολλ.** | **2** |
| **Τὸ τεῦχος** | **δρχ.** | **10** |

Ἐπιστολαί, συνδρομαὶ καὶ δωρεαὶ ἀποστέλλονται πρὸς τὸν κ. Σωτ. Σχοινᾶν - Κοραῆ 47 Βόλον.

**Χειρόγραφα δημοσιευόμενα ἢ μή, δὲν ἐπιστρέφονται.**

ρίου διοδεύομεν. Καὶ πάνυ αὐτῇ γλυκανθεὶς ὡς νόμον Κυρίου οὐ διαλείπω μελετῶν ἡμέρας καὶ νυκτὸς διανοίγουσα ἡμῶν τὴν διάνοιαν πρὸς τὸ τελεώτερον. Ἐκ θυμοῦ καὶ ἐπιθυμίας πᾶν ἁμάρτημα γίνεται τῇ ψυχῇ.

## Λόγος εἰς τὰ Χριστούγεννα

Τάχα μοι καὶ τὸ σιωπᾶν καὶ τὸ λαλεῖν μοι ἐστὶν ἐπικίνδυνον. Βασιλικῶν ἀδελφοὶ μυστηρίων ἑορτὴν ἑορτάζομεν σήμερον· εἰς ἣν ἡ σύμπασα κτίσις συναχθεῖσα ἀγάλλεται· ὁ οὐρανὸς μὲ τὸν ἀστέρα χειραγωγεῖ εἰς τὴν πανήγυριν τοὺς σπουδάζοντας· ἡ γῆ διὰ μέσου τῶν ποιμένων τρέχει προθύμως εἰς τὴν προσκύνησιν· Ὁ Ἡσαΐας μὲ γοργὸν καὶ γρήγορον βάδισμα περιπατεῖ διὰ νὰ δείξῃ τὴν Παρθένον εἰς τὴν πανήγυριν. Ὁ Ἱερεμίας μὲ τὸ ἴδιον βάδισμα προκηρύττων τὸν Δεσπότην καὶ βασιλέα τῆς κτίσεως, λέγει, εἰς τὴν σημερινὴν πανήγυριν : οὗτος ὁ Θεός... οἱ μάγοι ἐκ Περσίδος ἔκθαμβοι γεγονότες εἰς τὸ κάλλος τῆς φύσεως τὸν σήμερον γεννηθέντα εἰς τὸν Ἡρώδην ὡς ἄξιον καὶ ὑπερμέγιστον βασιλέα ἐμήνυσαν· καὶ ἄγγελοι δὲ καὶ πᾶσα ἡ ἀσώμα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τος φύσις εἰς τὴν πανήγυριν χορεύοντες λέγουσι· δόξα ἐν ὑψίστοις... ὢ ξένου καὶ παραδόξου θαύματος! ὄντως πᾶσαν γλῶσσαν νικᾷ τῆς ἑορτῆς ἡ ὑπόθεσις· σήμερον γὰρ ἡ παροῦσα τῶν ἑορτῶν ἑορτή, πᾶσαν τὴν οἰκουμένην εὐφροσύνης πληροῖ, διατί; ὅτι Θεὸς μετὰ τῶν ἀνθρώπων· ὅτι τὰ ἀρχαῖα ἐκεῖνα καὶ ἀκίνητα κακὰ διελύθησαν, καὶ ἀνηρέθη καὶ ἠφανίσθη καὶ εὐγῆκεν ἀπὸ τὸ μέσον ἐκείνη ἡ ἀπόφασις ὅπου ἔγινεν ἐναντίον τοῦ ἀνθρωπίνου γένους ἐπικατάρατος.... καὶ γῆ εἶ.. ἐν τῷ ἱδρῶτι... καὶ ἐν λύπαις... ἐκόπηκαν τὰ νεῦρα τῆς ἁμαρτίας· κατελύθη ἡ τυραννία τοῦ διαβόλου· καὶ ἠνοίχθη ὁ κεκλεισμένος Παράδεισος· καὶ πύλαι τοῦ οὐρανοῦ ἠνεῴχθησαν, καὶ ἄνθρωποι μετὰ τῶν ἀγγέλων ἐσμίχθησαν· καὶ ἀνέβη ἡ ἀνθρωπίνη φύσις εἰς τὸν βασιλικὸν θρόνον τῆς τρισηλίου θεότητος· καὶ τοῦ ᾅδου τὸ δεσμωτήριον καὶ ὁ θάνατος ἄχρηστα καὶ εὐκαταφρόνητα ἔγιναν. Ὢ ὑπερβολὴ φιλανθρωπίας καὶ ἀγαθότητος! ὢ ἑορτὴ ἁπάντων τῶν καλῶν ἡ ἀκρόπολις! πηγὴ καὶ ῥίζα καὶ ποταμὸς καὶ θάλασσα ὅλων τῶν ἀγαθῶν, ὅπου οἱ ἄνθρωποι καὶ ἄγγελοι καὶ πᾶσα ἡ κτίσις ἐπλούτησε. Ἡ ἑορτὴ τῶν γενεθλίων τοῦ Χριστοῦ τὸν οὐρανὸν ἠνέῳξε, τὸ Πνεῦμα τὸ ἅγιον ἐπεδήμησεν εἰς τὸν κόσμον, τὸ μεσότοιχον τοῦ φραγμοῦ διέλυσε· τὰ χωρισμένα διὰ τὴν παράβασιν τοῦ Ἀδάμ, ἤγουν ὁ ἄνθρωπος ἀπὸ τὸν Θεόν, σήμερον ἀνταμώθησαν, τὸ σκότος ἐσβέσθη, τὸ φῶς ἔλαμψεν· ἐμίσευσεν ἡ ἔχθρα, ἔπαυσεν ὁ πόλεμος, καὶ ἦλθεν ἡ χαρά· ἦλθεν ἡ σωτηρία καὶ ἡ εἰρήνη ἐκείνη καὶ καταλλαγή. ὅπου ἐπιθυμοῦσιν οἱ ἄγγελοι καὶ οἱ δίκαιοι. Ἰδοὺ ὅπου ἐφυτεύθη σήμερον, καὶ τὸ μαρτυρεῖ ἡ θεία γραφὴ λέγουσα: ἀναστήσω αὐτοῖς φυτὸν εἰρήνης. Καὶ Παῦλος ὁ μέγας: Χριστὸς ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἕν: (Ἐφεσ. η.' ιδ). Καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. Ἐγεννήθη λοιπὸν ὁ Χριστὸς σήμερον ὁ Υἱὸς τοῦ Θεοῦ κατὰ σάρκα ὁ ἄπειρος Θεὸς καὶ ἀθάνατος· διὰ νὰ γεννηθῶμεν ἡμεῖς κατὰ πνεῦμα κατὰ τὴν ψυχήν. Ἐγεννήθη ὁ Χριστὸς ἀπὸ γυναῖκα διὰ νὰ τιμήσῃ τὰς γυναῖκας, διὰ νὰ σωφρονοῦν αἱ γυναῖκες· μὲ σπάργανα ἐτυλίχθη, εἰς φάτνην ἀνεκλήθη, εἰς πενιχρὸν σπήλαιον ἐγεννήθη ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ διὰ τὴν ἰδικήν μας ἀγάπην, διὰ τὴν ἰδικήν μας σωτηρίαν. Ἂς σκιρτήσωμεν λοιπὸν καὶ ἀγαλλιασώμεθα ἅπαντες καὶ πνευματικῶς εὐφρανθῶμεν εἰς τὴν γέννησιν τοῦ Κυρίου μας· εἰς τὴν ἐπιφάνειαν τοῦ βασιλέως τῶν ὅλων, καὶ εὐφραινόμενοι εὐαγγελικῶς. Πρέπει ὅμως νὰ ἐννοήσωμεν καὶ νὰ στοχασθῶμεν τὴν ὑπερβολὴν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, καὶ τὸ μέγεθος τῆς τοσαύτης συγκαταβάσεως. Πρέπει νὰ ἀποδώσωμεν εἰς τὸν σωτῆρα καὶ εὐεργέτην μας Χριστὸν τὴν πρέπουσαν τιμήν, τὴν κατὰ δύναμιν ἀνταμοιβήν, τὴν ἀληθινὴν καὶ ἀκαπήλευτον πίστιν, τὴν πρέπουσαν εὐχαριστίαν καὶ τὴν λατρευτικὴν ὀφειλομένην προσκύνησιν. Ἀλλὰ πότε δύναται καὶ πῶς εἶναι δυνατὸν ἄνθρωπος, φύσις φθαρτὴ καὶ ἐπίκηρος νὰ ἀποδώσῃ καὶ νὰ προσφέρῃ τὴν προσήκουσαν ἀμοιβὴν εἰς τὸν πανύμνητον καὶ πανυπέρτατον Θεόν, τὴν ἄπειρον καὶ ἀκήρατον φύσιν ἣν τρέμει τὰ σύμπαντα, ἣν φρίττει τὰ χερουβὶμ καὶ τὰ σεραφείμ; Δὲν ζητεῖ ὁ Θεὸς τὰ ὑπὲρ δύναμίν μας ποτέ, δὲν γυρεύει τιμὴν ἀπὸ λόγου μας καὶ εὐχαριστίαν ἄλλην, πάρεξ τὴν σωτηρίαν μας· τοῦτο εἶναι τιμὴ τοῦ Θεοῦ, ἡ σωτηρία τοῦ κόσμου· τὴν τῆς ἀρετῆς ἐπιμέλειαν ἔχει διὰ τιμὴν ὁ Θεός· τὴν πρόνοιαν, τὴν ἐλεημοσύνην, καὶ πᾶσαν κηδεμονίαν ὅπου δείχνομεν εἰς τοὺς πλη-



σίον, καὶ ἀδελφούς μας· ἐκείνην εἰς τιμὴν ζητεῖ ἀπὸ λόγου μας· θέλεις νὰ καταλάβῃς ποῖον εἶναι τὸ σημάδι ὅπου σὲ φανερώνει ἀνίσως καὶ ἀγαπᾷς τὸν Χριστόν; δὲν εἶναι ἄλλο, πάρεξ ὅταν ἐπιμελῆσαι καὶ σπλαγχνίζεσαι καὶ κυβερνᾷς μὲ λόγον καὶ μὲ ἔργον τοὺς πτωχούς, τοὺς ἐνδεεῖς, τοὺς ἐν ἀνάγκαις, τοὺς θλιβομένους, τὰς χήρας καὶ τὰ ὀρφανά, τοὺς δυστυχεῖς τε καὶ πένητας, οὐδὲν γὰρ οὕτω γνώρισμα καὶ χαρακτὴρ γένοιτ' ἂν τοῦ Χριστοῦ καὶ τὸν Χριστὸν φιλοῦντος, ὡς τὸ τῶν ἀδελφῶν κήδεσθαι, καὶ τὸ τῆς σωτηρίας ἐπιμελεῖσθαι τῆς ἐκείνων, λέγει τὸ στόμα τῆς θείας χάριτος (εἰς τὴν Χριστοῦ γένναν λόγος ια.' τόμ. ζ.' φυλ. 133) διατί; διότι καὶ ὁ ἴδιος Χριστὸς δὲν ἦλθεν εἰς τὸν κόσμον καὶ ἔλαβε σάρκα διὰ νὰ ἀρέσῃ εἰς τὸν ἑαυτόν του, εἰς τοῦ λόγου του, ἀλλὰ εἰς τοὺς ἀνθρώπους, καὶ εἰς ὅλους ἦλθε νὰ ἀρέσῃ· καθὼς λέγει εἰς τὴν πρὸς Κορινθίους ὁ μέγας Παῦλος· οὐ ζητῶ τὸ ἐμαυτοῦ συμφέρον ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσι: Διὰ τοῦτο καὶ ἡμεῖς μὲ κάθε λογῆς ἐπιμέλειαν πρέπει νὰ βάλλωμεν εἰς τάξιν καλὴν τὴν ζωὴν καὶ τὴν πολιτείαν μας, καὶ νὰ βάλλωμεν πολλὴν καὶ μεγάλην φροντίδα εἰς τὸ νὰ φυλάξωμεν τὴν πρὸς τὸν πλησίον καὶ πρὸς τὸν Θεὸν ἑνότητα καὶ ἀγάπην· νὰ καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ κλπ.

Ἀνίσως καὶ ἱμάτιον βασιλέως λασπωμένον ἢ καὶ ἄπλυτον δὲν ἠμπορεῖς νὰ πιάσῃς ἢ νὰ μαλάξῃς μὲ τὰς χεῖράς σου, πόσῳ μᾶλλον τὸ πανάγιον σῶμα τοῦ Χριστοῦ τοῦ ἐπὶ πάντων Θεοῦ καὶ βασιλέως τῆς δόξης· τὸ ἄμωμον, τὸ καθαρόν, καὶ πάσης ἐπέκεινα καθαρότητος· ἀπὸ τὸ ὁποῖον εἴμεθα, ἀπὸ τὸ ὁποῖον ζῶμεν, ἀπὸ τὸ ὁποῖον ἐλπίζομεν νὰ σωθῶμεν; πῶς τὸ πιάνομεν μὲ τόσην αὐθάδειαν, πῶς τὸ μεταλαμβάνομεν μὲ τόσην ἀναισχυντίαν μὲ τόσην ἀκαθαρσίαν καὶ ὕβριν; Διατὶ ἅγιοι ἱερεῖς καταφρονεῖτε τὸν πολύτιμον τοῦτον καὶ πολυπλούσιον μαργαρίτην, καὶ ἔγινεν ἀπὸ τὴν ῥαθυμίαν σας καὶ ἀμέλειαν γέλως καὶ παίγνιον ἡ ἱερωσύνη· τὸ βασιλικὸν ἀξίωμα· τὸ τιμαλφέστατον κτῆμα· τὸ βασιλεῦσι προσκυνητὸν καὶ ἀγγέλοις αἰδέσιμον; Διατὶ εὐσεβεῖς μου χριστιανοὶ ἐδόθητε ὅλως διόλου εἰς τοῦ κόσμου τὰς ἡδονάς, εἰς τοῦ βίου τὴν ἀπόλαυσιν καὶ τῆς σαρκὸς τὰ θελήματα; διατὶ καταφρονεῖτε τὸ εὐαγγέλιον καὶ τὰς ἐντολὰς τοῦ Κυρίου, διατὶ ἐφράξατε τὰς ἀκοὰς τῆς ψυχῆς σας ὡσὰν ἡ ἀσπὶς εἰς τὸν λόγον τοῦ Θεοῦ, καὶ τῆς θείας γραφῆς; καὶ ἄλλος ἀνεξομολόγητος, ἄλλος ἀμετανόητος, ἄλλος ἀδιόρθωτος, ἄλλος μὲ πορνείαν, ἄλλος μὲ κλεψίαν, ἄλλος μὲ πλεονεξίαν καὶ ἁρπαγήν· ἄλλος μὲ πανουργίαν, μὲ τόκους καὶ δολιότητας· ἄλλος μὲ μῖσος, μὲ φθόνον καὶ ἔχθραν, τὴν φονεύτριαν τῆς ψυχῆς, κατασπιλωμένος, δυσώδης, καὶ βρωμισμένος, καὶ ὅλως διόλου ῥυπαρὸς καὶ ἀκάθαρτος καὶ ξεκυλισμένος εἰς τὰ πάθη τῆς ἀτιμίας, εἰς τὰ θελήματα τῆς σαρκός, πλησιάζει μὲ τόσην ἀδιαντροπίαν καὶ ἀφοβίαν εἰς τὰ θεῖα καὶ ἄχραντα μυστήρια; Κἂν τοὺς σημερινοὺς μάγους δὲν μιμούμεθα ὅπου ἄφησαν τοὺς οἴκους, τὰ βασίλειά τους, τὴν πατρίδα τους καὶ τόσον καιρὸν ἐπεριπατοῦσαν, ἄνθρωποι ἄπιστοι, ἀσεβεῖς καὶ βάρβαροι, ὅλα καθὼς εἶπα ἀφήσαντες καὶ αὐτὸ τὸ σῶμα τὸ κείμενον ἐν τῇ φάτνῃ μετὰ πολλῆς εὐλαβείας ἦλθαν καὶ τὸ ἐπροσκύνησαν· καὶ προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν· οἱ ὁποῖοι τὸν εἶδαν ὄχι ἀλλοῦ, ἀλλὰ μέσα εἰς τὴν φάτνην, μέσα εἰς καλύβην, μέσα εἰς σπήλαιον σμικρόν· κατοικία καὶ οἶκος καὶ σκήνωμα πενιχρὰ καὶ εὐκαταφρόνητα· τὸ ὁποῖον δὲν ἠκούσθη ποτὲ ἀπὸ τοῦ αἰῶνος κανένας ἄνθρωπος νὰ γεννη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θῇ εἰς τέτοιους τόπους εὐτελεῖς καὶ καταφρονεμένους, καὶ κατοικητήρια ὄχι ἀνθρώπων, ἀλλὰ ζώων ἀλόγων. Ὢ, ὑπερβαλλούσης καὶ ἄκρας συγκαταβάσεως! εἰς τέτοιαν κατοικίαν τὸν εἶδον οἱ μάγοι, καθὼς εἴπαμεν, καὶ τὸν ἐπροσκύνησαν, βασιλεῖς ὄντες, ὡσὰν ἐλάχιστοι δοῦλοι. Καὶ ἐσὺ ὅπου τὸν βλέπεις ὄχι εἰς τὸ παχνί, ὄχι εἰς τὸ ἀχοῦρι καὶ εἰς τὸν σταῦλον ὡσὰν ἐκεῖνοι, ἀλλὰ εἰς τὸ ἅγιον θυσιαστήριον· ὄχι γυναῖκα ὡς βρέφος νὰ τὸν κρατῇ, ἀλλὰ βλέπεις ἱερέα μὲ φόβον καὶ τρόμον ἱερουργοῦντα, καὶ μὲ ἀσκεπῆ κεφαλὴν καὶ τὸν λαὸν πρηνῆ πεσόντα, βοᾷ μετὰ φόβου Θεοῦ καὶ πίστεως προσέλθετε καὶ τὸ πανάγιον Πνεῦμα μὲ πολλὴν δαψίλειαν, μὲ πολλὴν παρουσίαν, ἐφιπτάμενον εἰς τὰ θεῖα καὶ ἄχραντα μυστήρια. Ἂς ἀναστήσωμεν λοιπὸν τὸν ἑαυτόν μας ἀπὸ τὴν ἀναισθησίαν καὶ νέκρωσιν τῆς ψυχῆς, καὶ ἂς ἔλθωμεν εἰς αἴσθησιν παρακαλῶ, καὶ ἂς ἀνοίξωμεν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, ἂς φρίξωμεν καὶ ἀπὸ τοὺς μάγους καὶ ποιμένας, περισσοτέραν ἂς δείξωμεν τὴν εὐλάβειαν, μηδὲ ἁπλῶς καὶ ὡς ἔτυχε νὰ πλησιάζωμεν εἰς τὴν θείαν μετάληψιν. (Ἀκολουθεῖ)

---

ΙΩ. ΣΠΑΘΑΡΗ ΚΑΘΗΓΗΤΟΥ

## ΤΙΣ Η ΟΥΣΙΑ ΤΟΥ ΕΛΛΗΝΙΣΜΟΥ ΚΑΙ ΤΗΣ ΕΝΙΑΙΑΣ ΕΘΝΙΚΗΣ ΣΥΝΕΙΔΗΣΕΩΣ ΤΩΝ ΕΛΛΗΝΩΝ ΑΠΟ ΤΩΝ ΑΡΧΑΙΟΤΑΤΩΝ ΧΡΟΝΩΝ

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

### ΣΥΝΕΚΤΙΚΟΙ ΔΕΣΜΟΙ ΤΗΣ ΕΘΝΙΚΗΣ ΣΥΝΕΙΔΗΣΕΩΣ

### α΄. Ἡ γλῶσσα

Ἀρχικῶς βάρβαρος ἐκαλεῖτο ἐκεῖνος, ὅστις δὲν ὡμίλει ἑλληνιστί. Ὁ Ὅμηρος αἴφνης, ὅστις δὲν γνωρίζει τὴν διάκρισιν τοῦ Ἕλληνος ἀπὸ τοῦ βαρβάρου, ὁμιλεῖ περὶ τῶν Καρῶν ὡς βαρβαροφώνων. Ἐτυμολογικῶς βάρβαροι φαίνονται ὅτι εἶναι οἱ τραυλίζοντες, τῆς ἐντυπώσεως ταύτης παραγομένης εἰς ἐκείνους, οἱ ὁποῖοι ἀγνοοῦν οἱανδήποτε ξένην γλῶσσαν. Ὁ χρεμετίζων ἵππος, τὸ τερετίζον πτηνὸν καὶ αὐτὸ τὸ ἐν βρασμῷ ὕδωρ λαλοῦν βαρβαριστί. Ὁ ἕλλην λοιπὸν διακρίνεται τοῦ βαρβάρου κατὰ τοῦτο, ὅτι ὁμιλεῖ τὴν ἑλληνικὴν γλῶσσαν, περὶ ἧς ὁ Κικέρων ἐξαίρων τὰς ἀρετὰς αὐτῆς ἔλεγεν «Graïs dedit Musa loqui ore rotundo.» Εἰς τοὺς ἕλληνας ἔδωκεν ἡ Μοῦσα νὰ λαλοῦν μὲ στρογγύλον στόμα, τ. ἔ. μὲ πλήρη ἄρθρωσιν τῶν γραμμάτων καὶ τῶν λέξεων. Καὶ εἶναι μὲν ἀληθὲς ὅτι αἱ διαλεκτικαὶ διαφοραὶ ἦσαν ἄπειροι, ἀλλ᾽ ἡ συνέχουσα αὐτὰς ὁμοιότης προέρχεται τὸ μὲν ἐκ τῆς ἀμοιβαίας ἐπιδράσεως τῶν διαλέκτων, τὸ δὲ διὰ τῆς ἀναπτύξεως ἰδιαζούσης διαλέκτου δι᾽ ἕκαστον τῶν λογοτεχνικῶν εἰδῶν. Κατὰ τὸν 5ον αἰῶνα π. Χ. δύο ἕλληνες μὴ ὁμιλοῦντες τὴν αὐτὴν διάλεκτον εἶναι δυνατὸν νὰ ἐκπλαγοῦν ἐκ τῆς προφορᾶς ἢ ν᾽ ἀγνοοῦν λέξεις τινὰς τοπικῆς λαλιᾶς, ἐν τῷ συνόλῳ ὅμως εἶναι ἱκανοὶ νὰ ἐννοήσουν ἀλλήλους. Οἱ Ἀθηναῖοι ἐπὶ παραδείγματι δὲν βαρυθυμοῦν βλέποντες τὴν ἀμιγῆ ἀττικὴν τῶν διαλόγων νὰ διαδέχεται ἡ δωρικὴ τῶν χορικῶν. Αἱ ὁμοιότητες λοιπὸν ἦσαν τόσον πολλαὶ μεταξὺ τῶν διαφόρων ἑλλ. διαλέκτων, ὥστε οὐδέποτε οἱ ἕλληνες ἀπέβαλλον τὴν συνείδησιν ὅτι ὡμίλουν μίαν καὶ τὴν αὐτὴν γλῶσσαν, ἐνῷ δὲν ἀντελήφθησαν τὴν συγγένειαν, ἥτις ὑφίστατο μεταξὺ τῆς ἑλληνικῆς καὶ τῆς γλώσσης τῶν Θρακῶν καὶ τῶν Ἰλλυριῶν.

### β΄. Ἡ θρησκεία

Ὡς οἱ ἕλληνες ὡμίλουν τὴν αὐτὴν γλῶσσαν, ἐπρέσβευον καὶ τὴν αὐτὴν θρησκείαν. Ἡ κοινότης τῆς θρησκείας ὑπῆρξεν ὁ ἰσχυρότερος δεσμὸς πρὸς συνένωσιν τῶν Ἑλλήνων. Καὶ δὲν ἦτο νοητὴ ἐν Ἑλλάδι οὐδεμία ὁμὰς ἀνθρωπίνη φυσικὴ ἢ τεχνητή, ἀπὸ τῆς οἰκογενείας μέχρι τῶν συμπολιτειῶν, ἥτις νὰ μὴ ἔχῃ κοινὴν λατρείαν. Παρατηρητέον ὅτι ἡ θρησκεία τῶν Ἑλλήνων ἀναμιχθεῖσα εἰς τὴν δρᾶσίν των, ἀντὶ νὰ βαρύνῃ ἐπ᾽ αὐτῶν ὑπεβοήθησε τὴν ἀνάπτυξιν τῶν διανοητικῶν των ἐνεργειῶν. Ὅλοι οἱ ἕλληνες λοιπὸν ἔχοντες τὴν αὐτὴν λατρείαν εἶναι μέλη τῆς αὐτῆς ἐθνικῆς ὁμάδος· ὅταν ὁ Ἀριστοφάνης ἐν τῇ Λυσιστράτῃ ἀγωνίζεται νὰ κηρύξῃ τὴν ὁμόνοιαν εἰς τοὺς ἑλληνικοὺς λαούς, ὑπομιμνήσκει εἰς αὐτοὺς ὅτι περιρραίνουν τοὺς βωμούς των, διὰ τῶν αὐτῶν χερνίβων ὡς ἁρμόζει εἰς συγγενεῖς.

### γ΄. Τὰ αὐτὰ ἤθη

Ἑτέρα ἔνδειξις τῆς ἐκ τοῦ αὐτοῦ ἔθνους καταγωγῆς εἶναι τὰ ἴδια ἤθη, δι᾽ ὧν οἱ ἕλληνες διακρίνονται ἀπὸ τῶν βαρβάρων. Ἡ οἰκογένεια πανταχοῦ ὁρμᾶται ἀπὸ τῆς αὐτῆς ἀρχῆς καὶ ὀργανώσεως· εἴτε εἰς τὰς Ἀθήνας, εἴτε εἰς τὴν Σπάρτην ἀποβλέψωμεν, ἀνευρίσκομεν τὸ αὐτὸ καθῆκον τῆς ἐξασφαλίσεως διὰ τοῦ γάμου τῆς διαιωνίσεως τῆς οἰκογενείας, τὴν αὐτὴν φροντίδα τῆς νομιμοποιήσεως τῶν τέκνων. Ἡ νόμιμος θέσις τῆς γυναικὸς μετριάζεται διὰ τῶν ἠθῶν. Ἡ μήτηρ τῆς οἰκογενείας, ἂν καὶ διατελοῦσα ὑπὸ ἐξουσίαν, κατέχει θέσιν σημαντικὴν εἰς τοὺς κόλπους αὐτῆς· εἶναι οἰκοδέσποινα, διευθύνει τὴν ἐργασίαν τῶν δούλων, ἐπιβλέπει τὰ τέκνα της. Ἡ ἑλληνικὴ οἰκογένεια ὡς τοιαύτη ἀντιτίθεται πρὸς τὴν τῶν βαρβάρων, οἵτινες ἀσκοῦσι τὴν πολυγαμίαν, πωλοῦσι τὰς γυναῖκάς των καὶ τὰς ὑποβάλλουν εἰς ἐργασίας χειρωνακτικάς· καὶ ἡ ὀργάνωσις δὲ τῆς πολιτείας ἐμπνέεται ὑπὸ τῶν αὐτῶν ἀρχῶν· ὁ ἕλλην εἶναι πολίτης ὑπακούων εἰς τὸν



νόμον, ὅστις εἶναι ἡ ἔκφρασις τῆς καθολικῆς θελήσεως. Διὰ τοῦτο ὁ πολίτης ἀναγνωρίζει καθήκοντα εἰς αὐτήν, διότι οἱ νόμοι τῆς πατρίδος του τοῦ ἐξασφαλίζουν δικαιώματα· ὁ βάρβαρος τοὐναντίον εἶναι ὑποκείμενος εἰς τὴν θέλησιν τοῦ κυρίου του.

### δ΄. Κοιναὶ καλαισθητικαὶ ὀρέξεις

Ἡ ἑνότης τοῦ ἑλλην. κόσμου καταδεικνύεται ἀκόμη καὶ ἐκ τῆς κοινότητος τῶν πνευματικῶν τάσεων καὶ τῶν καλαισθητικῶν ὀρέξεων. Ἡ τέχνη εἶναι πανελλήνιος· οὔτε ἡ ἀρχιτεκτονική, οὔτε ἡ γλυπτικὴ ἔχουν σχέσιν πρὸς τόπον τινὰ ὡς καὶ ἡ γλῶσσα καὶ τὰ γράμματα. Βεβαίως ὑπάρχουν διάφοροι ῥυθμοὶ καὶ τύποι τεχνικοὶ καὶ ὑποδιαιρέσεις αὐτῶν, ἀποτελοῦσαι σχολὰς κατὰ τοὺς ἀρχαιολόγους, ἀλλ᾽ αἱ σχολαὶ ἐν τῇ τέχνῃ ὡς αἱ διάλεκτοι, ἐν τῷ λόγῳ δὲν ἀποκλείουσι τὴν κοινὴν καλαισθητικὴν ἰδέαν· διότι ἐπιδράσεις ἀμοιβαίως ἐξασκοῦνται ἐπὶ τῶν διαφόρων σχολῶν ὡς μαρτυροῦσι τὰ ταξείδια τῶν καλλιτεχνῶν. οἱ Κρῆτες Δίποινος καὶ Σκύλλις ἐργαζόμενοι εἰς Ἄργος, Σικυῶνα, Δελφοὺς καὶ μέχρι τῆς Ἀμβρακίας. Διὰ τῶν ταξειδίων των οἱ τεχνῖται γνωρίζονται καὶ συνεργάζονται· τὰ μεγαλοπρεπῆ ἱερὰ μὲ τ᾽ ἀναρίθμητα μνημεῖά των, τὰ ὁποῖα ἀνήγειραν αἱ πόλεις ἦσαν ἀληθῆ μουσεῖα, ὅπου ἔργα διαφορώτατα τὸν ῥυθμὸν καὶ τὴν τεχνοτροπίαν ἐγειτνίαζον πρὸς ἄλληλα καὶ παρεῖχον εἰς τοὺς καλλιτέχνας ἀφορμὴν νὰ γνωρίσωσι καὶ ἐκτιμήσωσι τοὺς ἀντιτέχνας των.

### ε΄. Οἱ ὀλυμπιακοὶ ἀγῶνες

Ἡ ἑνότης ὅμως τοῦ ἑλλην. κόσμου εὑρίσκει τὴν πλήρη ἔκφρασίν της εἰς τὰς μεγάλας πανελληνίους ἑορτάς, ὡς εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας. Πᾶσαι αἱ ἑλληνικαὶ πόλεις ἐκαλοῦντο νὰ συμμετάσχουν

εἰς αὐτοὺς καὶ οὐδεὶς ἐδικαιοῦτο νὰ παρεμποδίζῃ τὴν συμμετοχὴν ταύτην. Ἡ ἱερὰ ἐκεχειρία (ἀνακωχή), ἣν ἐκήρυττον οἱ θεωροί, ἀνέστελλε τὰς ἐχθροπραξίας εἰς ὅλον τὸν ἑλληνικὸν κόσμον, διὰ νὰ δύνανται τὰ ταξιδεύσουν ἄνευ κινδύνων οἱ ἀθληταί. Ἐλεύθεροι δι᾿ ὅλους τοὺς Ἕλληνας οἱ ἀγῶνες, εἶναι ἀπηγορευμένοι εἰς τοὺς βαρβάρους, συμμετοχὴ δὲ εἰς αὐτοὺς ἀποτελεῖ ἔγγραφον πολιτογραφήσεως καὶ μόνον οὕτω οἱ Βασιλεῖς τῆς Μακεδονίας ἀναγνωρίζονται ὡς ἕλληνες τὴν ἐθνότητα. Κατ᾿ αὐτὸν τὸν τρόπον, τῆς ἑνότητος τῆς ἑλληνικῆς ἀλάθητον τεκμήριον ἦσαν οἱ Ὀλυμπιακοὶ ἀγῶνες, οἱ ὁποῖοι καλύτερον ὁρίζουν τὴν αὐτόχρημα ἠθικὴν ἀξίαν αὐτῆς. «Ὑπὸ τὰς πλατάνους τῆς Ἄλτεως, λέγει ὁ Monceaux, αἱ ὁποῖαι περιβάλλουν τὴν ἀγορὰν τῆς Ὀλυμπίας, ὅλοι οἱ υἱοὶ τῶν Ἑλλήνων ἀνεγνωρίζοντο μεταξύ των, ἐν τῇ ποικιλίᾳ τῶν ἐνδυμασιῶν καὶ τῶν διαλέκτων, ἀπὸ τὴν αὐτὴν ἀντίληψιν τῆς λατρείας, τῆς κοινωνικῆς ζωῆς, τῆς ἑνιαίας πατρίδος, τῆς τέχνης καὶ τῆς ζωῆς.

## ϛ΄. Ἡ αὐτὴ ἀγάπη πρὸς τὸν αὐτόνομον βίον

Οὐχὶ μικρὰ δὲ ἦτο ἡ ἀγάπη τῶν ἑλλήνων πρὸς τὴν ἐλευθερίαν καὶ ἀνεξαρτησίαν, ὑπὸ τὴν σκέπην τῆς ὁποίας εἶναι μόνον δυνατὸν ν᾿ ἀναπτυχθῶσι τὰ ἀγαθὰ τοῦ πολιτισμοῦ, τὰ συντελοῦντα εἰς τὴν χάλκευσιν χαρακτῆρος ἑνιαίου δι᾿ ὅλους τοὺς ἕλληνας, χαρακτῆρος ὅστις ἐξεμαίευσε τὸν ἑλλην. πολιτισμόν. Ἀφ᾿ ἧς ἡμέρας ὁ ἔφηβος ὤμνυε τὸν ὅρκον τοῦ πολίτου, ὤφειλεν εἰς τὴν πατρίδα ὅλας τὰς σκέψεις καὶ τὸ αἷμά του. Καὶ δὲν ἐθυσίαζε δι᾿ ἀφῃρημένην ἔννοιαν τὸ σῶμα καὶ τὴν ψυχήν του, ἀλλὰ διὰ κάτι τι συγκεκριμένον, τὸ ὁποῖον ἔβλεπε καθ᾿ ἑκάστην. Ἀνερχόμενος εἰς τὴν ἀκρόπολιν, ἠδύνατο νὰ σχηματίσῃ ἐν σμικρογραφίᾳ τὴν ἰδέαν τῆς πατρίδος· ἡ πόλις ἡ ὁποία ἐξετείνετο κάτωθέν του καὶ ὁλόγυρά του· αἱ βοσκαί, τὰ ἄλση, οἱ κόλποι, ἰδοὺ τὶ ἦτο ἡ πατρίς. Ἀλλ᾿ ἀκόμη ἱερὰ γῆ τῆς πατρίδος εἶναι τὸ πλαίσιον τῆς οἰκογενείας, οἱ τάφοι τῶν προγόνων, οἱ ἀγροὶ τοὺς ὁποίους γνωρίζει, τὸ ὄρος, ὅπου ὁδηγεῖ τὸ ποίμνιόν του ἢ οἱ ναοί, ὅπου παρίσταται κατὰ τὰς θυσίας. Αὐτὰ εἶναι τὰ ὁποῖα ἀγαπᾷ κἀνείς, διὰ τὰ ὁποῖα εἶναι ὑπερήφανος καὶ τὰ ὁποῖα ἀποτελοῦν τὴν πατρίδα, τὴν ὁποίαν ἔχει ὑποχρέωσιν νὰ παραδώσῃ ἰσχυροτέραν καὶ μεγαλυτέραν εἰς τοὺς ἀπογόνους του. Αὐτόνομος ὅμως ἡ πατρὶς ἔχει ζωτικὸν στοιχεῖον τῆς διατηρήσεως, τὴν ἐλευθερίαν, οὐχὶ τὴν ἀτομικήν, ἥτις δύναται καὶ ἐκείνη νὰ ὑπάρχῃ ἐπὶ πλέον, ἀλλὰ τὴν ὁμαδικήν. Ὁ Ἡρόδοτος ἀπὸ τῆς ἀπόψεως ταύτης μᾶς παρέχει πληροφορίαν διαφωτιστικήν· ὅταν θέλει ν᾿ ἀντιτάξῃ τὴν ἑλληνικὴν ἐλευθερίαν εἰς τὴν περσικὴν δουλείαν μᾶς παριστᾷ δύο Σπαρτιάτας, δύο τ.ἔ. ἐκ τῶν ἑλλήνων ἐκείνων, ὧν ὁ βίος ὑπόκειται εἰς λεπτομερεῖς κανονισμούς· ἡ σκηνὴ ὑπόκειται εἰς τὰ Σοῦσα. Ὁ Σπερθίας καὶ ὁ Βοῦλις ἔρχονται νὰ προσφέρουν τὴν ζωήν των εἰς τὸν βασιλέα τῶν βασιλέων, διὰ νὰ ἐξιλεώσωσι τὴν ὀργὴν τῶν θανατωθέντων ἐν Σπάρτῃ κηρύκων. Ὅτε δὲ σατράπης τις τοὺς ἐρωτᾷ διατὶ δὲν θέλουν νὰ γίνουν φίλοι τοῦ Βασιλέως, ὅστις γνωρίζει νὰ τιμᾷ τοὺς ἀνδρείους, ἰδοὺ ἡ ἀπάντησίς των: «Ὑδάρνη, ἡ ἐρώτησις, τὴν ὁποίαν μᾶς κάμνεις δὲν ἔχει ζυγισθῇ εἰς ἀκριβῆ ζυγόν, διότι προέρχεται ἀπὸ ἄνθρωπον, ὅστις ἐδοκίμασεν ἓν εἶδος ζωῆς, χωρὶς νὰ γνωρίσῃ τὸ ἄλλο· γνωρίζεις τὶ εἶναι δουλεία, δὲν ἐδοκίμασες ὅμως ποτὲ τὴν ἐλευθερίαν, ἀγνοεῖς ἂν εἶναι γλυκεῖα ἢ ὄχι· ἐὰν τὴν ἐγνώριζες, θὰ μᾶς παρώτρυνες νὰ μαχώμεθα ὄχι



μὲ ἀκόντια, ἀλλὰ μὲ τὸν πέλεκυν εἰς χεῖρας». Καταφανεστέραν δὲ τὴν ἐπίγνωσιν τοῦ ἀγαθοῦ τῆς ἐλευθερίας, περὶ ἧς ὁ A. Chénier, λέγει ὅτι εἶναι μήτηρ τῶν ἀρετῶν καὶ τῆς πατρίδος, διαβλέπομεν εἰς τὴν ἀπάντησιν, ἣν ἔδωσεν ὁ Ἀριστείδης πρὸς τὸν πρέσβυν τοῦ Μαρδονίου Ἀλέξανδρον, παρόντων καὶ ἀπεσταλμένων τῶν Σπαρτιατῶν. «Ἐν ὅσῳ, εἶπεν οὗτος ἐκφράζων καὶ τὰ ἰδικά του καὶ τῶν συμπολιτῶν του τὰ συναισθήματα, ὁ ἥλιος δὲν μεταβάλλει τὴν πορείαν αὐτοῦ, οἱ Ἀθηναῖοι δὲν θέλουσιν ὁμολογήσει συνθήκας πρὸς τὸν Ξέρξην, ἀλλὰ πεποιθότες εἰς τοὺς Θεοὺς καὶ τοὺς ἥρωας, ὧν ἐκεῖνος ἐνέπρησε τοὺς ναοὺς καὶ τὰ ἀγάλματα, θέλουσιν ἐπιμείνει ὑπὲρ τῆς ἐλευθερίας αὐτῶν ἀγωνιζόμενοι». Ἰδοὺ δείγματα ἀρετῆς καὶ μεγαλοφροσύνης τοιαῦτα, ὥστε μόνον οἱ ἐχόμενοι στερρῶς τοῦ αὐτονόμου βίου καὶ τῆς ἑνότητος τῆς ἑλληνικῆς πατρίδος ἠδύναντο νὰ προβάλωσι.

## Ζ.΄ Πῶς ἐδημιουργήθη ἡ ἑνιαία ἐθνικὴ συνείδησις κατὰ τὴν ἀρχαιότητα;

Ἀλλ᾿ ἐκεῖνο τὸ ὁποῖον ἐσφυρηλάτησε τὸ ἐθνικὸν συναίσθημα τῶν ἑλλήνων ἐξυψῶσαν καὶ στερεῶσαν αὐτό, ὑπῆρξεν ἡ ἀπὸ κοινοῦ ἀντιμετώπισις μεγάλων κινδύνων καὶ ἀργότερον ἡ ἀνάμνησις μεγάλων ἐθνικῶν κατορθωμάτων ἀπὸ κοινοῦ ἐπιτελεσθέντων. Ἀπέναντι τοῦ ἐχθροῦ οἱ Ἕλληνες λαμβάνουν συνείδησιν, ὅτι ἀποτελοῦν ἕνα καὶ τὸν αὐτὸν λαόν. Ἀφ᾿ ὅτου ὁ Κῦρος, νικητὴς τῶν Λυδῶν, κατέκτησε τὰς ἑλληνικὰς παραλίους πόλεις, ὁ μέγας βασιλεὺς διετήρει ὑπὸ τὸ σκῆπτρόν του ὑπηκόους ἕλληνας. Μετὰ τὴν ἐκστρατείαν δὲ τοῦ Δαρείου εἰς Σκυθίαν, εἶχε προσαρτηθῆ εἰς τὴν ἐξουσίαν τῆς περσικῆς αὐτοκρατορίας ἡ Θράκη καὶ ἡ Μακεδονία, δι᾿ ὧν ἐγειτνίαζε πρὸς τὴν ἐν Εὐρώπῃ Ἑλλάδα. Ἀπέραντος ἐπικράτεια, πλουσία χρυσοῦ, διαθέτουσα ἄφθονα ἀποθέματα ἀνδρῶν ἐφαίνετο προωρισμένη ν᾿ ἀπορροφήσῃ ἀκόπως τὰ μικρὰ ἑλλ. κράτη, ὡς ἐκ τούτου δὲ ἄμεσος ἦτο ὁ ἐπικρεμάμενος κίνδυνος.

Ἐντεῦθεν ὁ Ἑλληνισμὸς ἐλάμβανε συνείδησιν ἑαυτοῦ συνασπιζόμενος εἰς ἑνιαίαν δύναμιν, ἧς ἡ ἠθικὴ ἀξία ἦτο ἀκαταγώνιστος ἐναντίον τῶν ἐπιδρομέων βαρβάρων, ἀξέστων καὶ ἀπολιτίστων ἀπὸ τῶν ὁποίων κόσμος ὅλος ἰδεῶν, συναισθημάτων καὶ πεποιθήσεων τὸν ἐχώριζε.

(Ἀκολουθεῖ)

---

***Ἐκ τοῦ Κώδικος ω 111***

## ΚΑΝΩΝ
## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΒΑΡΒΑΡΑΝ

**(Ποίημα Κυρίλλου τοῦ Λαυριώτου)**

Ποιηθεὶς ἐν Πελοποννήσῳ ἐν τῇ κώμῃ Κουτζουκουμάνη, αἰτησαμένων με πρὸς τοῦτο τῶν χωριανῶν διὰ τὸ εἶναι ἐν τῇ αὐτῇ κώμῃ τὸν ναὸν τῆς ἁγίας Βαρβάρας, οὗ ἡ Ἀκροστιχίς: Τὴν καλλιπάρθενον Βαρβάραν ὑδέω: ἐν δὲ τοῖς Θεοτοκίοις: Κυρίλλου:

**Ὠδὴ α΄. Ἦχος πλ. δ.΄**

**Ὑγρὰν διοδεύσας**

Τοὺς πόθῳ τὴν μνήμην σου τὴν σεπτήν, τελοῦντας Βαρβάρα, καλλιπάρθενε τοῦ Χριστοῦ, διάσωζε κινδύνων τῶν τοῦ βίου, καὶ πειρασμῶν καὶ περιστάσεων.

Ἡ θεία καὶ ἔνδοξος καὶ σεπτή, ἑορτὴ ἐπέστη, τῆς νεάνιδος τοῦ Χριστοῦ, καὶ νύμφης Βαρβάρας ἣν ἐκ πόθου, πιστῶς εὐφημήσωμεν σήμερον.

Ναῷ ἐν ἁγίῳ σου τοὺς πιστούς, ὑμνοῦντας Βαρβάρα, νύμφη ἔνδοξε τοῦ Χριστοῦ, καὶ ἐπικαλουμένοις σε παντοίων, ῥῦσαι κινδύ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νων καὶ πάσης τε θλίψεως.

**Θεοτοκίον**

Ὑμνοῦμέν σε Δέσποινα ἐν ᾠδαῖς, οἱ δοῦλοί σου πάντες, καταφεύγοντες ἐκ ψυχῆς, οἱ δ' οὕτω μὴ θέλοντες Κυρίᾳ, αἰσχυνθήτωσαν πάντες καὶ λιθωθήτωσαν,

**Ὠδὴ γ'.**

**Σὺ εἶ τὸ στερέωμα**

Κάλλιστα ἐξήνθησας, φοῖνιξ σὺ ὥσπερ ὑψίκομος, καὶ τὸν καρπόν, τῆς δικαιοσύνης, ἀθληφόρε ἐβλάστησας.

Ἅπασαν τὴν ἔφεσιν, πρὸς τὸν νυμφίον σου ἔτρεψας, σοὺς δὲ γονεῖς, ἀπηρνήσω πᾶσαν, καὶ τὴν τούτων ἀσέβειαν.

Λόγοις σου διήλεγκται, ἡ τῶν Ἑλλήνων ἀσέβεια, τοῦ δὲ Χριστοῦ, ὦ Βαρβάρα μάρτυς, ἐκηρύχθη εὐσέβεια.

**Θεοτοκίον**

Ὅλον με τοῖς πάθεσι, βεβυθισμένον ἀνάστησον, μήτηρ Θεοῦ, καὶ ἐπὶ τὴν πέτραν, τοῦ Υἱοῦ σου στερέωσον.

**Ὠδὴ δ'.**

**Εἰσακήκοα Κύριε**

Λαμπρυνθεῖσα πανεύφημε, ἔνδοξε Βαρβάρα θείῳ κηρύγματι, τοῦ νυμφίου σου δεδόξασαι, ὅθεν εἰς νυμφῶνα τὸν οὐράνιον.

Ἰαμάτων σὲ ἔγνωμεν, μέγαν ποταμὸν Βαρβάρα πολύαθλε, διαπαντὸς τοὺς προστρέχοντας, ῥῦσαι κινδύνων εἰς τὴν σκέπην σου.

Παρθενίας λαμπρότησι, καὶ τοῦ μαρτυρίου σαφῶς σὺ κεκόσμησαι, ὦ Βαρβάρα καλλιπάρθενε, ταῖς πρεσβείαις σῶζε τοὺς τιμῶντάς σε.

**Θεοτοκίον**

Λάμπρυνόν με τῷ φέγγει σου, Μήτηρ ἀειπάρθενε τοῦ Κυρίου σου, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

**Ὠδὴ ε'.**

**Φώτισον ἡμᾶς**

Ἄλλον πλὴν Χριστοῦ, οὐ γινώσκω ἐβόας ἔνδοξε, Θεὸν καὶ κτίστην τοῦ παντὸς ἐν σαρκί, ἐπιφανέντα σεμνὴ Βαρβάρα τοῖς πέρασι.

Ῥύστην τῶν δεινῶν, σὲ γινώσκω πάντων Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, ἐγκαυχωμένη βοῶ ἔλεγες ἐν ταῖς μάστιξι.

Θεοί τε κωφοί, καὶ οἱ ταῦτα σεβαζόμενοι, αἰσχυνθήσωσαν καὶ ἐκλιπέτωσαν, ἐμοὶ γὰρ δόξα ἐβόα: ὁ Σταυρὸς τοῦ Χριστοῦ.

Ἔφερες τοῦ σοῦ, γεννήτορος τὰς μάστιγας, διὰ Χριστὸν τὸν νυμφίον σου στερρῶς, Βαρβάρα μάρτυς γυναικῶν ἐγκαλλώπισμα.

**Θεοτοκίον**

Λαίλαψ ὁ δεινός, τῶν ἀμέτρων ἐγκλημάτων μου, ἐκταράττει με σφοδρῶς μῆτερ Θεοῦ, ἀλλ' αὐτὴ με προφθάσασα σῶσον οἴκτειρον.

**Ὠδὴ ς'.**

**Ἱλάσθητί μοι Σωτὴρ**

Νεᾶνις περικαλλής, ἐγένου μάρτυς ἀοίδιμε, λελαμπρυσμένη φαιδρῶς, Βαρβάρα πολύαθλε, μαρτυρίου αἵμασι, τοῖς διεκχυθεῖσιν, ἐκ τοῦ θείου σου σώματος.

Ὁ δοξολογῶν σε τρανῶς, λαὸς ὁ σὸς καλλιπάρθενε, τῷ θείῳ τούτῳ σου ναῷ, Βαρβάρα πολύαθλε, κινδύνων καὶ θλίψεων, σωθείημεν πάντες, μετὰ πίστεως βοῶμέν σοι.

Νεάζουσα ψαλμικῶς, Βαρβάρα μάρτυς πολύαθλε, παρέστηκας ἱματισμῷ, χρυσῷ τῷ νυμφίῳ σου, ὡς νύμφη διάχρυσος, ὡς νῦν ἐκδυσώπει, τοῦ σωθῆναι τοὺς τιμῶντάς σε.

**Θεοτοκίον**

Ἱλέωσαι τὸν Κριτήν, παρθενομῆτορ, πανύμνητε, τοῖς ἐπταικόσι πολλά, ἡμῖν καὶ ἐλπίζουσιν εἰς σὲ τὴν πανάχραντον, καὶ παντοίας βλάβης, Θεοτόκε ἐξελοῦ ἡμᾶς.

**Ὠδὴ ζ'.**

**Παῖδες ἑβραίων**

Βέλει τρωθεῖσα τοῦ νυμφίου, ἀπεμάκρυνας τῶν σῶν σεμνὴ συγγόνων, ἀσέβειαν δ' ὡς πῦρ ἐξέκλινας βοῶσα, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἅπας ὁ πόθος σου Βαρβάρα, ἀνατέταται πρὸς μόνον σὸν νυμφίον, δι' ἀγάπης αὐτῷ ἑνούμενος καὶ μέλπων, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ῥάβδοις συντρίβων σου τὸ σῶμα, ὁ ἀνήλεως τύραννος ὁ πατήρ σου, ἀθληφόρε Χριστοῦ οὐκ ἔκαμψε βοώσης, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Βάρη ὑπήνεγκας βασάνων, ἀνδρικώτατα Βαρβάρα ἀθληφόρε, δι' ἀγάπην τοῦ σοῦ, νυμφίου μελῳδοῦσα, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον**

Ῥεῖθρα δακρύων μοι παράσχου, ἀποπλύναι μου τὰ πλήθη τῶν πταισμάτων, ὦ Μῆτερ τοῦ Θεοῦ, Λόγου ἵνα ψάλλω, εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

**Ὠδὴ η'.**

**Τὸν Βασιλέα**

Ἀποβαλοῦσα, τὴν πατρικὴν ἀθεΐαν, ἐνυμφεύθης χαίρουσα τῷ Δεσπότῃ, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ῥοπάλοις σῶμα, τὸ σὸν καταικιζομένη, ἔχαιρες Βαρβάρα μελῳδοῦσα, σὲ Χριστὲ ὑμνῶ σε, εἰς πάντας τοὺς αἰῶνας.

Νέμω τὸ σέβας, τῇ τριαδικῇ μοναρχίᾳ, ἔκραζες Βαρβάρα μελῳδοῦσα, προσκυνῶ Πατέρα, Υἱὸν καὶ θεῖον Πνεῦμα.

**Θεοτοκίον**

Ὑπὸ τὴν σκέπην, σῆς βοηθείας καταφεύγω, Μῆτερ ἀπειρόγαμε ὑψίστου, καὶ ὑπερυψῶ σε, εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ'.**

**Κυρίως Θεοτόκον**

Ὑπέστης ὦ Βαρβάρα, ἔνδοξε τοὺς ἄθλους, τοὺς χαλεποὺς καὶ σὺν ἀγγέλοις ἀγάλλῃ σεμνή· ἣν ἐτησίως τιμῶντες ἀνευφημοῦμέν σε.

Δεδόξασαι Βαρβάρα, μάρτυς ἀθληφόρε, ἀξίως παρὰ τοῦ σοῦ νυμφίου Χριστοῦ, σὺν ἀσωμάτοις χορείας ὃν μεγαλύνομεν.

Ἐν πόθῳ τοὺς τελοῦντας, ἔνδοξε Βαρβάρα, τὴν μνήμην σεμνὴ τῆς σῆς θείας ἀθλήσεως, κινδύνων ῥῦσαι χαλεπῶν καὶ πάσης θλίψεως.

Ὦ μάρτυς ἀθληφόρε, ἔνδοξε Βαρβάρα, τῷ τοὺς ἐπαίνους σοι πλέξαντι δώρησαι, ἁμαρτημάτων τὴν λύσιν ὅπως δοξάζῃ σε.

**Θεοτοκίον**

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν μετασκευάζουσα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΕΤΕΡΟΣ ΚΑΝΩΝ

**ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΡΤΕΜΙΟΝ**

Οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις: Κυρίλλου.

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄.**

**Ὑγρὰν διοδεύσας**

Ἀρτέμιε μάρτυς μνήμην τὴν σήν, τιμῶντας ἐκ πόθου ἑορτάζοντας καὶ φαιδρῶς, διάσωζε κινδύνων καὶ γὰρ ἔχεις, ὡς μάρτυς δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Μεγίστης εὐκλείας τῶν ἐν τῇ γῇ, Ἀρτέμιε μάκαρ, ἠξιώθης τῷ ποιητῇ, φυλάττων τὴν πίστιν καὶ τὸ σέβας, ὑπὲρ οὗ καὶ τὸ αἷμα ἐξέχεας.

Χριστοῦ ὁ πιστότατος Βασιλεύς, μέγας Κωνσταντῖνος, καθορῶν σου τὸ εὐγενές, τῆς γνώμης αὐγουστάλλιον καὶ δοῦκα, χειροτονήσας σε μάκαρ ἀνέδειξε.

**Θεοτοκίον**

Κυρίαν καὶ Δέσποιναν ἀληθῶς, ἁγνὴν Θεοτόκον, οἱ σοὶ δοῦλοι περιχαρῶς, πιστεύομεν κηρύττοντες σὲ πάντες, ὦ Παναγία παρθένε ἀνύμφευτε.

**Ὠδὴ γ΄.**

**Σὺ εἶ τὸ στερέωμα**

Αἴγυπτός σε ἔχουσα, τὸ πάλαι μάρτυρ πατρίκιον, νῦν βοηθόν, σὺν τῇ οἰκουμένῃ, προσπλουτεῖ μάκαρ ἔνδοξε.

Ψυχὴν καὶ τὸ σῶμά σου, ἁγνὰ τηρήσας Ἀρτέμιε, παρὰ Θεοῦ, μάκαρ ἐδοξάσθης, τοῖς μεγάλοις χαρίσμασι.

Δυὰς ἀποστόλων σε, θεοκηρύκων Ἀρτέμιε, μεταγωγόν, ἔδειξε τοῖς πᾶσι, τῇ κελεύσει τοῦ ἄνακτος.

**Θεοτοκίον**

Ὕσον θείαν δρόσον μοι, τῷ ἐκτακέντι ταῖς θλίψεσι, μῆτερ Θεοῦ, τῶν ἁμαρτιῶν μου, δωρεῶν τῶν μεγίστων σου.

**Ὠδὴ δ΄.**

**Εἰσακήκοα Κύριε**

Παραβάτης ὁ δόλιος, φθόνῳ τὴν καρδίαν κατατηκόμενος, ἐν μυρίαις ταῖς αἰκίαις σε, ὑποβάλλει μάρτυς ὦ Ἀρτέμιε.

Αἱ πλευραί σου Ἀρτέμιε, ἔνδοξε τρισμάκαρ ἐδαπανήθησαν, ὁ δὲ πόθος πρὸς τὸν κτίστην σου, ἐνεδυναμοῦτο καὶ ἐνίσχυεν.

Ὥσπερ ἄλλου σὺ πάσχοντος, ἔφερες βουνεύροις καταξαινόμενος, καὶ τὰς σάρκας δαπανώμενος, ἡ γὰρ θεία χάρις σὲ ἐνίσχυεν.

**Θεοτοκίον**

Ῥόδον εἶ τὸ ἀμάραντον, Μῆτερ ἀπειρόγαμε ἡ βλαστήσασα, καὶ τὸ μῆλον τὸ πανεύοσμον, ὃ τὴν οἰκουμένην εὐωδίασεν.

**Ὠδὴ ε΄.**

**Φώτισον ἡμᾶς**

Ξάνατε δεινῶς, τὰς σάρκας μου καὶ παράδοτε, πυρὶ θηρίοις διὰ Χριστὸν τὸν Θεόν, τοῖς μιαιφόνοις ἔκραζες μάρτυς Ἀρτέμιε.

Ξοάνοις οὐδαμῶς, οὐ νεκροῖς εἰδώλοις θύομαι, ἀλλὰ Χριστῷ τῷ ζῶντι πάντων Θεῷ, εὐσεβῶς ὁλοκαυτοῦμαι, ἐβόας μάρτυς Ἀρτέμιε.

Ἔφερες στερρῶς, αἰκισμῶν τὴν πικρὰν κάκωσιν, γενναιοτάτῳ φρονήματι σοφέ, καὶ νῦν ἀγάλλῃ ἐν οὐρανοῖς, μάρτυς Ἀρτέμιε.

**Θεοτοκίον**

Ἵνα τοῦ βυθοῦ, τῆς κολάσεως λυτρώσητε, ὁ πλάστης πλάσμα φθαρὲν τὸ ἑαυτοῦ, λαμβάνει θέλων ἐκ σοῦ, Πάναγνε Δέσποινα.



**Ὠδὴ ς΄.**

**Ἱλάσθητί μοι Σωτὴρ**

Ἀνδρείῳ τῷ λογισμῷ, καὶ σταθερῷ τῷ φρονήματι, ὑπέμεινας ἀνδρικῶς, πλακὸς τὴν βαρύτητα, Ἀρτέμιε ἔνδοξε, τὸν Χριστὸν γὰρ εἶχες, δυναμοῦντά σε πολύαθλε.

Τὴν κεφαλὴν καὶ ὀστᾶ, καταθλασθέντα ἀήττητε, ἰδόντες οἱ ἀσεβεῖς, τὸν νοῦν δ' ἀπαράτρεπτον, οὐδόλως σε εἴξαντα, μέγας Ἀρτεμίου, ὁ Θεὸς συνανεβόησαν.

Τὸν μέγαν ἐν ἀθληταῖς, καὶ περιβόητον μάρτυρα, τὸν μέγαν θαυματουργόν, Ἀρτέμιον σήμερον, ᾠδαῖς εὐφημήσωμεν, ὡς πλουτοῦντες τοῦτον, βοηθὸν ἐν πάσαις θλίψεσι.

**Θεοτοκίον**

Λυχνίαν φωτοφανῆ, καὶ χρυσαυγίζουσαν Δέσποινα, ἐν μέσῳ τὸ θεαυγές, λαμπάδιον ἔχουσαν σὲ οἴδαμεν πάναγνε, καὶ ἀνευφημοῦμεν, οἱ πιστοὶ ὡς θεομήτορα.

**Ὠδὴ ζ΄.**

**Παῖδες ἑβραίων ἐν καμίνῳ**

Μέμνησο μάκαρ τῇ τριάδι, παριστάμενος ἡμῶν τῶν ἀνυμνούντων, καὶ μετὰ πόθου ψυχῆς, τῶν σὲ παρακαλούντων, Ἀρτέμιε πανένδοξε, τῶν μαρτύρων ὡραιότης.

Μέγας ὑπέρμαχος τῶν πίστει, ἀναδέδειξαι τῶν σὲ παρακαλούντων, μεγαλομάρτυς Χριστοῦ, Ἀρτέμιε τρισμάκαρ, τὰς ὀδύνας οὖν κούφισον, τῆς δεινῆς μου ἀσθενείας.

Δεῦτε ἀθλίως οἱ τῇ νόσῳ, βαρυνούμενοι τῇ δεινῇ καὶ ἀργαλέῃ, καὶ μετὰ πόθου ψυχῆς, προσπέσωμεν βοῶντες, ἀπάλλαξον Ἀρτέμιε, τῆς δεινῆς μου καχεξίας.

**Θεοτοκίον**

Λῦσον τὸ νέφος τῶν παθῶν μου, ὦ Κυρία μου βοήθεια καὶ σκέπη, καὶ τὴν λάμψιν τῆς σῆς, ἀντίδος μοι πρεσβείας, ὅπως κατίδω Πάναγνε, τὸ φῶς τὸ πρὸ αἰώνων.

**Ὠδὴ η΄.**

**Τὸν Βασιλέα**

Τὸν βασιλέα, τὸν δεινὸν καὶ ἀποστάτην καὶ τὰ τούτου φρυάγματα καθεῖλες, νευραῖς τῶν σῶν λόγων, Ἀρτέμιε τρισμάκαρ.

Τοῦ βασιλέως, τοῦ ἀληθοῦς ποιητοῦ μου, οὐδέν με ὅλως χωρίσει ἀνεβόας, Χριστοῦ τοῦ Θεοῦ μου Ἀρτέμιε τρισμάκαρ.

Τοῖς παρανόμοις, ἀνεβόας θαρσαλέως, γνῶτε πλάνοι τὸν Κύριον τῆς δόξης, Χριστὸν τὸν ζωοδότην καὶ τοῦτον προσκυνεῖτε.

**Θεοτοκίον**

Ὁ πάντα φέρων, καὶ συντηρῶν Θεοτόκε, σαῖς ἀγκάλαις ὡς βρέφος καθορᾶται, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄.**

**Κυρίως Θεοτόκον**

Ἀρτέμιε τρισμάκαρ, μάρτυς στεφανῖτα, ὡς τῷ Δεσπότῃ Χριστῷ παριστάμενος, ὑπὲρ τῶν σὲ ἀνυμνούντων μάκαρ προΐστασο.

Ἀρτέμιε τοὺς πίστει, ἐπικαλουμένους, σὲ τῆς δεινῆς ἀσθενείας μάρτυς ἐπίσκεψαι, ἡμᾶς καὶ ῥῦσαι Θεῷ ὡς παριστάμενος.

Ἀρτέμιε παράσχου, τὴν ᾠδὴν σοι ταύτην, ᾄδοντι μάκαρ καὶ πλέξαντι δέομαι, τῶν αἰτημάτων τὴν δόσιν ἵνα δοξάζω σε.

**Θεοτοκίον**

Ὑμνεῖν σε Θεοτόκε, δός μοι τὴν σὴν χάριν, ἀδιαλείπτως καὶ μέλπειν πανάμωμε, φωτίζουσα τὸν νοῦν μου καὶ μεγαλύνειν σε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἐκ τοῦ Κώδικος ω 111**

# ΑΚΟΛΟΥΘΙΑ

## Τοῦ Ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Δημητρίου τοῦ μυροβλήτου, καθὼς ψάλλεται ἐν τῇ μονῇ τῆς μεγίστης Λαύρας.

---

Εἰς τὸν μέγαν Ἑσπερινὸν στιχηρὰ προσόμοια.

**Ἦχος β'.**

**Ὅτε ἐκ τοῦ ξύλου**

Λάμπεις τῇ πατρίδι σου ἀεί, ἔνδοξε Δημήτριε μάρτυς, ὥσπερ ἀστὴρ φαεινός, σκέπεις γὰρ ἑκάστοτε, ταύτην ἐκ βλάβης ἐχθρῶν, καὶ λυτροῦσαι κακώσεως, καὶ ζάλης παντοίας, ὅθεν καὶ χαρμόσυνον ἄγει ἐτήσιον, μάκαρ ἑορτὴν ἐκτελοῦσα, πίστει τε καὶ πόθῳ ὑμνοῦσα, Κύριον τὸν σὲ ὑπερδοξάσαντα.

Μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ, θαύμασιν ἀστράπτεις τῷ κόσμῳ, οἷάπερ ἥλιος, ἅγιε Δημήτριε, διὸ τῇ μνήμῃ σου, εὐωχούμεθα ἅπαντες, τῶν σῶν τεραστίων, μάκαρ τὰ ἐξαίρετα πανηγυρίζοντες, πίστει παρρησίαν οὖν ἔχων, πρέσβευε πρὸς Κύριον σῶσαι, ἐκ φθορᾶς καὶ θλίψεως τοὺς δούλους σου.

Λόγχαις ἐκεντήθης τὴν πλευράν, διὰ τὸν νυγέντα Σωτῆρα, ἐν τῷ σταυρῷ τὴν πλευράν, τούτου γὰρ τὰ στίγματα πόθῳ ἐζήλωσας, ἀθλοφόρε Δημήτριε, δεικνύων τοῖς πᾶσι, τὸ ἀκαταγώνιστον τῆς καρτερίας σου· ὅθεν καὶ τρωθεὶς ὁ διώκτης, βέβληται λαβών σου τὴν πεῖραν, τῆς ὁμολογίας ἀθλητὰ τοῦ Χριστοῦ.

Ἕτερα στιχηρὰ

**Ποίοις εὐφημιῶν στέμμασιν**

Ποίοις οἱ γεγενεῖς χείλεσιν, ἀνυμνήσωμεν τὸν ἀθλοφόρον, καὶ σημειοφόρον Δημήτριον, τοῦ Χριστοῦ τὸ στόμα τὸ ἅγιον, τὸν φαιδρὸν Κυρίου στρατιώτην, ἀγάλλου Θεσσαλονίκης ἡ περίχωρος· εὐφραίνου τῶν Μακεδόνων ἡ μητρόπολις, μεγαλαυχοῦσα τῇ δόξῃ, τῶν πολλῶν θαυμάτων, τοῦ θερμοῦ προστάτου ἡμῶν, δι' οὗ πάσης θλίψεως, καὶ νόσων ἀπολυτρούμεθα.

Ποίοις οἱ γηγενεῖς ὄμμασι τὴν πανθαύμαστον τοῦ στεφηφόρου, παναγίαν λάρνακα βρύουσαν, τὸ εὐῶδες μῦρον κατίδωμεν, Δημητρίου τοῦ ὑπερενδόξου, πελάγη καὶ ποταμοὺς ἀποξηραίνουσαν, πταισμάτων καὶ νόσων βλάβην ἐκδιώκουσαν, δαιμονικῆς τυραννίδος, καὶ παντὸς κινδύνου, λυτρουμένην ἣν ὁ Χριστός, ἀξίως ἐδόξασεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Τίνα τὰ φοβερὰ ᾄσματα, ἃ συνῳδεις ἀγγέλοις Κυρίῳ, παρεστὼς παμμάκαρ Δημήτριε, ὅθεν ἐποπτεύεις τοὺς κάμνοντας, φυγαδεύεις νόσους καὶ τὰ πάθη, τὸ κλέος Θεσσαλονίκης καὶ τὸ καύχημα, ὁ στύλος τῆς Ἐκκλησίας ὁ ἀσάλευτος, ἡ παμφαὴς μυροθήκη, ὁ θερμὸς προστάτης, τῶν ἐν θλίψεσιν ἀναγκῶν, ποικίλων ἐξάρπασον, τοὺς πόθῳ ἀνευφημοῦντάς σε.

Σκέπη χριστιανῶν Δέσποινα, ἀειπάρθενε μήτηρ Κυρίου, πίστει δυσωπούμέν σε πρόστηθι, ῥῦσαι καὶ σεισμοῦ καὶ ἁλώσεως, καὶ πάσης ἀνάγκης τὴν σὴν ποίμνην, ἱλέωσαι τὸν υἱόν σου δὲ Παντάχραντε, δωρήσασθαι τοῖς ἱκέταις σου τὸν μάρτυρα, Δημήτριον εἰς αἰῶνας, μέγιστον προστάτην, ὅπως θείαις αὐτοῦ λιταῖς, λυτρούμεθα βλάβης, ἐναντίων καὶ πάσης θλίψεως.

Μετὰ τοὺς συνήθεις Κανόνας.

Ἕτερος Κανὼν

**Ἦχος α'.**

**Ἀναστάσεως ἡμέρα**

Ἀναστάσεως ἡμέρα Δημητρίου σφαγή, πίπτει καὶ γὰρ ἡ πλάνη, ἡ δ' Ἐκκλησία τοῦ Χριστοῦ, ἐξεγήγερται λαμπρῶς καὶ χαίρει χαρᾷ, ᾠδὴν χαριστήριον, τῷ Θεῷ ἀνακράζουσα.

Καθαρθῶμεν ῥύπον πάντα καὶ δραμώμεθα, ἔνδον λευχειμονοῦντες, τοῦ Δημητρίου τῇ σορῷ, ἐξαστράπτοντα αὐτὸν ὁρῶντες τρανῶς, ὡς ἂν ἀκουσώμεθα, πρὸς τοῦ μάρτυρος χαίρετε.

Οὐρανοὶ μὲν διηγοῦνται ὄντως δόξαν Θεοῦ, ἣν τοὺς πιστοὺς δοξάζει, ποίησιν δ' αὖθις τῶν χειρῶν, Θεοῦ ποίημα τὸ πᾶν, Δημήτριος διδάσκει, διὰ τοῦτο γεραίρεται.

**ᾨδὴ γ'.**

**Δεῦτε πόμα**

Δεῦτε πόμα πίωμεν καινόν, ἐκ πλευρᾶς Δημητρίου τὸ προχεόμενον, καὶ τῆς ὀσμῆς τῆς αὐτοῦ, γευσώμεθα μῦρον δαψιλῶς, ἐν ᾧ στερεούμεθα.

Νῦν πᾶσα πεπλήρωται χαρᾶς, ἡ Χριστοῦ Ἐκκλησία μνήμῃ τοῦ μάρτυρος, Θεσσαλονίκη δὲ κροτεῖ, καὶ μᾶλλον τῆς μύροις τοῖς αὐτοῦ, ἐν οἷς ἐστερέωται.

Χθὲς συνεσταυροῦτο τῷ Χριστῷ, τῇ ἀθλήσει τῇ θείᾳ ὁ μέγας Δημήτριος, καὶ συνδοξάζεται νῦν, λαμπρῶς στεφανούμενος Θεῷ, ἐν ᾧ ἐστερέωται.

**ᾨδὴ δ'.**

**Ἐπὶ τῆς θείας φυλακῆς**

Ἐπὶ τῆς θείας φυλακῆς, τοῦ Δημητρίου τῆς σοροῦ, στῶμεν εὐλαβῶς καθορῶντες, φαεσφόρον σήμερον τὸν ἀθλοφόρον κράζοντα, δράμετε νοητῆς εὐφροσύνης, καὶ ὕδωρ ὡς ἐκ πηγῆς, μῦρον ἀντλήσατε.

Ὡς ἐνιαύσιος ἀμνὸς ὁ μυρορρόας τῷ Χριστῷ, τέθυται σφαγῇ ἑκουσίῳ, τοῦ ποιεῖν γὰρ ἔσπευδε τὸ τοῦ Χριστοῦ ποτήριον, πίνει οὖν καὶ πηγὴν τὴν τῶν μύρων, πιστοὺς ποτίζει διὸ καὶ μεγαλύνεται.

Ἄρσεν μὲν τὸ εἰς θυσίαν προσαγόμενόν ποτε, ἦν ὑποδηλοῦν τὸ γενναῖον, ἀρετῶν καὶ γόνιμον τῶν προσαγόντων οὕτω γάρ, βούλεται Θεὸς ἔχειν τοὺς πάντας, ὅρα μοι ταῦτα λοιπὸν τῷ θείῳ μάρτυρι.

**ᾨδὴ ε'.**

**Ὀρθρίσωμεν ὄρθρου**

Ὀρθρίσωμεν ὄρθρου βαθέως, καὶ σὺν ὕμνοις μύροις νῦν προσέλθωμεν Δημητρίου, καὶ αὐτὸν ὀψόμεθα, ὡς ἐκ παστοῦ ἀνίσχοντα, ἥλιον πάντας φωτίζοντα.

Τὴν ἄμετρόν σου καρτερίαν, Χριστοῦ ὁπλῖτα σοφὲ καὶ ἄγγελοι βλέποντες, ἰδοὺ σῶμα ἐκπλαγῶς ἀνέκραξον, ἀδάμαντος στερρότερον πνεῦμα χειρῶν Θεοῦ δ' ἄξιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῇ μυροθήκῃ Δημητρίου μάρτυρος καὶ λαμπάδας, τὰς ἔνδον κοσμήσωμεν, τὸ μῦρον ὡσεὶ ἔλαιον, ψυχῆς ἀγγείοις λαμβάνοντες.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

**᾿Ωδὴ ϛ΄. Κατῆλθες**

Φυλάξας τὰ σήμαντρα σῶα σοφέ, ὡραιότητος πρώτης εἰς καιρὸν ζωῆς ξύλου, λαμπρῶς τετύχηκας τὸν ἁρμόζοντα, καὶ τρυγᾷς ἐν τῇ Ἐδέμ, ἀγαθῶν παγκαρπίαν.

Σωτήρ μου καὶ ῥύστης ἐβόας Χριστός, ἐξ ἐχθρῶν μου ὀργίλων τῶν ἀθέων, εἰδώλων καταμωκώμενος, καὶ λελόγχευσαι, διὰ τοῦτο τὴν πλευράν, ἀθλητὰ γενναιόφρον.

Κοντάκιον. **Τῇ ὑπερμάχῳ**

Τῷ ὑπερμάχῳ στρατηγῷ καὶ ἀντιλήπτορι, εὐχαριστήριον ᾠδὴν καὶ ἱκετήριον, νῦν προσφέρω σοι ἡ πόλις σου ἀθλοφόρε, ἀλλ᾿ ὡς ἔχων ἐκ Θεοῦ ἰσχὺν ἀήττητον, ἐκ παντοίων πειρασμῶν με ἐλευθέρωσον, ἵνα κράζω σοι χαίροις μάρτυς Δημήτριε.

**῾Ο οἶκος**

Ἄλλος ἥλιος ὤφθης, οὐρανόθεν ἐκπέμπων, αὐγὰς τὰς τῶν θαυμάτων τῷ κόσμῳ, καὶ σὺν τοῖς ἀσωμάτων χοροῖς, παριστάμενος τῷ θρόνῳ τῆς χάριτος, ἱλέωσαι τὸν εὔσπλαγχνον, τοῖς κράζουσι πρὸς σὲ ταῦτα.

Χαῖρε, δι᾿ οὗ ὁ Θεὸς ἐδοξάσθη· χαῖρε, δι᾿ οὗ ὁ Χριστὸς ἐκηρύχθη.

Χαῖρε, τῶν πιπτόντων βροτῶν ἡ ἀνόρθωσις· χαῖρε, προκοπτόντων ἀνδρῶν ἡ βεβαίωσις.

Χαῖρε, κάλλος ἐνθεώτατον ταῖς ἐνθέοις ἀρεταῖς· χαῖρε, στόμα χρυσαυγέστατον τῆς σοφίας τοῦ Θεοῦ.

Χαῖρε, ὅτι ὑπάρχεις τοῦ Δεσπότου θεράπων· χαῖρε, ὅτι φυλάττεις τὴν σὴν πόλιν ἑδραίαν.

Χαῖρε, ἀστὴρ τοῦ σκότους ἀντίθετε· χαῖρε, φωστὴρ ἁπάσης τῆς κτίσεως.

Χαῖρε, δι᾿ οὗ καταργεῖται ἡ πλάνη· χαῖρε, δι᾿ οὗ ἐνεργεῖται ἡ πίστις.

Χαῖρε μάρτυς Δημήτριε.

**᾿Ωδὴ ζ΄.**

**῾Ο παῖδας ἐκ καμίνου**

Γυναῖκες εὐσεβεῖς νῦν διδάχθητε, παρθενίας χάριτας, ἴδε ὁ κλεινός, Χριστοῦ ὁπλίτης, τὰ μῦρα τῆς καθάρσεως δείκνυσι, μέγαν καρπὸν ἃ βλύζει παρθενικῶν ἐξ αἱμάτων, ὑμνῶν τὸν τῶν πατέρων Θεόν.

Ὡς ὄντως ἱερὰ ὦ Δημήτριε, σφαγή σοι πλευρόνυκτος, ῥύγνησι πλευρᾶς, τὸ ἐπισκέπον σαρκίον, καὶ γυμνὴν τῷ Χριστῷ δεικνὺς ἔκραζες, οὐ κέκρυπται ἀπὸ σοῦ, τὸ ὀστοῦν μου κρυφῇ, ὅπερ εἰργάσω Χριστέ.

Θανάτῳ ἀντηλλάξω Δημήτριε, ζωὴν τὴν αἰώνιον, σπείρεις οὐ σαρκί, ἀλλὰ γὰρ πνεύματι διό, καὶ θερίζεις ἐκ τούτων τὰ μόνιμα, τὸν μόνον εὐλογητὸν μεγαλύνων, Θεὸν τὸν ὑπερένδοξον.

**᾿Ωδὴ η΄.**

**Αὕτη ἡ κλητὴ**

Δεῦτε τοῦ καινοῦ ἀνεβόας Δημήτριε, ἄρτου σαρκὸς τοῦ Λόγου, κατατρυφήσωμεν πάντες, καὶ τοῦ αἵματος, ζωηφόρου εὐλαβῶς κοινωνήσωμεν, λογχεύῃ διό, τὴν πλευρὰν καὶ μῦρα βλύζεις.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου φαιδρῶς καὶ ἴδε, πόλις Θεσσαλονίκη λαοὶ ἐκ γῆς μακρόθεν, ἐκ δυσμῶν καὶ βορρᾶ, καὶ θαλάσσης καὶ ἑῴας νῦν ἥκασι, ἐν σοὶ προσκυνῆσαι, Δημήτριον τὸν μέγαν.

Πάτερ παντοκράτορ καὶ Λόγε καὶ Πνεῦμα, μοναρχικὴ οὐσία σὺ εἶ Θεός μου καὶ δόξα, ἀνεκραύγαξεν ὁ Δημήτριος διὸ καὶ λελόγχευται, καὶ νῦν τὴν Τριάδα δοξάζει μετ᾿ ἀγγέλων.



**᾿Ωδὴ θ΄. Φωτίζου**

Ὢ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς, τοῦ Χριστοῦ ἀθλοφόρε, ἐπηγγείλω ἔσεσθαι, καὶ ἐν κινδύνων καιρῷ μεθ᾿ ἡμῶν, ἣν σὸς λαὸς ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ πάσχα τὸ θεῖον, ἡμῶν Δημήτριε σοφέ, διὰ σοῦ πάσης βλάβης, ἐξ Αἰγύπτου ἄντικρυς, βαίνομεν πᾶσα ἡ πόλις σου, ἣν ὁδηγῶν τῇ ἐπηγγελμένῃ, τρυφῇ εἰσάγοις πρεσβείαις σου.

Ἐξαποστειλάριον

**Φῶς ἀναλλοίωτον Λόγε**

Ἐν τῷ σταυρῷ καθοπλίσας, τὸν Νέστορα δι᾿ ἐκείνου, Λυαίου ἔλυσας θράσος, Δημήτριε ἐν σταδίῳ, ὡς ὁ Χριστὸς δὲ ἐνύγης λόγχῃ πλευράν σου, ἐν ᾧ τὴν ποίμνην σου φρουρεῖ.

**Τοῦ σεισμοῦ**

Κύριε ὁ ἐπιβλέπων, ἐπὶ τὴν γῆν οὐρανόθεν, καὶ ποιῶν ἅπασαν τρέμειν, ῥῦσαι ἡμᾶς ἀπὸ σεισμοῦ, τῆς Θεοτόκου πρεσβείαις ἣν ἐδωρήσω, Χριστιανοῖς προστασίαν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

**Ἦχος δ΄.**

**῾Ως γενναῖον ἐν μάρτυσι**

Λογχευθεὶς τὸν πολέμιον, σοῦ ταῖς λόγχαις κατέτρωσας, καὶ νεκρὸν ἐτέλεσας ἀνενέργητον, οὗ τῆς κακίας Δημήτριε, ἡμᾶς ἀπολύτρωσαι, ἰσχυροὺς κατὰ παθῶν, τυραννούντων ἑκάστοτε ἐργαζόμενος, ἱεραῖς σου πρεσβείαις θείῳ φόβῳ, κατανύσσων τὰς καρδίας, καὶ τὰς ψυχὰς ἡμῶν ἅγιε.

Ποταμόν σε πληρούμενον, τῶν ναμάτων τοῦ πνεύματος, ἐπιγνόντες ἅγιε ἱκετεύομεν, τὰς ἐκταθείσας ψυχὰς ἡμῶν, παθῶν παραβάσεσι, συμπαθείᾳ σου πολλῇ, ἱερῶς καταδρόσισον καὶ ἀπόπλυνον, ἐνυπάρχοντος ῥύπου καὶ μυρίων ἀπολύτρωσαι κινδύνων, καὶ αἰωνίου κολάσεως.

Ὡς ἀστὴρ φαεινότατος, ἐπὶ γῆς ἀναδέδειξαι, τῶν θαυμάτων λάμψεσι τὴν ὑφήλιον, καταλαμπρύνεις ἑκάστοτε, Δημήτριε ἔνδοξε, τῆς ἀχλύος σκοτασμόν, ἐκδιώκεις πρεσβείαις σου, τῶν ψυχῶν ἡμῶν, καὶ τὰς νόσους ἰᾶσαι τῶν ἐκ πόθου, ἐκτελούντων σου τὴν μνήμην, κλέος μαρτύρων καὶ καύχημα.

1770 Νοεμβρίου ε΄. ἐν ἁγίᾳ Λαύρᾳ.

Κύριλλος ἱερομόναχος Κορωναῖος, βικάριος.

---

ΤΟ ΔΙΗΓΗΜΑ ΜΑΣ

## Η ΡΟΖΑ ΤΟΥ ΤΑΝΝΑΝΒΟΥΡΓΟΥ

### ΚΕΦΑΛΑΙΟΝ Β΄.

### Η ΡΟΖΑ ΜΕΝΟΥΣΑ ΟΡΦΑΝΗ ΜΗΤΡΟΣ

Διατί ἡ καλὴ Ῥόζα δὲν ἠδυνήθη νὰ ἐπιχαίρῃ ἐπὶ πλείονα ἔτι χρόνον εἰς τὴν εὐτυχίαν τοῦ νὰ ἔχῃ μητέρα τόσον τελείαν. Μόλις εἶχε λήξει τὸ δέκατον τέταρτον ἔτος τῆς ἡλικίας της, αἴφνης ἡ Ματθίλδη προσεβλήθη ὑπὸ ὀξείας ἀσθενείας· ᾐσθάνθη τὸν ἀπειλοῦντα αὐτὴν κίνδυνον, καὶ δὲν ἔκρυψε τοῦτον ἀπὸ τὴν θυγατέρα της. Τοῦ ἱππότου Ἐδελβέρτου διατελοῦντος εἰς τὴν ἐξοχήν, ἡ Ματθίλδη εἶπεν εἰς Ῥόζαν· «προσφιλὲς τέκνον μου, τὴν αὐτὴν ταύτην στιγμὴν διά τινος τῶν ὑπηρετῶν μας ἱππέων εἰδοποιηθήτω ὁ πατήρ σου. Ἐπιθυμῶ νὰ τὸν ἴδω ἀκόμη πρὶν ἀποθάνω. Μετὰ ταῦτα προσκάλεσον



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν εὐσεβέστατον ἀρχιεπίσκοπον Νορβέρτον, τοῦτον τὸν βαπτίσαντά με, τοῦτον τὸν εὐλογήσαντα τὸν γάμον μου, ὅτε εἰσῆλθον εἰς τὸν κόσμον, καὶ τὸν διὰ τῶν ἱερῶν παραδόσεών του ἀφιερώσαντά με εἰς τὸν Θεόν, ἵν' οὗτός μοι προσφέρῃ τὴν βοήθειάν του κατὰ τὴν στιγμὴν τῆς ἀποχωρήσεως τῆς ψυχῆς ἀπὸ τοῦ σώματός μου. Οὗτος ὁ ἐνάρετος ἀρχιερεὺς θέλει μὲ ὁδηγήσει εἰρηνικῶς εἰς τὴν αἰώνιον ζωὴν παρὰ τῷ Πλάστῃ καὶ λυτρωτῇ μου. Βεβαίως ἤθελεν εἶσθαι πολὺ ἀργά, ἐξηκολούθει ὁμιλοῦσα πρὸς τὴν Ῥόζαν, ἐὰν περιέμενον ἕως τώρα ἵνα προετοιμασθῶ διὰ τὸν θάνατον. Ὅλη ἡ ἐπίγειος ἡμῶν ὕπαρξις ἀπαιτεῖ τὴν καθολικὴν προετοιμασίαν τῆς ἐν τοῖς δικαίοις κατατάξεως τῆς ψυχῆς ἡμῶν, καὶ διὰ τὸν σκοπὸν τοῦτον τυγχάνομεν ἐδῶ κάτω εἰς τὴν γῆν. Ἐν τούτοις ὁ ἄνθρωπος ἀφιερούμενος καὶ κατὰ τὰς τελευταίας αὐτοῦ στιγμὰς εἰς τὸ ἔλεος τοῦ πολυελέου καὶ φιλανθρώπου Θεοῦ, εὐελπίζεται πολὺ περισσότερον εἰς τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ ἐπικαλούμενος τὴν μακροθυμίαν Αὐτοῦ διὰ τὰ μικρότερα ἀκούσια ἢ καὶ ἑκούσια ἁμαρτήματα, τὰ ὁποῖα ἐν τῷ βίῳ του ἔπραξε, προσδοκᾷ τὴν συγχώρησιν αὐτῶν παρὰ τοῦ ἀδεκάστου Θεοῦ, ὡς τοῦτο διδάσκει καὶ παραδίδει ἡ τοῦ Ἰησοῦ Χριστοῦ ἁγία Ἐκκλησία». Ὁ εὐσεβὴς ἀρχιερεύς, γέρων καλὸς καὶ εὐπροσήγορος, δὲν ἤργησε νὰ παρουσιασθῇ εἰς τὴν αἰφνίδιον ταύτην πρόσκλησιν. Ἡ Ματθίλδη συνδιελέχθη μετ' αὐτοῦ μόνη ἐπί τινας ὥρας, καὶ ἔλαβεν ἀπὸ τὰς χεῖράς του τὴν ἁγίαν Κοινωνίαν. Ἡ μετ' αὐτὴν ζέσις τῆς συναισθήσεώς της συνεκίνησε τὴν καρδίαν τῆς ἀγαθῆς Ῥόζας καὶ κατεπράϋνεν ὀλίγον τὴν λύπην της. Ὁ σεβάσμιος ἀρχιερεὺς δεόμενος τοῦ Ὑψίστου Θεοῦ συγκινητικῶς ὑπὲρ τῆς ἀσθενοῦς, ὡμίλει καὶ περὶ τῆς ὑπάρξεως τῆς ἀληθοῦς μελλούσης ζωῆς μετὰ τοσαύτης πεποιθήσεως καὶ σταθερότητος, ὥστε ἡ Ῥόζα ἐπεθύμει μετὰ ζέσεως ἵν' ἀποθάνῃ μετὰ τῆς μητρός της.

Κατακυριευμένη ὑπὸ ἀγάπης, εὐσεβείας καὶ συμπαθείας, ἡ ἀξιαγάπητος αὕτη κόρη, δὲν ἐγκατέλειπε τὴν κλίνην τῆς κινδυνευούσης μητρός της. Μετά τινας ἡμέρας ὁ Ἐδελβέρτης ἔφθασε κατεσπευσμένως καὶ νύκτωρ. Ἡ Ῥόζα ἔδραμεν ἔμπροσθεν αὐτοῦ, καὶ προφθάσασα εἰς τὸ κατώφλιον τῆς οἰκίας ἐβυθίσθη εἰς δάκρυα πρὸς τὴν ἐμφάνισιν τοῦ ἀγαπητοῦ πατρός της. Ὁ ἱππότης βαθέως συγκεκινημένος, ἐπλησίασεν εἰς τὸ προσκεφάλαιον τῆς ἀσθενοῦς· ἔφριξε θεασάμενος τὸ ὠχρὸν πρόσωπον καὶ τὰ ἠλλοιωμένα χαρακτηριστικὰ τῆς ἀξίας αὐτοῦ συζύγου. Δάκρυα κατέρρευσαν πρὸς ἀνακούφισιν τῆς καταβεβαρυμένης καρδίας του. Εἰς τὴν ἀπέναντι πλευρὰν τῆς κλίνης τῆς πασχούσης μητρός της ἱσταμένη ἡ Ῥόζα, δὲν ἠδύνατο νὰ κρατήσῃ τοὺς λυγμούς της. Μὲ τὸ μειδίαμα τῆς τρυφερωτέρας συγκινήσεως ἡ ψυχορραγοῦσα, τείνασα, τὴν μὲν μίαν χεῖρά της εἰς τὸν εὐγενῆ αὐτῆς σύζυγον, τὴν δ' ἄλλην εἰς τὴν προσφιλῆ θυγατέρα της, «φίλτατε Ἐδελβέρτα, καλή μου Ῥόζα, εἶπε μὲ φωνὴν τρέμουσαν, ἡ ὥρα τοῦ θανάτου μου ἦλθεν, οἱ ὀφθαλμοί μου δὲν θέλουσιν ἴδει πλέον τὸ φῶς τοῦ ἡλίου. Ἀλλὰ μὴ κλαίετε. Ἀνέρχομαι ἤδη ἐκεῖ ἐπάνω (εἰς τὸν οὐρανὸν) εἰς τὴν αἰώνιον κατοικίαν τοῦ οὐρανίου ἡμῶν πατρός, ἔνθα ἀναμένει τὸ ἀληθὲς μέλλον τὸν ἄνθρωπον, καὶ ἔνθα εἶσιν αἱ αἰώνιοι κατοικίαι. Δέχθητε τὰς εὐλογίας μου· οὐδὲν ἄλλο πράττω ἢ ν' ἀπέλθω εἰς τὴν ἀληθῆ, τὴν αἰώνιον κατοικίαν μου. Μὴ νομίζητε ὅτι ἀποχωρίζομαι ἀπὸ σᾶς· πάραυτα θὰ ἐπανίδῃ ὁ εἷς τὸν ἄλλον, καὶ τίποτε τότε δὲν θέλει δυνηθῇ νὰ μᾶς χωρίσῃ». Τὰ λόγια



ταῦτα εἰποῦσα ἐσιώπησεν ἐπὶ μικρόν, διότι ἡ ἀδυναμία της δὲν τῇ ἐπέτρεπε νὰ ἐξακολουθήσῃ.

(Ἀκολουθεῖ)

## ΔΗΛΩΣΙΣ

Ἡ Διεύθυνσις τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» δέχεται συνεργασίαν ἀπὸ πάντα ἐπιστήμονα ἢ διανοούμενον, ἀποστέλλοντα εἰς αὐτὴν ὕλην ἱστορικήν, ἔχουσαν σχέσιν πάντοτε μὲ τὸ ἅγιον Ὄρος. Ὡσαύτως ὕλην ἐπαγωγὸν καὶ χρήσιμον διὰ τὴν σωτηρίαν τῆς ψυχῆς.

Διεύθυνσις: Σωτήριον Σχοινᾶν. Βόλον.

**Διὰ τὰς ἐν ἁπάσῃ τῇ ἐπικρατείᾳ ἱερὰς Μονὰς καὶ λοιπὰ εὐαγῆ καθιδρύματα.**

Δηλοῦμεν ὅτι αἱ ἱεραὶ Μοναὶ καὶ τὰ λοιπὰ Ἐκκλησιαστικὰ καθιδρύματα, τὰ ἔχοντα Ἀκολουθίας ἁγίων, προστατῶν αὐτῶν ἢ πολιούχων, ἢ ἄλλως πως ἐκκλησιαστικὴν ὕλην πρὸς ἔκδοσιν εἰς βιβλία μικρὰ ἢ μεγάλα, δύνανται μὲ μικροτέραν ἀμοιβὴν νὰ δημοσιεύωνται. Αἱ μὲν Ἀκολουθίαι ἁγίων ὁλόκληροι εἰς τὸ περιοδικόν μας καθὼς καὶ μικραὶ ἐκκλησιαστικαὶ διατριβαί, ἡ δὲ λοιπὴ ὕλη, ἡ δυναμένη νὰ τυπωθῇ εἰς βιβλιάριον, ἀναλαμβάνομεν τὴν ἐκτύπωσιν αὐτοῦ μὲ μικρὰν τιμήν. Εἰς τοὺς οἰκονομικῶς ἀδυνάτους παρέχομεν εὐκολίαν πληρωμῆς.

**Ἡ Διεύθυνσις**

**Διαδόσατε τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην»**

## ΕΥΧΑΡΙΣΤΗΡΙΟΝ

Πρὸς τὴν ἱερὰν Μονὴν **Φιλοθέου** ἐν Ἁγίῳ Ὄρει.

**Ἡ ἱερὰ Μονὴ Φιλοθέου, κατανοήσασα πλήρως τὸν ὑψηλὸν σκοπόν, τὸν ἐπιδιωκόμενον ὑπὸ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης», ἀπέστειλεν ἡμῖν δραχμὰς ὀκτακοσίας (800) ὡς συνδρομὴν τῶν ἐγγραφέντων ὡς συνδρομητῶν ἀπόρων μοναχῶν τῆς Μονῆς.**

**Μὴ ἔχουσα πρὸς τοῦτο οὐδεμίαν ὑποχρέωσιν ἀπέναντι ἡμῶν, θεωροῦμεν τὴν πρᾶξίν της ταύτην ὡς λίαν ἐπαινετήν, ἂν μή τι ἀνώτερον, τὰ δὲ χρήματα ἐδέχθημεν ὡς δωρεὰν διὰ τὴν ἐνίσχυσιν τοῦ περιοδικοῦ, διὸ τὴν εὐχαριστοῦμεν θερμῶς.**

**Ἡ διεύθυνσις**

## ΕΙΔΟΠΟΙΗΣΙΣ

**Ἡ ἔκδοσις τοῦ μοναδικοῦ Πατερικοῦ βιβλίου τοῦ Σιναΐτου Ἰωάννου, ἡ «Νέα Κλίμαξ», σὺν Θεῷ ἤρχισε.**

**Ὅθεν παρακαλοῦνται οἱ κ. κ. συνδρομηταὶ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης», οἱ λαβόντες ἀγγελίας εἰς τὸ προηγούμενον τεῦχος, ὅπως ἐγγραφῶσι συνδρομηταὶ καὶ ἐπιστρέψωσι ταύτας, διὰ τὴν ἀποστολὴν τῶν τευχῶν.**

Οἱ ἀποστείλαντες ἐσχάτως τὰς συνδρομάς των.

**α΄. Ἔτους**

Ἱ. Ναὸς Ἁγ. Κωνσταντίνου, Βελεστῖνον

Ἱ. Μονὴ Ἀρκαδίου, Κρήτη

**β΄. Ἔτους**

Σπυρίδων Σωτηρίου ἱεροψάλτης Ζεμενὸν

Εὐχαριστοῦμεν

Athos Library Αγιορειτική Βιβλιοθήκη

## ΠΑΡΑΚΛΗΣΙΣ

Παρακαλοῦνται καὶ αὖθις οἱ κ. κ. συνδρομηταί, ὅπως ἀποστείλωσιν ἡμῖν τὴν συνδρομήν των τοῦ πρώτου ἔτους ἐκ δραχμῶν 120. Μᾶς καθυστεροῦνται πλέον τῶν 3)4 τῶν συνδρομῶν, ὥστε εὐκόλως δύναταί τις νὰ ἐννοήσῃ ὅτι δυσχεραίνεται πολὺ τὸ ἔργον τῆς ἐκδόσεως.

Εἶναι ἀληθὲς ὅτι οἱ κ. κ. συνδρομηταὶ φαντάζονται ὅτι θὰ σταλῇ ἀντιπρόσωπος ἡμῶν πρὸς εἴσπραξιν τῶν συνδρομῶν των, ὅπως γίνεται σχεδὸν εἰς ὅλα τὰ περιοδικά. Δυστυχῶς ὅμως δι' ἡμᾶς δὲν εἶναι εὔκολον τοῦτο, διότι ἡ διάδοσις τούτου εἶναι ἀκόμη πολὺ μικρά, σχεδὸν εἰς τὰ σπάργανα, ὥστε νὰ μὴ δυνάμεθα νὰ πέμψωμεν τοιοῦτον ἀντιπρόσωπον. Πλὴν αὐτῶν, κινούμεθα ἀπὸ τὸν ζῆλον τοῦ νὰ φέρωμεν εἰς φῶς τοὺς θησαυροὺς τοῦ ἁγίου Ὄρους, χωρὶς νὰ ἔχωμεν οὐδεμίαν χρηματικὴν ἐπιχορήγησιν ἀπὸ οὐδένα, ἀλλὰ περιμένομεν πρωτίστως ἀπὸ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἀπὸ τὴν συνδρομὴν τῶν ὀλίγων συνδρομητῶν, οἵτινες, ἐὰν ἀρνηθοῦν νὰ μᾶς πληρώσουν, θὰ φέρουν ὅλην τὴν εὐθύνην ἀπέναντι τοῦ Θεοῦ, ἀφ' ἑνὸς μὲν διὰ τὴν ζημίαν ἡμῶν, ἀφ' ἑτέρου δὲ διὰ τὴν διακοπὴν τῆς ἐκδόσεως.

Περιμένομεν λοιπὸν ἀπὸ ὑμᾶς, ὄχι μόνον τὴν ἀποστολὴν τῆς συνδρομῆς σας, ἀλλὰ καὶ πᾶσαν τὴν δυνατὴν ἐνίσχυσιν διὰ τὴν ἀπρόσκοπτον ἔκδοσιν τοῦ περιοδικοῦ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης».

Τὴν ἄνω παράκλησιν ἀπευθύνομεν ἀκόμη καὶ εἰς τοὺς ἁγιορείτας Πατέρας, εἰς ὅσους καθυστεροῦν εἰσέτι τὰς συνδρομάς των, ὅπως τὰς ἀποστείλουν.

**Ἡ Διεύθυνσις**

## ΥΠΟΜΝΗΣΙΣ

**Ὑπομιμνήσκομεν εἰς τοὺς Σεβαστοὺς Πατέρας τοῦ Ἁγίου Ὄρους, τοὺς καθυστεροῦντας τὴν συνδρομὴν αὐτῶν τοῦ α'. ἔτους ἐκ δραχμῶν 120, τὰ διπλότυπα τῶν ὁποίων ἀφίσαμεν ἐκεῖ κατόπιν τῆς διαβεβαιώσεως αὐτῶν ὅτι θὰ τὰς στείλουν, ἵνα ἀποστείλωσιν αὐτάς, καθόσον οὕτω παρακωλύουσι τὸ ἔργον τῆς ἐκδόσεως τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης».**

**Ὡσαύτως ὅταν ἐπιστρέφουν τεύχη, νὰ προσέχουν νὰ μὴ χάνεται ἡ ταινία· ἐν ἐναντίᾳ περιπτώσει νὰ γράφωσιν ἐπὶ τοῦ ἐξωφύλλου τὴν διεύθυνσίν των. Οὕτω καταστρεφομένης τῆς ταινίας καὶ μὴ ὑπαρχούσης ἄλλης διευθύνσεως ἐπὶ τοῦ φύλλου, δὲν γνωρίζομεν πόθεν μᾶς ἐπιστρέφονται.**

**Ἐπιστρεφόμενα τεύχη δὲν λαμβάνονται ὑπ' ὄψιν ἂν δὲν ἔχουν ἔγγραφον δήλωσιν τοῦ συνδρομητοῦ.**

**Ἡ διεύθυνσις**

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ"
ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ
ΕΤΟΣ Β.' ΑΡΙΘ. 21
ΙΔΡΥΤΗΣ: ΣΠΥΡΙΔΩΝ (ΑΘΑΝΑΣΙΟΣ) ΛΑΥΡΙΩΤΗΣ ΜΟΝΑΧΟΣ - ΙΑΤΡΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
## ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΑΓΙΟΥΣ ΠΑΤΕΡΑΣ ΤΟΥΣ ΕΝ ΤΗι ΕΠΤΑΝΝΗΣΩι

κατ' ἐξαίρετον τρόπον ἑορταζομένους ἤτοι

τὸν ἐν Κερκύρᾳ μέγαν

# ΣΠΥΡΙΔΩΝΑ

τὸν ἐν Ζακύνθῳ μέγαν

# ΔΙΟΝΥΣΙΟΝ

καὶ τὸν ἐν Κεφαλληνίᾳ μέγαν

# ΓΕΡΑΣΙΜΟΝ

Εἰλημμένη ἐκ τῆς βιβλιοθήκης τῆς ἐν Ἄθῳ Ἱερᾶς Μονῆς τοῦ Ἁγίου Παύλου τοῦ Βασιλογόνου.

Μετὰ ὑπομνήματος περὶ τῶν ὑπὸ τῶν μάγων προσφερθέντων πρὸς τὸν Ἰησοῦν Χριστὸν τιμίων δώρων, χρυσὸν καὶ λίβανον καὶ σμύρναν.

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΙΔΙΟΚΤΗΤΗΣ
ΣΩΤΗΡΙΟΣ Ν. ΣΧΟΙΝΑΣ

ΜΑΪΟΣ 1938

1938
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ - ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀφιεροῦται

Εἰς τὴν ἱερὰν καὶ σεβασμίαν Μονὴν

ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ ΤΟΥ ΒΑΣΙΛΟΓΟΝΟΥ

ἐν ἁγίῳ Ὄρει

ΩΣ

Καὶ εἰς τοὺς νῦν Σεβασμιωτάτους Μητροπολίτας τῆς Ἑπταννήσου.

Κερκύρας καὶ Παξῶν

κ. ΑΛΕΞΑΝΔΡΟΝ

Ζακύνθου

κ. ΧΡΥΣΟΣΤΟΜΟΝ

Κεφαλληνίας

κ. ΓΕΡΜΑΝΟΝ

Ο ΕΚΔΟΤΗΣ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἀκολουθία τῶν τριῶν ἁγίων Γερασίμου, Σπυρίδωνος καὶ Διονυσίου τῶν Ἑπταννήσων, κοινῶς ἑορταζομένων.**

Οὗτοι μὲν οὖν ἑορτάζονται κοινῶς δὶς τοῦ ἐνιαυτοῦ, ἰδιαιτέρως ἕκαστος εἰς τὴν ἰδίαν αὐτοῦ μνήμην, οἱ δὲ φιλοπάτριδες Ἑπταννήσιοι καὶ ἐν μιᾷ ἡμέρᾳ τοὺς τρεῖς ὁμοῦ χρέος ἔχουσιν ἑορτάζειν, ὡς προστάτας καὶ εὐεργέτας αὐτῶν, οἱ αὐτοὶ ὑπάρχοντες.

Ἀκόλουθον δὲ ὅτι ἐν μιᾷ Κυριακῇ τοῦ Αὐγούστου μηνὸς πρέπον ἐστὶν ἵνα ἑορτάζωνται, μετὰ τὴν ἑορτὴν δηλονότι τῆς κοιμήσεως, ὡς ὅτι ἔτυχε κατ᾽ αὐτὸν τὸν μῆνα ἰδιαιτέρως οἱ τρεῖς ἵνα ἑορτάζωνται, καὶ πάλιν ἡνωμένως οἱ τρεῖς.

---

Τῇ πρώτῃ μετὰ τὴν ἑορτὴν τῆς Κοιμήσεως τῆς Θεοτόκου Κυριακῇ, μηνὶ Αὐγούστῳ, ἑορτάζομεν τὴν μνήμην τῶν τριῶν Ἁγίων τῆς Ἑπταννήσου, Σπυρίδωνος Κερκύρας, Διονυσίου Ζακύνθου καὶ Γερασίμου Κεφαλληνίας.

**ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**

Τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὴν Κοίμησιν τῆς Θεοτόκου, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου δ΄. τῆς ἑορτῆς γ΄. καὶ τοῦ ἁγίου γ΄, τὰ παρόντα.

**Ἦχος α΄.**

**Τῶν οὐρανίων ταγμάτων**

Τοὺς τρεῖς ὁσίους ποιμένας, τοὺς τῆς Τριάδος φαιδρῶς, ἀνευφημοῦντες φῶμεν, μὴ ἐλλείπητε σώζειν, ἡμᾶς ἐκ τῶν κινδύνων ταῖς σαῖς λιταῖς, τοὺς ἀεὶ μεγαλύνοντας, καὶ εὐφημοῦντας τὴν μνήμην τὴν ἱεράν, τὴν ὑμῶν ἀειμακάριστοι.

Τοὺς ἱεράρχας Κυρίου, θεῖον Σπυρίδωνα, σὺν τῷ Διονυσίῳ, εὐφημεῖν ἐστὶ χρέος, καὶ τὸν ἐν ἱερεῦσι θαυματουργόν, θεοφόρον Γεράσιμον, τῶν Ἑπταννήσων ἐφόρους καὶ τηρητάς, τοὺς τρεῖς ἅμα θεοκήρυκας.

Σὺν τὸν Κερκύρας ποιμένα, θεῖον Σπυρίδωνα, καὶ τὸν Ζακύνθου ἅμα, Διονύσιον ὕμνοις, τιμῶ καὶ Κεφαλλήνων τὸν θαυμαστόν, Θεοφόρον Γεράσιμον, τοὺς τῆς Τριάδος μεγίστους θεραπευτάς, καὶ ἡμῶν θείους ἀκέστορας.

**Δόξα. Ἦχος πλ. β΄.**

Τοὺς τῆς Τριάδος τρεῖς ὁσίους θεράποντας, Σπυρίδωνα, Διονύσιον καὶ Γεράσιμον, ψαλμοῖς καὶ ὕμνοις εὐφημήσωμεν. Οὗτοι γὰρ οἱ ἀξιΰμνητοι, τὸ κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ ἀλώβητον τηρήσαντες, καὶ τὰς τῶν παθῶν εἰσόδους ἀποκλείσαντες, τὰς ἀποστολικὰς ἀρετὰς ἐκτήσαντο, καὶ χάριν ἔλαβον παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ τελεῖν θαυμάσια, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν.** Τὸ α΄. Θεοτοκίον τοῦ ἤχου

Εἴσοδος. Τὸ Φῶς ἱλαρὸν καὶ τὸ προκείμενον τῆς ἡμέρας.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Πρῶτον τὸ ἰδιόμελον τοῦ ἁγίου τῆς μονῆς καὶ εἶτα τῶν ἁγίων.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Ἦχος α'.

Πανήγυρις φαιδρά, ἱερὰ πανδαισία, δεῦτε πιστοὶ μεθέξωμεν. Σπυρίδων γὰρ ἡμᾶς συγκαλεῖται, ἑστιάτωρ ὢν πνευματικός, οὗ ἡ τράπεζα θεία, ἡδέα τὰ θαύματα, αὐτοῦ μιμησώμεθα τὸ πρᾶον, τὸ ἄκακον, τὸ ἁπλοῦν, τὸ φιλάνθρωπον, τὸ περὶ πάντα σῶφρον, ἐφ' οἷς ἐν ἀρχιερεῦσιν ὡς φῶς ἐξέλαμψε, πρεσβεύων ὑπὲρ ἡμῶν τὸν μόνον φιλάνθρωπον.

### Ὁ αὐτὸς

Σήμερον ἡ φωταυγὴς ἀνέτειλε μνήμη σου, πανένδοξε ἱεράρχα Διονύσιε, φωτίζουσα τὰς τῶν πιστῶν διανοίας, ταῖς μαρμαρυγαῖς τῶν θαυμάτων σου, ἐν ᾗ τῷ πανσέπτῳ σου συναθροισθέντες τεμένει, καθικετεύομεν κράζοντες· λῦσον ταῖς σαῖς ἱκεσίαις τὰς σειρᾶς τῶν πταισμάτων, τῶν εὐφημούντων ἐκ πόθου τὴν πάνσεπτον μνήμην σου, πάτερ ἁγιώτατε.

### Ὁ αὐτὸς

Τὸν θεοειδῆ ἀσκητήν, καὶ νεοφανῆ ἐκ τῆς ἑῴας ἀστέρα, θεῖον Γεράσιμον εὐφημήσωμεν· οὗτος γὰρ ἔτι ζῶν, μεγάλως ἠγωνίσατο, ταῖς ἐπαγρύπνοις αὐτοῦ στάσεσιν, ἀμέσως παριστάμενος τῷ Κυρίῳ· διὸ καὶ μετὰ θάνατον ἡ θεία σορὸς αὐτοῦ, τοῖς προσιοῦσι πηγάζει ἀενάως τὰ θαύματα, ὑπερ ὧν καὶ πρεσβεύει ἀδιαλείπτως, Χριστῷ τῷ Θεῷ δωρηθῆναι αὐτοῖς τὸ μέγα ἔλεος.

### Δόξα. Ἦχος δ'.

Πνευματικοῖς ἐνθέοις ᾄσμασι, τοὺς τοῦ Χριστοῦ ὁσίους σήμερον, ἅπαντες εὐφημήσωμεν. Οὗτοι γὰρ τὰς τοῦ ἐχθροῦ μεθοδίας, ὡς ἀράχνης μίτους ἐν τῷ βίῳ διέλυσαν, καὶ τῷ Χριστῷ προσκολληθέντες, τὰ ἐν τῷ Εὐαγγελίῳ ὡς ἀληθεῖς ποιμένες, λέγοντες καὶ πράττοντες ἐτύγχανον, Σπυρίδων Διονύσιος καὶ Γεράσιμος, ὅθεν καὶ μετὰ πότμον τὰ ἱερὰ αὐτῶν λείψανα, ἀδιάφθορα μεμενηκότα, τοῖς πιστοῖς παρέχουσι τὰ ἰάματα.

### Καὶ νῦν· ὁ αὐτὸς

Τὴν πάνσεπτόν σου κοίμησιν παναγία Παρθένε ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν, ὅτι Μήτηρ γέγονας τοῦ ποιητοῦ τῶν ἁπάντων, Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε,

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

### Ἦχος πλ. α'.

### Χαίροις ἀσκητικῶν ἀληθῶς

Χαίροις ἡ τῆς Τριάδος τριάς, ἡ τῶν ὁσίων ἀληθῶς ἡ προχέουσα, θαυμάτων κρουνοὺς καὶ ῥεῖθρα, τῶν ἰαμάτων πιστοί, καὶ τὰς νόσους πάντων θεραπεύουσα· διὸ εὐφημοῦμέν σε, τὸν Κερκύρας Σπυρίδωνα, καὶ τὸν Ζακύνθου, ἱερὸν Διονύσιον, καὶ τὸν μέγιστον ἐν ἀσκήσει Γεράσιμον, ὅθεν Θεοῦ ὑπάρχοντες, τῷ θρόνῳ μακάριοι, ἐν παῤῥησίᾳ καὶ δόξῃ, ὑπὲρ ἡμῶν μὴ ἐλλείπητε, πρεσβεύειν ἀπαύστως, τοῦ δωρήσασθαι πλουσίως τὸ μέγα ἔλεος.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.**

Χαίροις ἡ τῆς Τριάδος τριάς, Ἱερωσύνῃ κοσμουμένη καὶ χάριτι, ὁ μέγας φημὶ Σπυρίδων, Γεράσιμός τε ὁμοῦ, σὺν Διονυσίῳ τῷ θεόφρονι. Πατέρες ἰσάγγελοι, οἱ τηρήσαντες ἄτρωτον, τὸ κατ' εἰκόνα, τοῦ Θεοῦ καὶ ὁμοίωσιν, καὶ τὴν ἅπασαν, ἀρετὴν κατακτήσαντες, τῶν τε πρὸ νόμου ὅσιοι, καλῶς βιωσάντων τε, καὶ τῶν ἐν νόμῳ καὶ πάντων, τῶν ἐμπρεψάντων ἐν χάριτι, Χριστοῦ ἀποστόλων, ἀθλητῶν ἱεραρχῶν τε, οὓς καὶ δοξάζομεν.

**Στίχ. θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.**

Χαίροις ἡ τῆς Τριάδος τριάς, τῶν θεοφόρων, ἡ φρουροῦσα καὶ σκέπουσα, ἐξόχως τοὺς ὀρθοδόξους, τοὺς παροικοῦντας ἐν γῇ, τῇ τῶν Ἰονίων καὶ δοξάζοντας, αὐτῶν τὴν ἐτήσιον, θείαν μνήμην καὶ ἔχοντας, θείους προστάτας, καὶ θερμοὺς ἀντιλήπτορας, καὶ πρὸς Κύριον, τὸν Θεὸν ἡμῶν πρέσβεας, ὅθεν αὐτοὺς δοξάζοντες, βοήσωμεν λέγοντες. Χαίρετε τρεῖς θεοφόροι, οἱ τῆς Τριάδος θεράποντες, ἡμῶν δὲ προστάται παρακλήτορες ποιμένες, φρουροὶ καὶ ἔφοροι.

### Δόξα. Ἦχος, πλ. δ'.

Ἐθαυμάστωσεν ὄντως ἡ χάρις τοῦ Πνεύματος, τὴν ὑμῶν πολιτείαν πατέρες ὅσιοι, διὰ γὰρ αὐτῆς πανεύφημοι, ὑπὲρ ἄνω κόσμου γεγόνατε, Ἀγγέλοις ὁμοιωθέντες, καὶ τοῖς δαίμοσι φανέντες φοβεροί, Γεράσιμε γνήσιε Χριστοῦ, καὶ Σπυρίδων σὺν Διονυσίῳ, παῤῥησίας οὖν τυχόντες πρὸς Θεόν, ὑπὲρ ἡμῶν μὴ παύσητε πρεσβεύειν, τῶν τιμώντων τὴν μνήμην ὑμῶν ἅγιοι.

### Καὶ νῦν· ὁ αὐτὸς

Πιστούμενος Ἰησοῦς, ὁ Υἱός σου Θεοτόκε καὶ Θεὸς ἡμῶν, τὰς δύο φύσεις αὐτοῦ, ὡς μὲν ἄνθρωπος θνήσκει, ὡς δὲ Θεὸς ἐξανίσταται, καὶ σὲ θεομῆτορ, νόμῳ φύσεως θανεῖν ηὐδόκησεν, ἵνα μὴ τοῖς ἀπίστοις, φαντασία νομισθῇ ἡ οἰκονομία, μετέβης δὲ πρὸς οὐράνιον χῶρον, ἡ ἐπουράνιος νύμφη, ὡς ἐκ παστοῦ τοῦ σκήνους σου, γῆθεν ἀπάρασα, ἡγιάσθη ὁ αἰθὴρ ἐν τῇ ἀνόδῳ σου, ὡς ἐφωτίσθη ἡ γῆ ἐν τῷ τόκῳ σου, προπέμπουσιν Ἀπόστολοι, καὶ Ἄγγελοι ὑποδέχονται, ὅθεν κηδεύσαντες τὸ πανάχραντον σῶμά σου, καὶ ἐπιτάφιον ὕμνον ἐξᾴδοντες, μετάρσιον ἔβλεπον, καὶ φόβῳ ἔλεγον· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου, αὐτὸς γὰρ ἐν μέσῳ σου, καὶ οὐ σαλευθήσῃ, ἀλλ' ὦ πολυύμνητε Κόρη, μὴ διαλείπῃς ἡμᾶς ἐποπτεύουσα, ἡμεῖς γὰρ λαὸς σου, καὶ πρόβατα νομῆς σου, καὶ τὸ ὄνομά σου, ἐπικεκλήμεθα, αἰτούμενοι διὰ σοῦ σωτηρίαν καὶ μέγα ἔλεος.

Τὸ νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ

### Ἀπολυτίκιον. Ἦχος α'.

Τοὺς τρεῖς μεγίστους φωστῆρας τῆς εὐσεβοῦς ἡμῶν πίστεως, τοὺς τῶν ὀρθοδόξων προστάτας, καὶ ἰατῆρας ὑπάρχοντας, τοὺς παῤῥησίᾳ παρεστῶτας τῷ Κτίστῃ, καὶ τὴν κτίσιν πᾶσαν, ταῖς τῶν θαυμάτων χάρισι καταρδεύσαντας. Σπυρίδωνα τὸν μέγαν, καὶ τὸν θεοφόρον Γεράσιμον, σὺν Διονυσίῳ τῷ πάνυ, τοὺς τῶν Ἰονίων ἐξάρχοντας, πάντες οἱ ἐν πόθῳ αὐτῶν ἐρασταί, συνελθόντες ὕμνοις τιμήσωμεν, αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

Τὰ λοιπὰ τοῦ ἑσπερινοῦ καὶ ἀπόλυσις

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος. Ἀπολυτίκιον τὸ ἀναστάσιμον, τῶν ἁγίων καὶ τῆς ἑορτῆς.

Μετὰ τὴν πρώτην στιχολογίαν, τὰ ἀναστάσιμα καθίσματα τοῦ ἤχου.

Μετὰ τὴν β' στιχολογίαν τὰ παρόντα.

### Ἦχος α'.

### Τὸν τάφον σου Σωτὴρ

Τριάδος ἡ τριάς, τῶν ὁσίων πατέρων, ἡμᾶς τοὺς ἐπὶ γῆς, προσκαλεῖ τοῦ ὑμνῆσαι, αὐτῶν τὴν θείαν σύ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ναξιν, καὶ τελέσαι μνημόσυνα, Διονύσιος, σὺν τῷ σοφῷ Γερασίμῳ, καὶ ὁ μέγιστος, ἐν Ἱεράρχαις Σπυρίδων, Χριστοῦ οἱ θεράποντες.

Δόξα τὸ αὐτό, καὶ νῦν τῆς ἑορτῆς, ὅμοιον.

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε πανύμνητε, οἷς συνύμνησαν, καὶ τῶν ἀγγέλων τὰ πλήθη, τὴν μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες, ἣν πίστει ἑορτάζομεν.

Μετὰ τὸν πολυέλεον, τὰ Εὐλογητάρια καὶ ἡ ὑπακοὴ τοῦ ἤχου. Εἶτα τὰ καθίσματα τῶν ἁγίων.

**Ἦχος δ'. Κατεπλάγη Ἰωσὴφ**

Διονύσιον τιμῶ, τὸν τῆς Ζακύνθου θαυμαστόν, Ἱεράρχην καὶ τόν πρίν, θεῖον Σπυρίδωνα ὁμοῦ, τὸν τῆς Κερκύρας θειότατον πολιοῦχον, καὶ τὸν δὲ σὺν αὐτοῖς, μέγαν Γεράσιμον, τοὺς τρεῖς τῶν εὐσεβῶν, θείους ἐξάρχοντας, οὓς ἡ Τριὰς ἡγίασεν ἀξίως, ἡ παναγία καὶ δέχεται, τὰς ὑπὲρ πάντων, αὐτῶν δεήσεις, καὶ παρέχει ἰάματα.

Δόξα, τὸ αὐτὸ, καὶ νῦν τῆς ἑορτῆς ὅμοιον.

Ἀναβόησον Δαυΐδ, τίς ἡ παροῦσα ἑορτή; ἣν ἀνύμνησας ποτέ, ἐν τῷ βιβλίῳ τῶν ψαλμῶν, ὡς θυγατέρα θεόπαιδα καὶ Παρθένον, μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς, καὶ διὰ τοῦτο χαίρουσι μητέρες, καὶ θυγατέρες καὶ νύμφαι Χριστοῦ, βοῶσαι χαῖρε, ἡ μεταστᾶσα, πρὸς τὰ ἄνω βασίλεια.

Καὶ εὐθὺς ψάλλομεν τὰ ἀντίφωνα τοῦ ἤχου. Τὸ προκείμενον, τὸ πᾶσα πνοή, τὸ ἑωθινὸν Εὐαγγέλιον, τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, τὸ Ἐλεησόν με ὁ Θεός, κ.τ.λ.

ΕΙΤΑ ΟΙ ΚΑΝΟΝΕΣ

Κανὼν ὁ ἀναστάσιμος εἰς ς', ὁ τῆς ἑορτῆς εἰς δ' καὶ ὁ τῶν ἁγίων ὁμοίως εἰς δ', οὗ ἡ ἀκροστιχίς: Ὑμνῶ σε τριάς, Τριάδος τῆς ἁγίας. ἄνευ τῶν Θεοτοκίων.

Ὁ κανὼν τῶν ἁγίων

**Ὠδὴ α'. Ἦχος δ'.**

**Ἀνοίξω τὸ στόμα μου**

Ὑμνῆσαι βουλόμενος τοὺς τρεῖς ὁσίους σου Κύριε, τὸν λόγον μοι δώρησαι, αὐτῶν δεήσεσι, καὶ γὰρ οὗτοί σου, ὅλῃ ψυχῇ καρδίᾳ, Χριστὲ συνεκήρυξαν τὰ μεγαλεῖά σου.

Μακάριος γέγονας Σπυρίδων ἱερώτατε, καὶ τῶν μακαρίων ἠξιώθης, ὁρᾶν καὶ βλέπειν τὰς νοερὰς στρατιὰς ἄνω τῶν δυνάμεων σοφέ, σὺν Διονυσίῳ τε, Γερασίμῳ τῷ γνώστῃ σου.

Νικήσαντες ὅσιοι, πάθη σαρκὸς ἠξιώθητε, οἰκεῖν εἰς οὐράνια, θεῖα σκηνώματα, ἔνθα πέμπετε, πλουσίας ἀντιδόσεις, ἡμῖν τοῖς δοξάζουσιν, ὑμῶν τὴν σύναξιν.

**Θεοτοκίον**

Σὺ μόνη Θεόνυμφε, τὸν ἐν ὑψίστοις καθήμενον, ἀγκάλαις ἐβάστασας, σάρκα γενόμενον, σὺ γὰρ πέφηνας, ἐκ πάντων τῶν αἰώνων, δοχεῖον ἐπάξιον τοῦ Παντοκράτορος.

Καταβασία: **Πεποικιλμένη**

Ὠδὴ γ'.

**Τοὺς σοὺς ὑμνολόγους**

Ὡς μέγας Χριστοῦ τε ἱεράρχης, ἀγγέλους Θεοῦ συλλειτουργούς, συνέσχες ὢ τοῦ θαύματος! Σπυρίδων ἁγιώτατε, καὶ εἰς χρυσοῦν μετέβαλες, ὄφιν καιρῷ τῷ προσήκοντι.



Συνεὶς ὁ λαὸς ἐκ τῶν θαυμάτων, τὴν σὴν ἱεράρχα ἀρετήν, παμμάκαρ Διονύσιε, συνέχαιρε τῷ πνεύματι, τὴν πρὸς Θεὸν γὰρ ἔσχηκας, ἀγάπην καὶ πρὸς τὸν ἔγγιστα.

Ἐπίκουρος μέγιστος ἐφάνης, δεινῶν περιστάσεων λιμοῦ, τὴν ποίμνην σου ῥυόμενος, Γεράσιμε θεόσοφε, ἀλλὰ καὶ νῦν περίσωζε, τοὺς σὲ τιμῶντας ἐκ θλίψεων.

**Θεοτοκίον**

Ἀστέκτου θεότητος δοχεῖον, καὶ πόλις ἡ ἔμψυχος Θεοῦ, σὺ ὤφθης παναμώμητε, ἐν ᾗ μεγάλα εἴργασται, τῆς ἀποῤῥήτου γνώσεως, ἃ ἐξ αἰῶνος οὐκ ἤκουσται.

Καταβασία: **Ἡ δημιουργική**

Τὸ Ἀναστάσιμον, Κοντάκιον καὶ τὸν Οἶκον· εἶτα τὸ Κάθισμα

**Ἦχος γ'. Τὴν ὡραιότητα**

Σὺν τῷ Σπυρίδωνι, θεῖον Γεράσιμον, καὶ Διονύσιον, τιμῶμεν ᾄσμασι, τοὺς τρεῖς μεγίστους ἐν βροτοῖς, φωστῆρας τῆς τρισηλίου, μιᾶς τε θεότητος, ἣ ἀπαύστως πρεσβεύουσιν, ὑπὲρ ὧν τὴν σύναξιν, ἐκτελούντων τὴν εὔσημον, διὸ ἐν παῤῥησίᾳ βοῶμεν: Χαίρετε ἀγγέλων ἰσοστάσιοι.

Δόξα, τὸ αὐτό, καὶ νῦν τῆς ἑορτῆς, ὅμοιον

Ἐν τῇ γεννήσει σου, σύλληψις ἄσπορος, ἐν τῇ κοιμήσει σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε, πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα; διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι. Χαῖρε ἡ κεχαριτωμένη.

Ὠδὴ δ'.

**Τὴν ἀνεξιχνίαστον**

Τεσσαρακονθήμερον νηστείαν ποτέ, ἐν τῷ Ἰορδάνῃ ἐτέλεσας, ὥσπερ τὸ πάλαι, ὁ Ἠλίας καὶ Μωσῆς, καὶ ὁ αὐτὸς Θεάνθρωπος, πάτερ θεοφόρε Γεράσιμε.

Ῥώμην ἐφωδίασας πάτερ σοφέ, κατὰ τῶν ἀπίστων τοὺς δούλους σου, αὐτήν μοι δίδου, τοῦ νικᾶν τοὺς ἀφανεῖς, καὶ ὁρατοὺς ἀλάστορας, ὅσιε Σπυρίδων τῷ δούλῳ σου.

Ἴδιον ὑπάρχει σοι πάτερ σοφέ, τὸ θαυματουργεῖν Διονύσιε, καὶ μαρτυρεῖ σου, τὸ κατὰ ἀγαρηνῶν, διαπραχθὲν θαυμάσιον, ὅτε τοὺς αὐτοὺς κατετρόπωσας.

**Θεοτοκίον**

Πῶς σου ἐξυμνήσω τὸ κάλλος ἁγνή, ἢ πῶς σε δοξάσω θεόνυμφε; ἐν λόγοις οὖσα, θείας δόξης θησαυρός, ὅθεν σιγῇ σου δέομαι, Δέσποινά μου Δέσποινα σῶσόν με.

Καταβασία: **Ῥήσεις προφητῶν**

Ὠδὴ ε'.

**Ἐξέστη τὰ σύμπαντα**

Ἀβρόχως διώδευσας, καιρῷ βροχῆς μακάριε, ὅλως μὴ ἐγγίσασά σου ὅλοις, τοῖς ἱματίοις, διὸ προστάξει τῇ σῇ, ἔστησας τὸ ῥεῦμα ποταμοῦ, καὶ διέβης ὅσιε, ἀσινὴς Διονύσιε.

Σπυρίδων θεόσοφε, σὺ τῆς συνόδου ἐκύρωσας, τὸ ὀρθὸν τῆς πίστεως αἰσχύνας, τῶν κακοδόξων Ἀρειανῶν τὰ σαθρά, διδάγματα ὅθεν ὡς εἰκός, ἐδοξάσθης ἄριστα, ἱεράρχα μακάριε.

Τὰς νήσους διέπλευσας, καὶ τὰς Ἠπείρους ἔγνωκας, τάς τε τῆς Αἰγύπτου καὶ Ἀσίας, καὶ τῆς Εὐρώπης, ὡς οἱ Χριστοῦ μαθηταί, ἵνα ὡς ἡ μέλισσα σοφέ, συναθροίσῃς χάριτας, θεοφόρε Γεράσιμε.

**Θεοτοκίον**

Μακρὰν τὸ ἀνθρώπινον, Θεοῦ Παρθένε γέγονε, σοῦ δὲ συλλαβού-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σης τὸν Σωτῆρα, ἀνερμηνεύτως, θεοχαρίτωτε, πάλιν εἰς παράδεισον μολεῖ, πίστει μακαρίζον σε, Θεοτόκε πανύμνητε.

Καταβασία: **Τὸ θεῖον καὶ ἄῤῥητον**

Ὠδὴ ϛ΄.

Τὴν θείαν ταύτην

Ῥήματι σῷ ἀνεζώωσας, μητέρα σὺν τῷ τέκνῳ ἐν θαύματι, Σπυρίδων πάνσοφε, καὶ δρόσον πλήρης ἐγένετο, σοῦ ἡ τιμία Κάρα, καιρῷ τοῦ καύσωνος.

Τέκνον ποτὲ χαρισάμενος, ὁ μέγας τοῖς αὐτὸ ἐκζητήσασι, τοῦτο ἀνέζησεν, ἀποθανὸν ὢ τοῦ θαύματος, γονέων παρακλήσει ὁ Διονύσιος.

Ἀγῶνας πλείστους καὶ θαύματα ἐτέλεσας θεόφρον Γεράσιμε, καὶ γὰρ οὐκ ἔλαβες, ἄρτον εἰς χρόνους τριάκοντα, βοτάνας τὰς ἀγρίας ἔχων εἰς βρῶσίν σου.

Θεοτοκίον

Σοφίαν Λόγον κηρύττομεν, Υἱὸν τὸν τοῦ Πατρὸς προαιώνιον, ἐπισκηνώσαντα, οὐσιωδῶς ἐν τῇ μήτρα σου, καὶ τῇ ἀῤῥεύστῳ πλάσει, ἡμᾶς θεώσαντα.

Καταβασία: **Ἄλιον ποντογενὲς**

Κοντάκιον

Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ

Τοὺς τῆς Τριάδος, τρεῖς φωστῆρας εὐφημήσωμεν, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πάντες φιλέορτοι, τὸν Γεράσιμον λέγω σὺν Διονυσίῳ, καὶ Σπυρίδωνα ἡμῶν τοὺς θείους πρέσβεις, πρὸς Θεὸν τοὺς παῤῥησίᾳ ἐντυγχάνοντας, τούτους κράζοντες· μιμηταὶ Χριστοῦ χαίρετε.

Ὁ Οἶκος

Ἄγγελοι ἐν ἀνθρώποις, καὶ βροτοὶ ἐν ἀγγέλοις, ἐδείχθητε πατέρες ἐν βίῳ, παιδιόθεν γὰρ τὴν ἀρετὴν μετερχόμενοι, Θεῷ εὐηρεστήσατε· ἡμεῖς δ᾽ ἐπαγαλλόμενοι βοῶμεν πρὸς ὑμᾶς τοιαῦτα.

Χαίρετε, ἔφοροι Ἑπταννήσου· χαίρετε, ἅμα οἱ τρεῖς ἐξίσου.

Χαῖρε, Κεφαλλήνων προστάτα Γεράσιμε· χαῖρε, τῆς Ζακύνθου σοφὲ Διονύσιε.

Χαίρετε, πιστῶν τὸ στήριγμα ἱερώτατοι Θεοῦ· χαίρετε, ἡμῶν τὸ καύχημα καὶ παντὸς πιστοῦ λαοῦ.

Χαῖρε, ὁ τῆς Κερκύρας προστατεύων Σπυρίδων· χαῖρε, ὁ τῆς Ἑλλάδος τὸ βραχὺ μεγαλύνων.

Χαίρετε, οὗν αὐτῆς ἡ εὐπρέπεια· χαίρετε, οὗν αὐτῆς ἡ κατήφεια.

Χαίρετε, νῦν οἱ Χριστοῦ γνησιῶται· χαίρετε, νῦν οἱ αὐτοῦ ὑπηρέται.

Μιμηταὶ Χριστοῦ χαίρετε.

Τῇ αὐτῇ ἡμέρᾳ, τὴν σύναξιν ἑορτάζομεν τῶν ἐν τῇ Ἑπταννήσῳ τριῶν ἁγίων πατέρων, Σπυρίδωνος δηλονότι, Διονυσίου τε καὶ Γερασίμου, τῶν ἐφόρων πολιούχων τε καὶ προμάχων ὅλης τῆς Ἰονίου ἐπαρχίας.

Στίχοι

Τρεῖς ὁσίους τε καὶ ἱεροὺς πατέρας.

Τοὺς θεράποντας Χριστοῦ ὕμνους στέφω.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄.

Οὐκ ἐλάτρευσαν

Διονύσιος, ὁ θαυμαστὸς καὶ ἔνδοξος, τελῶν θαυμάσια, αὐτὸς καὶ πλοῖον ποτέ, κινδύνου διέσωσε φανεὶς τοῖς πλέουσιν, οἳ καὶ ἔκραζον, ἡμᾶς Χριστὲ διάσωσον, Ἱεράρχου σου πρεσβείαις.



Ὁ Γεράσιμος, ὁ μέγας ἐν ἀσκήσεσι τελῶν θαυμάσια, καὶ τὴν πεσοῦσαν ποτέ, εἰς φρέαρ διέσωσε, τῆς πνιγμονῆς καὶ αὐτοῦ, τοῦ πειράζοντος, εὐλογητὸς εἶ κράζουσα, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Σὺν τοῖς θαύμασι, τοῖς πλείστοις ὁ θαυμάσιος, Σπυρίδων πέπραχε, καὶ εἰς τοὺς δύο τυφλούς, αὐτοῖς δωρησάμενος τὸ φῶς τοῖς κράζουσι, φωτοπάροχε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Ἀνατέταλκεν, ὁ μέγας καὶ ἀνέσπερος, Ἥλιος πᾶσι βροτοῖς ἐκ τῆς νηδύος τῆς σῆς, καὶ πάντας ἐφώτισε, φωτὶ τῆς γνώσεως, τοὺς κραυγάζοντας, Εὐλογημένος Πάναγνε ὁ καρπὸς τῆς σῆς κοιλίας.

Καταβασία: **Ἰταμῷ θυμῷ τε**

Ὠδὴ η΄.

Παῖδας εὐαγεῖς

Τέτευχας ζωῆς τῆς ἀκηράτου, Γεράσιμε θεοφόρε καὶ τοῖς δούλοις σου, σοῦ τὸ ἀδιάφθορον, ἐδωρήσω λείψανον, τὸ πανευῶδες ὅθεν καὶ θαυματόβρυτον, τοῖς πίστει τὸν Σωτῆρα ὑμνοῦσι, καὶ δοξολογοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἤρθης πρὸς Μονὰς τὰς οὐρανίους, Χριστοῦ Ἱεράρχα Διονύσιε, καὶ τὸ ἀδιάφθορον, ἐδωρήσω σκῆνός σου, τοῖς τῇ μονῇ σου ἅγιε, καλῶς μονάζουσι, καὶ πίστει τῷ Κυρίῳ βοῶσι, καὶ ὑπερυψοῦσιν, αὐτὸν εἰς τοὺς αἰῶνας.

Σκῆνός σου τὸ θεῖον Ἱεράρχα, Σπυρίδων τὸ θαυματόβρυτον καὶ ἄφθαρτον, δέδωκας τοῖς δούλοις σου, γνώρισμα ἀλάνθαστον, τῆς πρὸς Θεὸν μακάριε τὸν τρισυπόστατον, πολλῆς σου πρὸς αὐτὸν παῤῥησίας, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Ῥόδον ἐν ἀκάνθαις εὑρηκώς σε, καὶ ἄνθος ἐν ταῖς κοιλάσι τὸ πανεύοσμον, κρῖνόν τε πανάσπιλον, Δέσποινα θεόνυμφε, ὁ σὸς νυμφίος ἄνωθεν, ἐν σοὶ ἐσκήνωσε καὶ κόσμον εὐωδίασε πάντα, σὲ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία: **Φλόγα δροσίζουσαν**

Ὠδὴ θ΄.

Ἅπας γηγενὴς

Ἄγει ἑορτήν, ἡ ποίμνη σου ἅγιε, ἐπὶ τῇ μνήμῃ σου, ἣ καὶ μνημονεύουσα, τοὺς σοὺς ἀγῶνας καὶ τὰ θαυμάσια, Σπυρίδων Ἱερώτατε, ἃ ἐξετέλεσας, σοὶ βοῶσα, χαίροις τὸ ἡμέτερον, καὶ παντὸς χριστωνύμου ἐντρύφημα.

Γῆ ἐπὶ τῷ σῷ, καυχᾶται σκηνώματι, πανηγυρίζουσα, ἐν τῇ ταύτῃ μνήμῃ σου, καὶ μνημονεύει τὰ σὰ θαυμάσια, καὶ τοὺς λαμπροὺς ἀγῶνάς σου καὶ χαίρει κράζουσα, Ἱεράρχα, πάτερ Διονύσιε, μὴ ἐλλείπῃς πρεσβεύειν πρὸς Κύριον.

Ἴασιν ψυχῆς, καὶ σώματος δώρησαι, ταῖς ἱκεσίαις σου, ὅσιε Γεράσιμε, ἡμῖν καὶ πᾶσι, τοῖς ἑορτάζουσι, τὴν ἱεράν τε μνήμην σου, καὶ ἐκβοῶσί σοι· σὺ προστάτης, σὺ φρουρὸς καὶ στήριγμα, τὸ ἡμέτερον πέλεις καὶ καύχημα.

Ἅγιοι οἱ τρεῖς, Τριάδος θεράποντες, καὶ ταύτης γνήσιοι, ταῖς ἡμῶν δεήσεσιν, ἡμᾶς κινδύνων καὶ πάσης θλίψεως συμφώνως διασώσατε τοὺς ταύτην σήμερον, ἐκτελοῦντας, σύναξιν ἑόρτιον, καὶ τιμῶντας ἡμᾶς κινδυνεύοντας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Σέβας παρ' ἡμῶν, προσδέχου θεόνυμφε, θεοχαρίτωτε, Μῆτερ τοῦ Θεοῦ ἡμῶν, καὶ τὴν σὴν χάριν ἀντιδεδώρησαι, τοῖς εὐλαβῶς σε μέλπουσιν, ἡμῖν τοῖς δούλοις σου, τὸν Χριστὸν δέ, ὃν ἀῤῥήτως τέτοκας, ἡμῖν ἵλεων Κόρη ἀπέργασαι.

Καταβασία:

**Αἱ γενναὶ πᾶσαι... Νενίκηνται**

Ἐξαποστειλάριον τὸ ἀναστάσιμον τοῦ ἤχου, εἶτα τῶν ἁγίων, τὸ παρὸν

**Τοῖς Μαθηταῖς συνέλθωμεν**

Τοὺς τῆς Τριάδος σήμερον, τρεῖς θεράποντας σέβω, Σπυρίδωνα τὸν μέγιστον, ἅμα Διονυσίῳ, καὶ τὸν κλεινὸν Γεράσιμον, οὓς ἡ χάρις εἰκότως, ἡγίασεν ἐδόξασεν, εἰς τὸν ἅπαντα κόσμον, ὅθεν αὐτούς, πρέσβεας προβάλλομεν τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν καὶ ἔχομεν, τούτους θείους προστάτας.

Καὶ τῆς ἑορτῆς

**Ὁ οὐρανὸν τοῖς ἄστροις**

Ἀπόστολοι ἐκ περάτων συναθροισθέντες ἐνθάδε, Γεσθημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα, καὶ σὺ Υἱὲ καὶ Θεέ μου παραλαβέ μου τὸ πνεῦμα.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους ι'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ', τῆς ἑορτῆς γ', καὶ τῶν ἁγίων γ'.

Τῆς ἑορτῆς. Ἦχος δ'.

**Ὡς γενναῖον ἐν Μάρτυσι**

Τῇ ἐνδόξῳ κοιμήσει σου, οὐρανοὶ ἐπαγάλλονται, καὶ ἀγγέλων γέγηθε, τὰ στρατεύματα, πᾶσα ἡ γῆ δὲ εὐφραίνεται, ᾠδήν σοι ἐξόδιον, προσφωνοῦσα τῇ Μητρί, τοῦ τῶν ὅλων δεσπόζοντος, Ἀπειρόγαμε, Παναγία Παρθένε ἡ τὸ γένος τῶν ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως.

Ἐκ περάτων συνέδραμον, Ἀποστόλων οἱ πρόκριτοι, θεαρχίῳ νεύματι τοῦ κηδεῦσαί σε, καὶ ἀπὸ γῆς αἰρομένην σε, πρὸς ὕψος θεόμενοι, τὴν φωνὴν τοῦ Γαβριήλ, ἐν χαρᾷ ἀνεβόων σοι, χαῖρε ὄχημα, τῆς θεότητος ὅλης χαῖρε μόνη, τὰ ἐπίγεια τοῖς ἄνω, τῷ τοκετῷ σου συνάψασα.

Τὴν ζωὴν ἡ κυήσασα, πρὸς ζωὴν μεταβέβηκας, τῇ σεπτῇ κοιμήσει σου τὴν ἀθάνατον, δορυφορούντων Ἀγγέλων σοι, ἀρχῶν καὶ δυνάμεων, Ἀποστόλων Προφητῶν, καὶ ἁπάσης τῆς κτίσεως δεχομένου τε, ἀκηράτοις παλάμαις τοῦ Υἱοῦ σου, τὴν ἀμώμητον ψυχήν σου, παρθενομῆτορ Θεόνυμφε.

Τῶν ἁγίων ὅμοια

Τρισηλίου θεότητος, τρεῖς ποιμένας ἐξάρχοντας, εὐφημεῖν ὀφείλομεν, οἱ θεόφρονες, καὶ πρὸς αὐτοὺς ἐκβοήσωμεν· Πατέρες σεβάσμιοι, στύλοι ὄντως κραταιοί, τῆς Χριστοῦ ἡμῶν πίστεως Διονύσιε, καὶ Σπυρίδων Γεράσιμε οἱ θεῖοι, στρατιῶται καὶ προστάται, ἡμῶν καὶ πρέσβεις πρὸς Κύριον.

Τῶν ἀγγέλων ὁμόδοξοι, Ἀποστόλων ὁμότροποι, Ἱερέων σύσκηνοι καὶ ὁσίων τε, οἱ τρεῖς ὁμοῦ ἀνεδείχθητε, πατέρες θεόσοφοι οἱ τὰς ὅλας ἀρετάς, ὥσπερ μίαν κτησάμενοι, καὶ ἐκλείσατε, τῶν παθῶν τὰς εἰσόδους, θεοφόροι, ἀποκτείνοντες τὸν ὄφιν, τὸν σκολιώτατον δράκοντα.

Ἰατρεύειν παθήματα, φυγαδεύειν νοσήματα, ἀπελαύνειν πνεύματα, πονηρώτατα, τῇ συνεργείᾳ τοῦ Πνεύματος, οἱ τρεῖς ἠξιώθητε, ἀφανίσαντες δεινῶς, τῆς σαρκὸς ἅπαν φρόνημα ταῖς ἐνστάσεσι, τῆς ἀσκήσεως ὅσιοι πατέ-



ρες, συμπολῖται τῶν Ἀγγέλων, Ἱεραρχῶν Ἀποστόλων τε.

Εἰ βούλει, εἰπὲ τὸ Ἑωθινὸν τοῦ ἤχου, εἰ δὲ τὸ παρόν.

**Δόξα. Ἦχος πλ. δ'**

Σήμερον συγκαλεῖται ἡμᾶς, εἰς ἑόρτιον πανήγυριν καὶ μνήμην, τῶν θεοφόρων ἡ σεβάσμιος σύναξις, ὁ γὰρ Κερκυρέων μέγιστος προστάτης θεῖος Σπυρίδων, σὺν τῷ Διονυσίῳ τῶν Ζακυνθίων, καὶ Γεράσιμος ὁ τῶν Κεφαλληνέων, οἱ τρεῖς θεράποντες τῆς τρισηλίου θεότητος, τὸν ἁγιασμὸν ἡμῖν ἀπ' οὐρανοῦ καταπέμπουσι, τῇ αὐτῇ ἁγίᾳ Τριάδι ἀμέσως παριστάμενοι, οἱ καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν, Ὑπερευλογημένη**

Δοξολογία μεγάλη, καὶ τὸ σήμερον σωτηρία.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τὰ τυπικὰ καὶ τοὺς Μακαρισμούς. Τροπάρια δ'. ἀναστάσιμα, δ'. τῆς ἑορτῆς, καὶ δ'. τῶν ἁγίων τῆς ϛ' ᾠδῆς.

**Κοντάκιον, ἦχος δ'.**

**Ταχὺ προκατάλαβε**

Τριάδος ἰσάριθμοι ἀναφανέντες ὑμεῖς, πατέρες ἐδείχθητε καὶ ὥσπερ ζῶσα εἰκών, Χριστοῦ θείας πίστεως, ἔλεγχος κακοδόξων, χρηματίσαντες ὄντως, καύχημα εὐσεβούντων, καὶ προστᾶται συνάμα, διὸ καὶ τοὺς τιμῶντας ἡμᾶς, κινδύνων λυτρώσατε καὶ θλίψεων.

Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει ἐν τῇ ιη'. Ἰανουαρίου

**Κοινωνικόν.**

**Εἰς μνημόσυνον**

## ΛΟΓΟΣ

### Ἐν περιλήψει τῆς βιογραφίας τῶν τριῶν ἁγίων ὁμοῦ, Σπυρίδωνός τε, Διονυσίου καὶ Γερασίμου τῶν προστατῶν καὶ ἐφόρων τῆς Ἑπταννήσου χορείας.

**Εὐλόγησον Πάτερ**

Καθὼς μία λαμπρὰ πόλις, διὰ τὰ πολλὰ αὐτῆς προτερήματα πολιορκεῖται συνεχῶς ὑπὸ τῶν ἐχθρῶν, καὶ κινδυνεύει κυριευθῆναι ὑπ' αὐτῶν, οὐκ ἐγκαταλείπει ὅμως αὐτὴν ὁ τοῦ αὐτοῦ κράτους βασιλεύς, ἀλλ' ἀποστέλλει δύναμιν στρατιωτικὴν καὶ ἐμπείρους στρατηγοὺς εἰς ὑπεράσπισιν αὐτῆς, οὕτω πως νόησον καὶ τὸ αὐτὸ Ἰόνιον κράτος, τὴν Ἑπτάνησον δηλονότι. Αὗται γὰρ αἱ νῆσοι ὑπῆρχον ἀείποτε ὑπὸ τὴν ἐξουσίαν τῶν κακοδόξων αἱρετικῶν, διά τινα μυστηριώδη αὐτῶν συμφέροντα, διὰ τὰ ὁποῖα οὐ μόνον κατὰ τὰ ἤθη ἤθελον φθαρεῖ οἱ κάτοικοι αὐτῶν τῶν νήσων, ἀλλὰ καὶ κατὰ τὴν ὀρθοδοξίαν. Βασιλεὺς χριστιανικοῦ κράτους ἐπεσκέπτετο αὐτὰς καὶ ἤθελε λαβεῖν πρόνοιαν περὶ αὐτῶν. Ποῖος οὖν ἐστὶν οὗτος ὁ βασιλεύς, καὶ ποίαν πρόνοιαν ἔλαβε περὶ αὐτῶν καὶ τίνι τρόπῳ ἐπεσκέψατο αὐτάς; φανερόν, ὅτι ὁ μὲν Βασιλεὺς αὐτῶν, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστι, τοὺς δὲ στρατηγοὺς οὓς ἀπέστειλε πρὸς αὐτάς, δηλονότι τὰς νήσους, ἵνα μὴ πολυπραγμονῶμεν, οὗτοι οἱ τρεῖς ἅγιοι ὑπάρχουσιν, ὅ τε μέγας Σπυρίδων, Διονύσιος καὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Γεράσιμος. Οὗτοι λοιπὸν οἱ ἅγιοι ἑορταζόμενοι ὁ μὲν εἰς τὴν δωδεκάτην τοῦ Δεκεμβρίου μηνός, ὁ δὲ εἰς τὴν δεκάτην ἑβδόμην τοῦ αὐτοῦ καὶ ὁ ἕτερος εἰς τὴν εἰκοστὴν τοῦ Ὀκτωβρίου, δοξολογοῦνται ἐκεῖ κοινῶς παρὰ τῶν ὀρθοδόξων, ἰδιαιτέρως δὲ δοξολογοῦνται καὶ δεύτερον εἷς ἕκαστος κατὰ τὸν Αὔγουστον μῆνα, ἑορταζόμενοι ὁ μὲν Σπυρίδων κατὰ τὴν ἑνδεκάτην, ἕνεκα θαύματος, ὁ δὲ Γεράσιμος κατὰ τὴν δεκάτην πέμπτην διὰ τὴν κυρίαν αὐτοῦ μνήμην καὶ ὁ Διονύσιος κατὰ τὴν εἰκοστὴν τετάρτην διὰ τὴν ἀνακομιδὴν τοῦ ἁγίου αὐτοῦ λειψάνου. Τινὲς ὅμως ὑπὸ πολλῆς καὶ ἐξαιρέτου εὐλαβείας πρὸς τοὺς αὐτοὺς ἁγίους φερόμενοι, θέλουσιν ἵνα ἑορτάζουσι καὶ τοὺς τρεῖς αὐτοὺς ἐν μιᾷ ἡμέρᾳ, παράδειγμα ἔχοντες ἀξιόπιστον τοὺς τρεῖς Ἱεράρχας, Βασίλειον, Χρυσόστομον καὶ Γρηγόριον, καὶ λοιπὸν ἵνα μὴ πολυλογῶμεν, ἰδοὺ ἀρχόμεθα ἀπὸ τοῦ πρώτου, ὅστις ἐστὶν ὁ μέγας Σπυρίδων, καὶ λέγομεν τὴν περίληψιν τοῦ βίου αὐτοῦ, ὑπόθεσιν ἔχουσαν κυρίως τὴν τῶν θαυμάτων.

Οὗτος λοιπὸν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν μέγας Σπυρίδων, πατρίδα μὲν εἶχε τὴν νῆσον Κύπρον, ἦν δὲ ἁπλοῦς τῇ γνώμῃ καὶ ταπεινὸς τῇ καρδίᾳ. Οὗτος οὖν, ποιμὴν προβάτων ἐγένετο ἐκ νεότητος αὐτοῦ εἶτα γυναικὶ συνεζεύχθη διὰ γάμου· μετὰ δὲ τὸν θάνατον αὐτῆς ἐγένετο ἐπίσκοπος Τριμυθοῦντος. Τόση δὲ πολλὴ χάρις τῶν θαυμάτων καὶ ἰαμάτων ἐδόθη εἰς αὐτὸν παρὰ Θεοῦ, ὥστε ἔλαβε καὶ τὴν ἐπωνυμίαν τοῦ λέγεσθαι θαυματουργὸς καὶ λοιπὸν εἰς καιρὸν ἀνομβρίας κατεβίβασε βροχὴν διὰ προσευχῆς αὐτοῦ καὶ τὸν λιμόν, ὅν ἐμελέτων ποιῆσαι οἱ ἄσπλαγχνοι σιτοπῶλαι, ὁ αὐτὸς διέλυσε καὶ ὄφιν εἰς χρυσοῦν μετέβαλε καὶ πάλιν εἰς ὄφιν τὸ χρυσίον ἀποκατέστησε καί ποταμοῦ τὸ ῥεῦμα συνέστειλεν. Αὐτὸς παρὼν εὑρεθεὶς εἰς τὴν ἐν Νικαίᾳ πρώτην Σύνοδον ἀπεστόμωσε τοὺς αἱρεσιάρχας Ἀρειανούς, οἵτινες ἐκόμπαζον εἰς τὴν ἔξω σοφίαν αὐτῶν καὶ εὐγλωττίαν.

Οὗτος καὶ τὴν θυγατέρα αὐτοῦ Εἰρήνην ἀποθανοῦσαν ἀνέστησεν ὡς ἀπὸ ὕπνου, ἵνα φανερώσῃ ποῦ εἶχε τὴν κεκρυμμένην παρακαταθήκην. Αὐτὸς ἀνέστησε καὶ ἓν μικρὸν παιδίον μιᾶς γυναικός, εἶτα καὶ τὴν μητέρα αὐτοῦ τοῦ παιδίου, ἥτις ἀπέθανε ἀπὸ αἰφνίδιον χαράν, ἰδοῦσα τὴν ἀναζώωσιν τοῦ παιδίου αὐτῆς. Ἀλλὰ καὶ τὴν ἀφωνίαν τοῦ διακόνου ἰάτρευσε διὰ τῆς ὁποίας αὐτὸν ἐξεπαίδευσε πρότερον. Εἰς τοῦτον τὸν ἅγιον ὅταν ἱερούργει παρίσταντο ἅγιοι ἄγγελοι ἀνταποκρινόμενοι εἰς αὐτόν. Τούτου ἡ κεφαλὴ ἐφαίνετο γέμουσα δρόσου ἐν καιρῷ θέρους, ὅταν ὁ ἥλιος κατέφλεγε τὸ πᾶν· ἀλλὰ καὶ τρίχες ξανθαί, μαῦραι καὶ λευκαὶ ἐφαίνοντο ἀνθοῦσαι εἰς αὐτήν, ἐφανέρωνε δὲ δι᾽ αὐτῶν τῶν τριχῶν ὁ Θεός, τὴν εἰς αὐτὸν μέλλουσαν γενομένην ἀκμήν. Καὶ ἄλλα δὲ πολλὰ θαυμάσια ἔτι ζῶν ἐτέλεσεν οὗτος, τὰ ὁποῖα παραλείπομεν διὰ τὸ σύντομον, ὅστις ποιμάνας τὸ ἑαυτοῦ ποίμνιον καλῶς καὶ θεαρέστως, πρὸς Κύριον ἐξεδήμησε κατὰ τὸ τριακοστὸν πεντηκοστὸν ἔτος τὸ σωτήριον, τῇ ιβ΄. τοῦ Δεκεμβρίου μηνός, καταλιπὼν ἐν τῇ αὐτοῦ πατρίδι τὸ ἱερὸν αὐτοῦ τίμιον λείψανον εἰς παραμύθιον τῶν ὀρθοδόξων χριστιανῶν.



Περὶ δὲ τὰ μέσα τοῦ ἑβδόμου αἰῶνος, διὰ τὰς τότε τῶν βαρβάρων ἐπιδρομάς, τὸ αὐτοῦ ἅγιον λείψανον ἀδιάφθορον ὄν, μετεκομίσθη εἰς Κωνσταντινούπολιν, ἔνθα διέμεινε τιμώμενον καὶ ὑπ᾽ αὐτῶν τῶν εὐσεβῶν βασιλέων, πρὸ δὲ τῆς ἁλώσεως αὐτῆς, ἥτις ἐγένετο τῷ ͵αυνγ΄ (1453) ἔτει, Μαΐου κθ΄ ἱερεύς τις, τὴν κλῆσιν Γεώργιος Καλοχαιρέτης, ἐφημέριος ὢν ἐν τῷ ναῷ ἔνθα τὸ ἱερὸν τοῦτο κατέκειτο λείψανον, ὁμοῦ καὶ τὸ τῆς ἁγίας Θεοδώρας τῆς Αὐγούστης, ὁ ὁποῖος ἱερεὺς λαβὼν αὐτὰ διὰ τὸν ἐπικείμενον κίνδυνον, κατῆλθε διὰ μέσου τῆς Σερβίας μέχρι τῆς Ἄρτης, κἀκεῖθεν αὐξανομένων καθεκάστην τῶν τοῦ γένους ἡμῶν συμφορῶν, μετέβη εἰς τὴν νῆσον Κέρκυραν περί τὸ 1460 ἔτος, καὶ τὸ μὲν λείψανον τῆς ἁγίας Θεοδώρας ἐδωρήθη εἰς τὸ τῶν Κερκυρέων κοινόν, τὸ δὲ τοῦ ἁγίου Σπυρίδωνος μένει μέχρι τῆς σήμερον κατὰ δικαίωμα κληρονομικὸν πολύτιμος θησαυρὸς εἰς τοὺς αὐτοῦ ἀπογόνους, στήριγμα τῶν πιστῶν εἰς τὴν ὀρθοδοξίαν καὶ θαῦμα τῶν ὁρώντων ὑπερφυές· ὅτι καὶ μετὰ παρέλευσιν σχεδὸν χιλίων πεντακοσίων ἐτῶν καὶ ἐπέκεινα διαμένον ἀδιάφθορον, σώζει καὶ αὐτὴν ἔτι τοῦ δέρματος τὴν ἐλαστικότητα.

Ἀλλ᾽ ὅμως καὶ περὶ τῆς δευτέρας ἑορτῆς τοῦ ἁγίου τούτου, ἥτις ἐκτελεῖται κατὰ τὴν ἑνδεκάτην τοῦ Αὐγούστου μηνός, αὐτὴ λέγω ἐγένετο εἰς μνήμην τοῦ παραδόξου αὐτοῦ θαύματος, τὸ ὁποῖον ἐξετέλεσεν ὁ ἅγιος κατὰ τῶν ἀθέων Ἀγαρηνῶν, ὅτε οἱ αὐτοὶ διὰ ξηρᾶς καὶ διὰ θαλάσσης ἐπολιόρκησαν τὴν πόλιν Κερκύρας εἰς τὸ κατακυριεῦσαι αὐτήν· διότι κατὰ τὸ ἔτος ͵αψις΄ στόλος μέγας τῶν Ἰσμαηλιτῶν ἐν τῷ λιμένι τῆς πόλεως προσωρμίσθη, ἐκ τοῦ ὁποίου στόλου στρατός πολυάριθμος ἐξελθών, καὶ βαρβαρικὸν πόλεμον συγκροτήσας ἐπὶ ἡμέρας πεντήκοντα δεινῶς τοὺς πολίτας κατέθλιβον, εἶτα καὶ βουλὴν ἔθεντο τοῦ καταπατεῖσαι τὴν πόλιν· ἐπὶ τούτοις πᾶσιν, οἱ μὲν πολῖται οὐκ ἐπαύοντο ἡμέρας καὶ νυκτὸς τοῦ ἱκετεύειν τὸν ἱεράρχην μέγαν Σπυρίδωνα κατὰ τῶν βαρβάρων· οἱ δὲ βάρβαροι ὁρμήσαντες ἐν μιᾷ τῶν ἡμερῶν ἐπὶ τὸ ἀκρότειχον, πολλοὶ ἐξ αὐτῶν κακῶς ἀπώλοντο. Τῇ δὲ ἐπιούσῃ ὄρθρου βαθέως, ὀπτάνεται εἰς αὐτοὺς τοὺς ἐχθροὺς ὁ μέγας πατὴρ ἡμῶν Σπυρίδων μετὰ πλήθους στρατιᾶς οὐρανίου καὶ ἀστραπόμφορον ξίφος εἰς χεῖρας κρατῶν, τούτους σπουδαίως καὶ μετὰ θυμοῦ κατεδίωκε.

Τοιοῦτο λοιπὸν παράδοξον βλέποντες οἱ Ἀγαρηνοί αἴφνης εἰς φυγὴν ἀνετράπησαν καὶ ἀλλήλους ὠθούμενοι ἐξίσταντο εἰς τὸ γεγονός· ἔφυγον οὖν καὶ συνετρίβησαν τῷ φόβῳ ἄνευ πολέμου, ἢ πυρὸς ἢ μαχαίρας, μόνῃ τοῦ ἁγίου Σπυρίδωνος τῇ ἀοράτῳ δυνάμει. Καὶ ὁ μὲν στρατὸς τῶν ἀσεβῶν πεζῶν τε καὶ ἱππέων σὺν τῷ στόλῳ κακῶς ἀπεσκορακίσθησαν, οἱ δὲ πολῖται βλέποντες τὴν τόσον αἰφνίδιον φυγὴν τῶν ἐχθρῶν καὶ πλήρεις χαρᾶς γενόμενοι, ἐδόξαζον τὸν Θεὸν καὶ τὸν ἅγιον ἐμεγάλυνον. Καὶ ταῦτα μὲν περὶ τοῦ ἁγίου τούτου Σπυρίδωνος διὰ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν συντομίαν. Περὶ δὲ τοῦ ἑτέρου ἱεράρχου, ἤτοι τοῦ ἁγίου Διονυσίου, ταῦτα καὶ περὶ αὐτοῦ λέγομεν ἐν περιλήψει

---

Οὗτος οὖν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Διονύσιος, γέννημα καὶ θρέμμα ὑπῆρχε τῆς ἐν Ἑπτανήσῳ Ζακύνθου. Οὗτος ἐπειδὴ ἀπὸ παιδικῆς αὐτοῦ ἡλικίας ἠγάπησε πολὺ τὸν Θεόν, διὰ τοῦτο καὶ ἐγένετο μοναχὸς εἰς τὴν μονὴν τῶν Στροφάδων, εἶτα βαθμηδὸν ἀνέβη καὶ εἰς τὸ ἀξίωμα τῆς ἱερωσύνης καὶ μετ' οὐ πολύ, ἀρχιεπίσκοπος τῆς νήσου Αἰγίνης ἀποκαθίσταται· ἀλλ' ἐπειδὴ διὰ τὰς πολλὰς αὐτοῦ ἀρετὰς πολλὴν δόξαν ἐλάμβανε παρὰ τῶν ἀνθρώπων, τὴν ὁποίαν αὐτὸς ἐμίσει, διὰ τοῦτο παραιτηθεὶς τοῦ θρόνου, ἐπορεύθη πάλιν εἰς τὴν ἑαυτοῦ πατρίδα Ζάκυνθον καὶ ἡσύχαζεν εἰς τὸ μοναστήριον, τὸ ἐπιλεγόμενον τῆς Ἀναφωνητρίας, τὸ κείμενον εἰς τὰ ὑψηλότερα ὄρη καὶ ἡγουμενεύων ἐκεῖ. Οὗτος συνεχώρησε τὸν κακοποιὸν ἐκεῖνον ὅστις ἐφόνευσε τὸν ἑαυτοῦ ἀδελφόν· οὗτος προρευόμενός ποτε εἰς τὴν χώραν ἐν καιρῷ ῥαγδαίας βροχῆς, οὐδὲ ποσῶς ἥψατο αὐτοῦ ὁ ὑετός, ἀλλὰ καὶ τοῦ ποταμοῦ τὴν ὁρμὴν συνέστειλε καὶ ἐπέρασεν ἀβρόχως. Αὐτὸς ποτε δύο τινὰ λείψανα εἰς δεσμὸν εὑρισκόμενα, διὰ συγχωριτικῆς μόνης εὐχῆς διέλυσε· αὐτὸς διωρθώσατο καὶ τῶν ἁλιέων ἐκείνων τὸ φρόνημα, οἵτινες ἐφρόνουν ὅτι οἱ μεταξὺ τῶν λαϊκῶν ἱερωμένοι ἢ μοναχοὶ ὑπάρχοντες κάμνουν ὥστε νὰ μὴ κατευοδοῦται τὸ ἔργον τῶν λαϊκῶν· πρὸς τούτοις καὶ τὸν ἱερὸν Παγκράτιον ἐξομολογούμενον εἰς αὐτὸν καὶ λησμονήσαντα τὸ συμβεβηκός, ὃ ἔπαθεν ἐν τῇ θείᾳ λειτουργίᾳ, ὁ αὐτὸς εἰς αὐτὸν ἐνεθύμησε καὶ συνεχώρησεν.

Οὐ μόνον δὲ ζῶν ὁ ἅγιος ἐθαυματούργει, ἀλλὰ καὶ μετὰ θάνατον πάμπολλα θαύματα ἐποίησε καὶ ποιεῖ· διότι ἀφοῦ ἐκοιμήθη ἐν κυρίῳ τῇ δεκάτῃ ἑβδόμῃ τοῦ Δεκεμβρίου μηνὸς ἐν ἔτει αχκδ΄, φανεὶς κατ' ὄναρ ὁ ἅγιος εἰς τὸν ἡγούμενον τῆς μονῆς, καὶ εἰς τοὺς ἀδελφούς, διετάξατο αὐτούς, ὅπως ἐκβάλωσιν αὐτὸν ἀπὸ τοῦ τάφου, ὅθεν καὶ ἐξέβαλον αὐτοῦ τὸ πάντιμον λείψανον σῶον καὶ ἀδιάφθορον, πλῆρες εὐωδίας καὶ χάριτος, σώζοντα εἰσέτι καὶ τὰ ἀρχιερατικὰ αὐτοῦ ἄμφια ἀδιάφθορα μετὰ τῶν ὁποίων ἐτάφη καὶ τὸ ὁποῖον λείψανον θέντες εἰς λάρνακα μετεκόμισαν εἰς τὴν καθολικὴν ἐκκλησίαν καὶ τοῦτο ἔχουσιν οἱ χριστιανοὶ εἰς μεγάλην παραμυθίαν. Θαύματα γὰρ τελεῖ καθ' ἑκάστην καὶ ἰάσεις εἰς τοὺς μετὰ πίστεως αὐτῷ πλησιάζοντας καὶ πάντες τὰς ἰάσεις λαμβάνουσιν.

Οὗτος καὶ κατὰ τὸ ἔτος αχξα΄ σεισμοῦ γενομένου φρικτοῦ εἰς τὴν νῆσον ταύτην καὶ πολλῶν οἰκοδομῶν πεσόντων, μόνη ἡ οἰκία τοῦ ἁγίου, ἣν εἶχεν εἰς προσωρινὴν κατοίκησιν, μόνη αὐτὴ λέγω οὐκ ἔπεσε, καίτοι παλαιὰ οὖσα. Καὶ ἄλλοτε δὲ προεῖπεν ὁ ἅγιος τὸν σεισμόν, ὃν ἔμελλε γενέσθαι, πρὸ ὀκτὼ ἡμερῶν εἰς τὸ αὐτὸ μοναστήριον καὶ τὸν πεσόντα ἀπὸ τοῦ ὑψηλοῦ πύργου διέσωσεν. Ὁμοίως διέσωσε καὶ τὰ πρόβατα καὶ κτήνη τοῦ μοναστηρίου ὁπόταν ἐτυφλώθησαν, βασκανίᾳ τοῦ μισοκάλου δαίμονος, ῥαντίζοντες



αὐτὰ οἱ πατέρες διὰ τοῦ ἁγιασθέντος ὕδατος. Ὅθεν κατὰ τὸν αὐτὸν τρόπον ἐθεραπεύθη καὶ ἡ παράλυτος ἐκείνη γυνή, ἥτις ἡμίξηρος οὖσα καὶ ἄλαλος, ὑγιὴς ὅμως γέγονε, σταυρώσαντες αὐτὴν τῇ τοῦ ἁγίου λειψάνου μερίδι· ἀλλὰ καὶ ἕτερός τις ἐνοχλούμενος ὑπὸ πνεύματος πονηροῦ, ἀλείψαντες αὐτὸν οἱ πατέρες ἐλαίῳ ἐκ τῆς κανδήλας τοῦ ἁγίου καὶ ἀναγνώσαντες τοὺς ἐξορκισμοὺς τοῦ μεγάλου Βασιλείου, ἐλυτρώθη θαυμασίως ὑπὸ τοῦ δαίμονος. Ὁμοίως καὶ μία γυνὴ ἱκετεύουσα τὸν ἅγιον ὅπως χαρίσῃ εἰς αὐτὴν τέκνον ἀρσενικόν, ἐπέτυχε καὶ αὐτὴ τοῦ ποθουμένου. Ὁ δὲ ἱερὸς μόναχος Δανιήλ, ἀμφιβάλλλων εἰς ὅλα τὰ ἄνωθεν, ἐδίσταζεν εἰς τὴν ἁγιότητα τοῦ ἁγίου τούτου Διονυσίου, διὸ καὶ ἐπληροφόρησεν αὐτὸν ὁ Θεὸς μετά τινος τρόπου θαυμασιωτάτου καὶ οὕτως ἡσύχασε διηγούμενος τὸ θαυμάσιον.

Καὶ ταῦτα μὲν ἕως ὧδε τὰ εἰς τὴν μνήμην αὐτοῦ, περὶ δὲ τῆς ἀνακομιδῆς, ἀκούσωμεν καὶ δι' αὐτὴν ὀλίγα τινά.

Κατὰ τὸ ἔτος αψις΄ (1716), στόλος πολὺς τῶν Ἀγαρηνῶν πορευθεὶς εἰς τοὺς Κορφούς, ἐπέστρεψε καὶ εἰς τὴν Ζάκυνθον, ὁ δὲ ναύαρχος πορευθεὶς καὶ εἰς τὸ μοναστήριον τοῦ ἁγίου τούτου Διονυσίου, πολλὰ κακὰ ἐποίησεν ἐκεῖ· φόνους δηλ. καὶ κλοπάς, ἀλλὰ τίνα τὰ μετὰ ταῦτα; τὰ πάντα ἔλαβον αἴσιον πέρας τῇ τοῦ ἁγίου ἐπισκέψει. Τί δὲ εἴπω καὶ περὶ τοῦ ἀνδρογύνου ἐκείνου, οἵτινες ἄτεκνοι ὄντες ἐτεκνοποίησαν ταῖς πρὸς τὸν ἅγιον παρακλήσεσιν; Οὗτοι δηλαδὴ οἱ γονεῖς τοῦ παιδίου, λαβόντες αὐτὸ ἀπὸ Πελοποννήσου καὶ πορευόμενοι εἰς Ζάκυνθον ἵνα ἀποδώσωσι τὴν εὐχαριστίαν πρὸς τὸν ἅγιον καὶ θαλασσοποροῦντες, ἀπέθανε τὸ παιδίον αὐτῶν, οἱ δὲ μετὰ πίστεως, ἔχοντες τὸ παιδίον αὐτῶν νεκρόν, ἐπορεύοντο. Φθάσαντες οὖν ἐκεῖ, ὡς ἤγγισαν εἰς τὴν λάρνακα τοῦ ἁγίου λειψάνου, τὸ παιδίον ἀνέστη καὶ ἐδόξαζον τὸν Θεὸν οἱ γονεῖς αὐτοῦ. Ἀλλὰ καὶ ἄλλος τις πάσχων ἀπὸ κεφαλαλγίαν καὶ τυφλωθεὶς ἀνιάτως, ἰατρεύθη τῇ τοῦ ἁγίου χάριτι. Ἀλλὰ καὶ πλοῖόν τι κινδυνεῦον καταποντισθῆναι ἔξωθεν τῆς Ζακύνθου, τῇ πρὸς τὸν ἅγιον δεήσει, διεσώθη. Τότε δραμόντες οἱ ναῦται εἰς τὸν ναὸν τοῦ ἁγίου τοῦ ἀποδοῦναι τὴν εὐχαριστίαν, αὐτομάτως ἡ λάρναξ τοῦ ἁγίου λειψάνου ἀνοίξασα καὶ προσκυνήσαντες ἀνεχώρησαν χαίροντες.

Αὐτὸς ἐθεράπευσε καὶ τὴν ξηρανθεῖσαν χεῖρά τινος Ζακυνθίου, καὶ παράλυτον ἄλλην γυναῖκα καὶ ἄλλο τι πλοῖον κινδυνεῦον εἰς τὴν θάλασσαν, διέσωσεν· ὁμοίως ἐθεράπευσε καὶ τοὺς τυφλοὺς ὀφθαλμοὺς κορασίου τινός, ἀλλὰ καὶ ἄλλο παιδίον δηχθὲν ὑπὸ ὄφεως, ἐθεράπευσε· καὶ ἄλλα πολλὰ ἐτέλεσε καὶ τελεῖ ἕως τὴν σήμερον· καὶ ταῦτα μὲν τὰ περὶ τοῦ ἁγίου τούτου Διονυσίου. Ἀκούσωμεν δὲ καὶ τὰ περὶ τοῦ ἁγίου Γερασίμου ὀλίγα τινά.

---

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Γεράσιμος, ὑπῆρχεν ἔκ τινος χωρίου τῆς Πελοποννήσου Τρίκκαλα λεγόμενον, εὐσεβῶν γονέων υἱός, ὅθεν παιδευθεὶς τὰ ἱερὰ γράμματα καὶ φθά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σας εἰς νόμιμον ἡλικίαν, ἀνεχώρησεν ἐκ τῆς πατρίδος αὐτοῦ καὶ ἐζήτει ἵνα εὕρῃ τόπον ἐρημικὸν τοῦ ἡσυχάσαι. Ὅθεν πορευθείς, εἰς Ζάκυνθον καὶ διατρίψας ἐκεῖ ὀλίγον καιρόν, ἀναχωρεῖ ἐκεῖθεν καὶ περιφέρεται εἰς ὅλα τὰ μέρη τῆς Ἑλλάδος, εἶτα φθάνει εἰς Θεσσαλίαν, εἰς τὸν Εὔξινον Πόντον, εἰς Κωνσταντινούπολιν, εἰς Προποντίδα καὶ Χαλκηδόνα, εἶτα καὶ εἰς τὸ ἅγιον Ὄρος τοῦ Ἄθω ὅπως μονάσῃ ἐκεῖ καὶ τούτου γενομένου, ἐπεθύμησεν ἔπειτα ἵνα ὑπάγῃ καὶ προσκυνήσῃ τοὺς ἁγίους τόπους τῶν Ἱεροσολύμων. Ὅστις πορευθεὶς ἐκεῖ καὶ προσκυνήσας, ἐπορεύθη ἔπειτα καὶ εἰς τὸ Σίναιον ὄρος, εἴς τε τὴν Ἀντιόχειαν, Ἀλεξάνδρειαν καὶ Δαμασκὸν καὶ περιπατεῖ σχεδὸν ὅλην τὴν Αἴγυπτον, Ἀνατολὴν καὶ Λυβίαν. Ἠθέλησε γὰρ ὁ μακάριος καὶ γνήσιος δοῦλος τοῦ Δεσπότου Χριστοῦ, τοῦ μιμηθῆναι εἰς κάποιον τρόπον τοὺς σωματικοὺς κόπους καὶ μόχθους τῶν ἁγίων Ἀποστόλων· καὶ τοῦτο κατὰ διαφόρους τρόπους, ὅτι ἐκεῖνοι μὲν ἐκοπίασαν τοῦ κηρύξαι καὶ ἐπιστρέψαι τὰ ἔθνη εἰς θεογνωσίαν, οὗτος δὲ ἵνα γυμνάσῃ ἑαυτὸν εἰς περισσοτέρους ἀγῶνας καὶ συνάξῃ τὰ ἄνθη τῶν ἀρετῶν.

Μετὰ δὲ ταῦτα ἐπιστρέφει πάλιν εἰς τὰ Ἱεροσόλυμα, καὶ ὑπηρετεῖ εἰς τὸν πανάγιον καὶ ζωοδόχον Τάφον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χρόνον ἕνα κανδυλάπτης, δι' εὐλάβειαν· εἶτα χειροτονεῖται παρὰ τοῦ Πατριάρχου Ἱεροσολύμων κυρίου Γερμανοῦ κατὰ τάξιν τοὺς βαθμοὺς τῆς ἱερωσύνης καὶ ἐστάθη μετ' αὐτοῦ δώδεκα ὁλοκλήρους χρόνους, ἱερουργῶν μετὰ μεγάλης προθυμίας καὶ εὐλαβείας· εἶτα πορευθεὶς εἰς τὸν Ἰορδάνην ποταμὸν καὶ τελέσας ἐκεῖ τεσσαρακονθήμερον νηστείαν, στρέφεται εἰς τὸ Πατριαρχεῖον, καὶ οὕτω λαβὼν ἄδειαν ἵνα ἀπέλθῃ ὅπου ὁδηγήσῃ αὐτὸν ὁ Θεός, ἀναχωρεῖ ἐκεῖθεν καὶ ὑπάγει εἰς τὴν νῆσον Κρήτην, εἶτα εἰς Ζάκυνθον, ἔνθα εὑρίσκει ἕνα σπήλαιον εἰς τόπον κρημνώδη, εἰς τὸν ὁποῖον ἐστάθη χρόνους πέντε, τρεφόμενος διά κολοκυνθίων ἑψημένων ἄνευ τινὸς ἀρώματος, ἢ καὶ δι' ὀσπρίων βρεκτῶν, ὅθεν καὶ ὑπέμεινε πᾶσαν σκληραγωγίαν κατὰ μίμησιν τινῶν προκρίτων καὶ παλαιῶν ἁγίων, μὴ μεταχειρισθεὶς τελείως εἰς τὴν βρῶσιν αὐτοῦ ἄρτον ἐν διαστήματι χρόνων ὁλοκλήρων τριάκοντα. Ἀναχωρήσας δὲ καὶ ἀπὸ ἐκεῖ ὁ ἅγιος φθάνει τέλος πάντων καὶ εἰς τὴν νῆσον Κεφαλληνίαν, εἰς τὴν ὁποίαν εὐδόκησεν ὁ Θεὸς τοῦ διαμένειν μέχρι τέλους εἰς τόπον καλούμενον Ὁμαλᾶ. Ἐκεῖ λέγω εὑρὼν μικρόν τι ἐκκλησίδιον ἀνακαινίζει αὐτὸ ἐκ θεμελίων καὶ οἰκοδομήσας κελλία διάφορα, ἀποκαθιστᾷ αὐτὸ μοναστήριον καὶ νέαν Ἱερουσαλὴμ ὀνομάζει, συνάξας δὲ καὶ μοναστρίας ἕως εἰκοσιπέντε, ἐδίδασκεν αὐτὰς ἐπιμελῶς, καὶ ἦν εἰς αὐτὰς διδάσκαλος πρακτικώτατος διὰ τοῦ ἰδίου αὐτοῦ παραδείγματος· διὸ καὶ ὁ Θεὸς ἐδόξασεν αὐτὸν ἀπείροις θαύμασι, διότι γενομένης τότε ἀνομβρίας μεγάλης προστρέχει πρὸς αὐτὸν πᾶς ὁ λαὸς ὅπως δεηθῇ τῷ Θεῷ καὶ εὐθὺς εἰσήκουσεν ὁ Θεὸς τῆς δεήσεως αὐτοῦ· ὅθεν πᾶς ὁ λαὸς ἐξ ἑνὸς στόματος ἐδοξολόγησαν τὸν Θεὸν καὶ ἀπέδωκαν εἰς τὸν γνήσιον δοῦλον αὐτοῦ θεῖον Γεράσιμον τὰ χαροποιὰ αὐτῶν εὐχαριστήρια· ἔκτοτε οὖν φερόμενοι εἰς αὐτὸν οἱ δαιμονισμένοι παραδόξως ἐθεραπεύοντο, οἱ ἀσθενεῖς ἐθεώρουν τὴν ὑγείαν καὶ οὕτω καθεξῆς. Τὶ τὰ μετὰ ταῦτα; ἀπεκαλύφθη αὐτῷ ἐκ Θεοῦ ὅτι ἔφθασεν ὁ καιρὸς τοῦ μεταβῆναι εἰς τὴν μέλλουσαν ζωήν· καὶ λοιπὸν νουθετήσας καλῶς τὰς ὑπὸ τὴν προστασίαν αὐτοῦ μοναστρίας, παρέδωκε τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ ἐτῶν ἑβδομήκοντα καὶ ἐπέκεινα ἐν ἔτει ͵αφοθ.´ (1579) Αὐγούστου ιε´. Τὸ δὲ πάνσεπτον αὐτοῦ καὶ τίμιον λείψανον μένει καὶ αὐτὸ ἀδιάφθορον καθὼς καὶ τῶν ἑτέρων δύο ἁγίων, Σπυρίδωνός φημι καὶ Διονυσίου καὶ ἐνεργεῖ διάφορα θαύματα εἰς τοὺς μετὰ πίστεως αὐτῷ προσιόντας· καθὼς διέσωσε καὶ τὴν δαιμονισμένην ἐκείνην τὴν πεσοῦσαν εἰς τὸ φρέαρ κατὰ συνεργείαν τοῦ δαίμονος. Καὶ ἐπειδὴ τὴν θαυμάσιον πολιτείαν καὶ τὰ ὑπερφυῆ θαύματα τῶν ἐνταῦθα ἀναφερομένων τριῶν ἁγίων μετὰ συντομίας διηγήθημεν εἰς δόξαν Θεοῦ, εἰς αἶνον τῶν ἁγίων καὶ εἰς ὠφέλειαν τῶν ἀκροατῶν, ἰδοὺ καὶ τὸ τέλος ποιήσωμεν τῆς διηγήσεως, εὐχαριστοῦντες ὁλοψύχως τὸν Κύριον τὸν δοξάζοντα τοιουτοτρόπως τοὺς αὐτὸν δοξάζοντας, πρὸς τὸν ὁποῖον καὶ μεσίτας τιθέμεθα τοὺς τρεῖς τούτους προστάτας ἡμῶν καὶ μετὰ συντετριμμένης καρδίας ἱκετεύσωμεν αὐτοὺς λέγοντες.

Ὦ τριὰς ἁγία, τῆς παναγίας Τριάδος δοῦλοι γνήσιοι καὶ πιστοὶ θεράποντες, Σπυρίδων, Διονύσιε καὶ Γεράσιμε, πρὸς ὑμᾶς στρέφομεν σήμερον καὶ νοῦν καὶ καρδίαν καὶ παρακαλοῦμεν ὑμᾶς μετ' εὐλαβείας, ἵνα δέξησθε ἡμῶν τοὺς ὕμνους καὶ ἱκεσίας, τὰς ὁποίας προσφέρομεν, εἰ καὶ ἀπὸ ἀναξίων χειλέων ἐξέρχονται. Γενεῖτε λοιπὸν μεσῖται πρὸς τὸν Θεὸν θερμότατοι, εἰς ὅλους, οἵτινες μετὰ πίστεως προστρέχουσιν εἰς ὑμᾶς ἐξαιρέτως δὲ ἱκετεύομεν ὅπως φρουρεῖτε καὶ σκέπετε τὰς ἠγαπημένας ὑμῶν πατρίδας σὺν πάσῃ τῇ Ἑπτανήσῳ. Ἀλλὰ καὶ τὸ παρὸν μοναστήριον εἰς τὸ ὁποῖον ἡ σεβάσμιος ἡμῶν καὶ ἁγία εἰκὼν ἵσταται καὶ εἰς τὰς ὁποίας πατρίδας τὰ σεβάσμια ὑμῶν ἅγια λείψανα ἀδιάφθορα ἐκεῖ διαμένουσι καὶ αἱ ὁποῖαι φημὶ πατρίδες λαμπροφανῶς καὶ χαρμοσύνως ἑορτάζουσι σήμερον εἰς τὸν παρόντα μῆνα Αὔγουστον, εἴς τε τὰς ἕνδεκα τὸν ἅγιον Σπυρίδωνα, εἰς τὰς δέκα πέντε τὸν ἅγιον Γεράσιμον καὶ εἰς τὰς εἰκοσιτέσσαρας τὸν ἅγιον Διονύσιον, κατὰ δέ δίκαιον λόγον καὶ ἐν μιᾷ Κυριακῇ ἀπὸ τὰς δεκαπέντε ἕως τὰς εἰκοσιεννέα ὁμοῦ καὶ τοὺς τρεῖς. Ἐκ τούτου λοιπὸν ἀκόλουθον ὅτι ἀπολαμβάνομεν οἱ πάντες κοινὴν χαράν ὡς ἀξιωθέντες εἰς τοὺς ἐσχάτους τούτους καιροὺς ἰδεῖν καὶ ἔχειν τοιούτους προστάτας καὶ φύλακας, ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΚΑΝΩΝ
## Προεόρτιος εἰς τὸν ἅγιον Μεγαλομάρτυρα
# ΓΕΩΡΓΙΟΝ

(Ἐξ ἀρχαίου χειρογράφου τῆς Μονῆς τοῦ ἁγίου Παύλου ἐν ἁγίῳ Ὄρει)

### Ὠδὴ α'.

Ἦχος πλ. β'. Κύματι θαλάσσης

Κύματι θαλάσσης, ὁ κρύψας τὸ πάλαι, Θεὸς τὸν τύραννον, ὁ αὐτὸς σήμερον, τὸν νέον τύραννον φέρει, Γεωργίῳ ὑποχείριον, τῷ Κυρίῳ ψάλλοντι· ἐνδόξως γὰρ δεδόξασται.

Κύριε Θεέ μου, ἑόρτιον ὕμνον, κἀμὲ βουλόμενον, ᾀσματοσύνθετον, καὶ ἐγκωμίων τε πλήρων, Γεωργίῳ τῷ σῷ μάρτυρι, νῦν καὶ προεόρτιον, ἀξίωσον τοῦ πλέξεσθαι.

Ἄνω σου τὸ πνεῦμα, καὶ κάτω τὸ βλέμμα, πρὸς τὸν παράφρονα, πλάνην ἀπήλεγξας, τὴν πονηρὰν τῶν εἰδώλων, καὶ Χριστὸν Θεὸν ἐκήρυξας, ὑπὲρ οὗ καὶ ἔφερες, βελῶν τὰς τρώσεις ἅγιε.

Θεοτοκίον

Ἵνα σου τὴν δόξαν, τοῖς πᾶσι γνωρίσῃ Χριστὸς ἥν δέδοται, σοὶ τῷ θεόφρονι, ἐκ τοῦ αὐτοῦ καὶ τῆς τούτου, ἀνυμφεύτου Θεομήτορος, ἡ παροῦσα γέγονε, μαρτυρική σου κοίμησις.

### Ὠδὴ γ'.

Σὲ τὸν ἐπὶ ὑδάτων

Σὲ τὸν ἐπὶ τυράννου, τῷ βήματι παραστάντα ἀφόβως, τὰ πλήθη κατιδόντα, τῶν εὐσεβῶν τιτρωσκόμενον, θάμβει πολλῷ συνέχαιρον, μάρτυς Γεώργιε, τῇ πολλῇ σου γενναιότητι.

Σύμβολον τῆς σῆς δόξης, προέδειξας, τὴν τοῦ δράκοντος θραῦσιν, νῦν δὲ τὰ περὶ ταύτης, ἡ τῶν βασάνων ἐπίτασις, τὰ πάντα ἐβεβαίωσε, μάρτυς Γεώργιε, καὶ σοὶ φέρει τὰ θαυμάσια.

Ἥπλωσας τὰς παλάμας, Γεώργιε, καὶ τὸ σῶμά σου ὅλον, ἐν τῷ τροχῷ καὶ ἔτλεις, τῶν βασάνων τὴν κάκωσιν, καὶ πρὸς Θεὸν ἀνέκραζες· οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε φιλάνθρωπε.

Θεοτοκίον

Μνήματι καὶ σορῷ σου, Γεώργιε, οἱ ἐν Λύδδῃ καυχῶνται, ἡμεῖς δὲ οἱ ἐν Ἄθῳ, τῇ προστασίᾳ σου ἅπαντες, ἣν ἐξ αὐτῆς παρέλαβες, τῆς Θεομήτορος, κατ' ἐξαίρετον καυχώμεθα.

### Ὠδὴ δ'.

Τὴν ἐν σταυρῷ σου

Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν, μελετῶν Ἰησοῦ, ὁ μάρτυς σου ἐβόα, σὺ ἰσχυρόν με ἔδειξας, λίαν κατ' ἐχθρῶν, ἐν τῷ φέρειν βασάνων, πολλῶν τὴν κάκωσιν.

Ἑβδόμην πρώην καθηγίασεν, ἡμερῶν ὁ Χριστός, ὡς βροτὸς ἀναλύσας, σὺ δὲ αὐτὸν ἐδόξασας, ἤδη τῶν ἑπτά, σοῦ βασάνων τῷ εἴδει, μάρτυς Γεώργιε.

Ῥωμαλαιότητι τοῦ κρείττονος, Ἀθλητά τοῦ Χριστοῦ, τὸ πνεῦμα καὶ τὸ σῶμα, ἀμφότερα ἐσκεύασας, ἕνα τοῦ φρονεῖν, καὶ ἐχθροῖς μὴ ἡττᾶσθαι, Θεῷ δὲ πείθεσθαι.

Θεοτοκίον

Ὁ Ἅδης μάκαρ οὐ κατίσχυσε κατὰ σοῦ ἀντιπεῖν, Γεώργιε ἰδών σε, κατάστικτον τοῖς μώλωψι, τοῖς μαρτυρικοῖς, καὶ υἱὸν κατὰ θέσιν τῆς Θεομήτορος.



### Ὠδὴ ε'.

Θεοφανείας σου Χριστέ

Θεοφανείας σου Χριστέ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, ὁ μεγαλόφρων κατιδὼν Γεώργιος, ἔσπευσε σαφῶς μιμηθῆναί σου, τὰ τοῦ πάθους καὶ τῆς ταφῆς, καὶ τὸ τοῦ θανάτου, διὰ μαρτυρίου, εἶθ' οὕτως ἐπαπολαύσει τῆς ἐφέσεως.

Νεοποιεῖ τῶν γηγενῶν, τὰς καρδίας ἡ ἁγία σου μνήμη, ἀθλητὰ Γεώργιε κηρύττουσα, τὰ φρικτά σου πάντα μαρτύρια, ἃ ὑπέστης ὅλῃ ψυχῇ, ὑπὲρ Χριστοῦ, θαυμαστωθεὶς ὑπὲρ πάντας, τοῦ ὅλου ἐνιαυτοῦ αὐτοῦ τοὺς μάρτυρας

Διὰ θανάτου τῆς ζωῆς, διὰ βασάνων τῆς χαρᾶς ἠξιώθης, ἀφθαρσίας γὰρ τὸ στέφος εἴληφας, καὶ ἀθανασίας τὴν μέθεξιν, τὸ δὲ οὖς σου τὰς ἐκφοβήσεις οὐκ εἰσήκουσεν, οὐδὲ ἡ ψυχή σου τοῦ Ἅδου, ἁγιασθεῖσα μάρτυς ἔνδοξε.

Θεοτοκίον

Ἐκ τῆς ἑῴας προελθών, εἰς τὰ ἑσπέρια ἐν οἷς ἀθλοφόρε, μαρτυρίου ὑποστὰς τὰ πάνδεινα, ἐκαρατομήθης Γεώργιε, καὶ ἐστέφθης χειρὶ Θεοῦ, καὶ δόξης ἠξίωσαι, καὶ ἐθαυμαστώθης εἰκότως, ἐκ τῆς ἐνδόξου θεομήτορος.

### Ὠδὴ ϛ'.

Συνεσχέθη

Συνεσχέθης, ἀλλ' οὐ κατεσχέθης, λάκκῳ βληθεὶς πυροειδῆ, σὺ γὰρ τὴν χάριν εὗρες, ἐκ τοῦ παθόντος καὶ ταφῇ δοθέντος, τροπαιοφόρε θαυμαστὲ Γεώργιε, μεταδίδως δὲ αὐτὴν σοῖς δούλοις, φυλασσομένοις τὰ εὔθετα πρὸς Θεόν, καὶ τοῖς σὲ τιμῶσι τὰ θεόφρονα.

Ἀνῃρέθης, ἀλλ' οὐκ ἐπτοήθης, τὴν πανοπλίαν τοῦ ἐχθροῦ· εἰ γὰρ καὶ λέλυταί σου, τὸ φθαρτόν σου σῶμα ἐν τῷ πάσχειν, ἀλλὰ καὶ οὕτω ἄφθαρτον διέμεινεν, ἁγιότητος ὥσπερ δοχεῖον, καὶ θαυμαστοῦται νῦν, ὡς καὶ πρὸ καὶ μετὰ ταῦτα, ἀθλητὰ Χριστοῦ Γεώργιε.

Βροτοκτόνοι, καὶ ἁγιοκτόνοι, εἰσὶν οἱ πλάνης λατρευταί, εἰ γὰρ καὶ ἐπειράσθη, τῆς σαρκός σου ἡ φθαρτὴ οὐσία, ἀλλ' ἡ τεκοῦσα χάρις σοι διέμεινε, τὸ φθαρτὸν δέ σου εἰς ἀφθαρσίαν μετεποιήσατο, ὁ ὑπὲρ Χριστοῦ θάνατος, παμμακάριστε Γεώργιε.

Θεοτοκίον

Βασιλεύεις, μετὰ Βασιλέως, τοῦ οὐρανίου ἀθλητά, οὐ γὰρ τμηθεὶς τῷ ξίφει, ὑπὲρ τῆς Χριστοῦ θεότητος τρισμάκαρ ἐθαυμαστώθης ὑπεράνθρωπον ἡ δὲ πανάχραντος καὶ Θεοῦ Μήτηρ, σὲ ἐξελέξατο ἄμεσον πρὸς αὐτὸν πρέσβυν ὑπὲρ ἡμῶν, τῶν ἐν Ἄθῳ σε Γεώργιε.

### Ὠδὴ ζ'.

Ἄφραστον θαῦμα

Πῶς ἐν καμίνῳ, διέσωσας τῆς ἀσβέστου, σοῦ τὸν ἀθλητήν, καὶ νῦν τὸν αὐτόν, θαυμαστὸν ἀνέδειξας, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Τέτρωται πλάνη, τοῦ Γεωργίου ἀθλήσαντος, καὶ συγχαίρει, ὁ πιστὸς λαός, μεθ' οὗ καὶ ἡμεῖς νῦν προεορτάζομεν, ἐπὶ τῇ μνήμῃ αὐτοῦ ἀναβοῶντες· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὄλβιος ὅλος, ἀποτμηθείσης τῆς κάρας σου, ἀνεδείχθης, μάρτυς τοῦ Χριστοῦ, καὶ πρέσβυς κοινός, καὶ προστάτης φάνηθι, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Μία ὑπάρχει, ἡ ὑπερένδοξος μνήμη σου, ἐν ταῖς μοναῖς σου καὶ ἐν τῷ παντί, κοινοῖς σου ναοῖς, ἀθλητὰ Γεώργιε, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

### Θεοτοκίον

Ναὸν σεπτόν σου, Παρθενομῆτορ δεδώρησαι, τῷ πιστῷ σου μάρτυρι καὶ νῦν, ἐν τούτῳ αὐτός, καὶ σὺ ἐν αὐτῷ χάριτας παρέχεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ.

### Ὠδὴ η΄.

### Ἔκστηθι φρίττων

Ἔκστηθι νῦν ἑορταστά, δι᾿ ἃς ἠξίωται, δωρεὰς παρὰ Θεοῦ, τροπαιοφόρος ὁ κλεινὸς Γεώργιος, ὃς ἐν ὑψίστοις οἰκεῖ, καὶ χαίρει Χριστοῦ τῇ παρουσίᾳ, ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Λέλυται μέν σου ὁ ναὸς, ᾧ ἐζεύγνυτο, ἡ ἁγία σου ψυχή, ἡ χάρις δέ σου ἡ οὐράνιος, τροπαιοφόρε Χριστοῦ, ἀχώριστος τῷ σκήνει σου μένει, δι᾿ οὗ Πατὴρ ὑμνεῖται, Υἱὸς δοξολογεῖται, καὶ Πνεῦμα προσκυνεῖται εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται τόλμα ἀσεβῶν, σοῦ ἀριστεύσαντος, κατ᾿ αὐτὴν ὦ ἀθλητά, νεκρὸν γὰρ καὶ ξηρὸν τὸ σκῆνός σου, φοβίζει τὰς τοῦ σκότους ἀρχάς, πληρούμενον Θεοῦ τῇ ἰσχύϊ. Ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

### Θεοτοκίον

Ὢ τῶν θαυμάτων τῶν καινῶν, ὧνπερ ἐτέλεσε, καὶ τελεῖ ἐπὶ τῆς γῆς, ὁ σὸς Παρθένε ἀθλητὴς Γεώργιος, καὶ σοῦ Υἱοῦ καὶ Θεοῦ, σὺ Πάναγνε πρεσβείαις μοι δίδου, βοᾶν τῷ ἐν ὑψίστοις, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε Αὐτὸν εἰς τοὺς αἰῶνας.

### Ὠδὴ θ΄.

### Μὴ ἐποδύρου μου

Μὴ ἐποδύρου μου κράζει, γῇ πατρῴᾳ ὁ μάρτυς, ὅτι νεκρόν με νῦν ὁρᾷς, τὸν γνήσιον Υἱόν, ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι, καὶ καθίσω ἐν δόξῃ, Χριστοῦ ἐκ δεξιῶν, ὅταν ἔλθῃ τοῦ κρῖναι, αὐτὸς τὰ σύμπαντα.

Ἐπὶ τῇ πρώτῃ σου δόξῃ, ἡ πατρὶς ἀπεκρίθη, ὑπὲρ ἐκείνης ἐφημίσθην, φίλτατε υἱέ, νῦν δέ σε ὁρῶσα, νεκρὸν ὑπὲρ τοῦ Χριστοῦ, εἰ καὶ λύπῃ ὡς μήτηρ συνέχομαι δεινῶς, ἀλλὰ χαίρω ἰδοῦσά σε Χριστοῦ μάρτυρα.

Γῆ μοι καλύψει τὸ σῶμα, πρὸς αὐτὴν ἀπεκρίθη, ὅτε νεκρὸς ἐπὶ τῆς γῆς, ἡπλώθη ὁ αὐτὸς, ὁ θεόσοφος μάρτυς, Χριστοῦ Γεώργιος, ὅταν δὲ ἀνακάμψω, ἐκ τάφου πρὸς αὐτόν, τὸν ναόν μου ἐνδόξως ὑπερδοξάσω σε.

### Θεοτοκίον

Ἀγαλλιάσθω ἡ κτίσις καὶ οἱ ὄρους τοῦ Ἄθω, οἱ μονασταὶ καὶ ἀσκηταί, καὶ γὰρ κατ᾿ ἐξοχήν, ὡς προστάτην μὲν ἔχομεν τὸν Γεώργιον, Βασιλίδα δὲ μόνην, Παρθένον τὴν ἁγνήν, ἣ τὴν πᾶσαν ἐλπίδα, ἡμῶν τιθέμεθα.

# ΥΠΟΜΝΗΜΑ

## Περὶ τῶν τιμίων δώρων τῶν μάγων, ἐν τῇ τοῦ ἁγίου Παύλου ἱερᾷ Μονῇ τὴν ἐν τῷ Ἄθῳ, εὑρισκομένων.

**Καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεκαν αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν· ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. (Ματθ. β΄. 11.)**

Ὅτε ἔμελλεν ἡ Κυρία Θεοτόκος ἐκδημῆσαι πρὸς τὸν ἑαυτῆς υἱὸν καὶ Θεόν, δι᾿ Ἀγγέλων κομισθεῖσα τὰ εὐαγγέλια παρὰ τοῦ Υἱοῦ αὐτῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τότε μετὰ χαρᾶς δεξαμένη τὸν λόγον καὶ τῷ πόθῳ τῆς πρὸς τὸν Υἱὸν αὐτῆς θείας μεταστάσεως προσεύξασθαι ἄρχεται καὶ φωταγωγεῖ τὴν οἰκίαν εὐχαριστήσασα τῷ Θεῷ· εἶτα συγκαλεῖ τὸν ἀδελφόθεον Ἰάκωβον καὶ τοὺς συγγενεῖς καὶ γείτονας καὶ ἑτοιμάζει τὰ πρὸς ταφὴν ἐπιτήδεια· τοῖς λέγει τὰ λεχθέντα παρὰ τοῦ Ἀγγέλου καὶ τὴν πρὸς οὐρανοὺς αὐτῆς θείαν μετάστασιν. Τοῦτο δὲ ἀκούσαντες πάντες, θρήνοις καὶ δάκρυσιν ὠλοφύροντο. Ἡ δὲ Κυρία Θεοτόκος παραμυθητικοῖς ῥήμασι τὸ τῆς λύπης ἀφῄρει, διαβεβαιοῦσα ὅτι ἔμελλε περισκέπειν αὐτοῖς καὶ παντὶ τῷ κόσμῳ. Εἶτα συγκαλεῖ τὰς δύο θεραπαινίδας αὐτῆς, αἵτινες ἦσαν πισταὶ καὶ διηκόνουν τὰς καθημερινὰς ὑπηρεσίας καὶ τὰ πρὸς τροφὴν ἐκομίζοντο. Παρηγορεῖ αὐτὰς τὸ πολὺ τῆς λύπης καὶ τῶν δακρύων καὶ λαβοῦσα τοὺς δύο χιτῶνας αὐτῆς ἐνεχείρισεν εἰς αὐτάς. Εἶτα λαβοῦσα εἰς τὰς ἁγίας αὐτῆς χεῖρας τὸν πάντιμον θησαυρόν, τὰ τίμια καὶ ἅγια δῶρα χρυσὸν καὶ λίβανον καὶ σμύρναν, ἅπερ οἱ Βασιλεῖς Μάγοι προσήνεγκαν Χριστῷ τῷ Θεῷ ἡμῶν καὶ τὰ ὁποῖα ἡ Κυρία Θεοτόκος συνετήρει πάντα καὶ εὐλογήσασα αὐτὰ ἐνεχείρισεν εἰς αὐτὰς τὰ πάντιμα καὶ τίμια δῶρα χρυσὸν καὶ λίβανον καὶ σμύρναν σὺν τοῖς ἁγίοις σπαργάνοις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰ Ἱερὰ ταῦτα σύμβολα τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, τὰ τίμια καὶ σεβάσμια ἅπερ ἐδόθησαν εἰς αὐτὰς τὰς πιστὰς καὶ ἱερὰς παρθένους, Ἰουδαίας μὲν κατὰ τὸ γένος, χριστιανὰς δὲ κατὰ τὴν πίστιν καὶ ἐχαρίσθησαν εἰς αὐτὰς παρὰ τῆς Θεοτόκου, ὡς ὁ λόγος ᾄδεται καὶ κατὰ διαδοχὴν ἐκ μιᾶς εἰς ἄλλην μυστικῶς παρεπέμφθησαν εὐλαβῶς τιμώμενα.

Οὕτω, ταῦτα τὰ ἱερὰ σύμβολα διετηρήθησαν παρέχοντα ἰάσεις διαφόρων νοσημάτων, τοῖς προστρέχουσι, καὶ ἐφύλαξαν τὴν εὐωδίαν καὶ παρέχοντα παντοδαπὰ ἰάματα τοῖς εὐλαβῶς αὐτὰ προσκυνοῦσι. Μαθόντες δὲ ἐν τῇ Κωνσταντινουπόλει τινὲς φιλόθεοι τὴν χάριν, ἣν παρέχουσιν, ὑγείαν ψυχῆς τε καὶ σώματος τὰ ἅγια καὶ τίμια τοῦ Σωτῆρος Χριστοῦ δῶρα ταῦτα, ἦλθον καὶ εἶπον πρὸς τὸν Βασιλέα Ἀρκάδιον, ὅτι εἰς Ἱεροσόλυμα διαφυλάττονται τὰ θεῖα δῶρα τῶν μάγων σὺν τοῖς ἁγίοις σπαργάνοις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰ ὁποῖα ὡς ἱερὰν παρακαταθήκην ἔδωσεν ἡ Κυρία Θεοτόκος εἰς τὰς ὑπηρετούσας αὐτὴν παρθένους καὶ εὑρίσκονται σήμερον εἰς χεῖρας παρθένου, ἥτις εἶναι κατὰ διαδοχὴν κληρονόμος αὐτῶν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Εἰσὶ δὲ οἱ χιτῶνες τῆς Ὑπεραγίας Θεοτόκου καὶ ἡ ἁγία ζώνη, τὰ ἅγια δῶρα τῶν μάγων καὶ τὰ ἅγια σπάργανα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὗτοι παρεκάλουν τὸν Βασιλέα, ἵνα μετὰ σπουδῆς πέμψῃ εἰς Ἱεροσόλυμα καὶ ἀποκομίσῃ εἰς Κωνσταντινούπολιν τῆς δεσποίνης ἡμῶν Θεοτόκου τὰ ἅγια φυλακτήρια, τὴν ἱερὰν παρακαταθήκην πρὸς ἁγιασμὸν τοῦ λαοῦ καὶ ἀρωγὴν τῆς βασιλευούσης πόλεως. Ὁ δὲ βασιλεὺς Ἀρκάδιος ἔπεμψεν εἰς Ἱεροσόλυμα ἱεροπρεπεῖς ἄνδρας καὶ βασιλικὸν πλοῖον καὶ ἔλαβον ἀπὸ τὴν φιλόθεον παρθένον ἐκείνην τὴν ἱερὰν παρακαταθήκην τῆς Ὑπεραγίας Θεοτόκου καὶ μὲ ὕμνους καὶ θυμιάματα ἐξαγαγόντες ἀπὸ τὰ Ἱεροσόλυμα τὰ ἅγια φυλακτήρια ταῦτα καὶ ἐν Κωνσταντινουπόλει ἀποκομίσαντες, τῷ βασιλεῖ παρέδωκαν. Ὁ δὲ βασιλεὺς Ἀρκάδιος πεσὼν καὶ προσκυνήσας πίστει καὶ πόθῳ πολλῷ καὶ δεξάμενος εἰς τὰς χεῖρας αὐτοῦ ταῦτα, κατησπάζετο ἀκορέστως, ὁμοίως καὶ οἱ τοῦ βασιλέως ὑπουργοὶ καὶ σύμπας ὁ λαὸς ἀφάτου χαρᾶς καὶ εὐφροσύνης ἐπληρώθησαν. Μετὰ τὸν ἀσπασμὸν καὶ τὴν προσκύνησιν ἅπαντες μετὰ τοῦ ἐκκλησιαστικοῦ πληρώματος καὶ μετὰ δορυφορίας ψαλμῶν καὶ ἀπείρων φώτων κατὰ τὴν ἁρμόζουσαν τάξιν εἰς τὰ βασίλεια ἀπῆλθον καὶ κατέθεντο τὰ ἅγια ταῦτα τῆς Κυρίας ἡμῶν Θεοτόκου φυλακτήρια, τὴν ἁγίαν ταύτην παρακαταθήκην, βασιλικὰ δῶρα βασιλέων Περσῶν, ὡς ὁ λόγος ἐδήλωσε. Καὶ εἰς δόξαν τῶν πιστῶν, εἰς φύλαξιν καὶ ἀρωγὴν βασιλέων καὶ εἰς ἀσφάλειαν ὅλης τῆς βασιλευούσης· διότι δι' αὐτῶν κατὰ καιροὺς καὶ χρόνους διεσώσατο τὴν ἑαυτῆς πόλιν ἡ Κυρία Θεοτόκος.

Ἐφυλάχθησαν δὲ σῶα πάντα ταῦτα τὰ ἱερὰ κειμήλια τῆς Ἐκκλησίας, ἕως εἰς τοὺς χρόνους μετὰ Χριστὸν 1203. Τότε οἱ βασιλεῖς φθάσαντες εἰς ἐσχάτην ἀνέχειαν, ἀπεφάσισαν καὶ ἔδωσαν γνώμην νὰ γίνῃ συνάθροισις τῶν ἱερῶν σκευῶν καὶ κειμηλίων καὶ ἐξ αὐτῶν νὰ πληρωθῶσι τὰ ὑποσχεθέντα χρήματα εἰς τοὺς πολιορκοῦντας τὴν Κωνσταντινούπολιν σταυροφόρους. Ὁ δὲ λαὸς ἀγανακτήσας ἐφώρμησε καὶ ἐφόνευσε τοὺς βασιλεῖς καὶ οἱ Λατῖνοι ἀφ' ἑτέρου πολλὰ ὀργισθέντες ἐκυρίευσαν τὴν Κωνσταντινούπολιν. Οἱ δὲ εὐγενεῖς τῆς πόλεως λαβόντες τὰ ἱερὰ κειμήλια καὶ πάντας τοὺς ἱεροὺς θησαυροὺς καὶ τὰ ἱερὰ σκεύη, κατέφυγον εἰς τὴν Ἀσίαν, εἰς τὴν Νίκαιαν πόλιν τῆς Βιθυνίας, ὅπου ἐκεῖ ἔστησαν τὸ βασίλειόν των.

Ὁ δὲ πατριάρχης κατέφυγεν εἰς Διδυμότοιχον. Ἀφοῦ δὲ παρῆλθον χρόνοι ἑξήκοντα, ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Παλαιολόγου, ἐκυριεύθη πάλιν ἡ Κωνσταντινούπολις καὶ ἔλαβε τὸν στολισμόν της. Ὁ δὲ ἐν αὐτῇ Φράγκος βασιλεὺς Βαλδουῖνος, φυγών, ἔσωσε τὴν ζωήν του καὶ οὕτως ἐσυνάχθησαν τὰ ἱερὰ καὶ ἅγια κειμήλια καὶ λοιπὰ ἱερὰ σκεύη καὶ ἅγια δωρήματα εἰς τὰ βασίλεια τῆς Κωνσταντινουπόλεως καὶ ἐφυλάττοντο ὡς παρακαταθήκη σωτήριος ταύτης τῆς βασιλευούσης πόλεως.

Ἐν τούτοις τοῖς χρόνοις ἐπέρασαν ἀπὸ τὴν Ἀσίαν εἰς τὴν Θράκην τὰ ὀθωμανικὰ στρατεύματα καὶ ἐκυρίευσαν τὴν Ἀνδριανούπολιν καὶ πᾶσαν τὴν Θρακικὴν Μακεδονίαν καὶ ἔφθασαν ἕως εἰς τὰ βασίλεια τῆς Σερβίας, τὴν ὁποίαν καὶ ἐπολιώρκησεν ὁ Σουλτὰν Μουράτ. Ὁ δὲ Γεώργιος ὁ βασιλεὺς τῆς Σερβίας, εἶχε θυγατέραν ὡραιοτάτην, Μάρω λεγομένην, ταύτην ἐζήτησεν ὁ Σουλτάνος Μουρὰτ νὰ τὴν λάβῃ νόμιμόν του γυναῖκα καὶ οὕτω νὰ λύσῃ τὴν πολιορκίαν καὶ τοὺς πολέμους ἀπὸ τὴν Σερβίαν καὶ νὰ εἶναι παντοτε μὲ τὸν σύνδεσμον τῆς συγγενικῆς ἀγάπης. Ὁ δὲ βασιλεὺς Γεώργιος στέργει εἰς τὰς ἀπαιτήσεις τοῦ Σουλτάνου καὶ τοῦ δίδει διὰ νόμιμόν του γυναῖκα τὴν θυγατέρα του Μάρω μὲ τὴν συμφωνίαν νὰ εἶναι ἐλευθέρα εἰς τὰ χριστιανικὰ χρέη της. Ἐξ αὐτῆς ὁ Σουλτὰν Μουρὰτ ἐγέννησε τὸν Σουλτὰν Μεχμέτ, ὅστις ἐβασίλευσε μετὰ τὸν θάνατον τοῦ πατρός του ἐν ἔτει 1450. Οὗτος ἀφοῦ προητοίμασε, τὰ ἁρμόδια ἅρματα, ἤρχισε καὶ ἐπολιώρκησε στενῶς τὴν Κωνσταντινούπολιν, τὴν ὁποίαν μετὰ πεντήκοντα τέσσαρας ἡμέρας, ἐλεεινῶς ἐπόρθησεν ἐν ἔτει 1453. Ἀποκατασταθεὶς κύριος καὶ βασιλεὺς τῆς Κωνσταντινουπόλεως ὁ Σουλτὰν Μεχμέτ, ἔδωσεν εἰς τοὺς χριστιανοὺς τὴν ἄδειαν νὰ ἐκτελοῦν ἐλευθέρως καὶ ἀφόβως τὰς ἐκκλησιαστικὰς αὐτῶν τάξεις καὶ συνηθείας, διότι ἐγνώριζε τὰ χριστιανικὰ ἔθιμα ἀπὸ τὴν μητέρα του Μάρω. Ἡ δὲ βασίλισσα Μάρω εὑρέθη καὶ αὐτὴ τότε εἰς τὴν βασιλεύουσαν πόλιν καὶ λαβοῦσα ἀπὸ τὸ βασιλικὸν θησαυροφυλάκιον τὰ πάντιμα καὶ ἅγια τίμια δῶρα τῶν μάγων, τὴν ἀνεξάντλητον πηγὴν τῶν ἰαμάτων, τὰ ἐφύλαττεν εὐλαβῶς εἰς τὸ ἑαυτῆς βασίλειον τιμώμενα μὲ θυμιάματα καὶ φῶτα ὡς ἔπρεπεν. Αὕτη εὐλαβουμένη τὸν Φιλιππουπόλεως μητροπολίτην Διονύσιον, ὡς χρηματίσαντα μαθητὴν τοῦ ἁγίου Μάρκου Ἐφέσου, ἠθέλησε διὰ νὰ τὸν προβιβάσῃ πατριάρχην καὶ προσελθοῦσα, εἰς τὸν βασιλέα τὸν παρεκάλεσε νὰ γίνῃ ὁ Διονύσιος πατριάρχης. Ὁ δὲ βασιλεὺς εἶπεν αὐτῇ, ποίησον μῆτέρ μου ὅ,τι θέλεις καὶ οὕτως ἔγινε πατριάρχης ὁ Διονύσιος. Πλὴν διαλογιζομένη ἡ κυρία Μάρω τὸ ἀπαραίτητον τοῦ θανάτου, ἐδυσχέραινεν εἰς τὰ βασίλεια, προσῆλθε λοιπὸν ἐνώπιον τοῦ βασιλέως καὶ τοῦ ἐζήτησε νὰ περάσῃ τὸ ὑπόλοιπον τῆς ζωῆς της ἔξω τῶν βασιλικῶν μεγάρων ἐν ἡσυχίᾳ. Ὁ δὲ Σουλτάνος ὡς ἤκουσε τὴν φρόνησίν της, ὑπακούσας, ἐδωρήσατο αὐτῇ πᾶσαν τὴν ἐπαρχίαν τῆς Ἔζωβας διὰ κατοικίαν της καὶ νὰ νέμεται τὰ βασιλικὰ εἰσοδήματα πρὸς ζωοτροφίαν της.

Αὕτη ἡ ἐπαρχία ἐστὶ πλησίον τῶν Σερρῶν καὶ πρὸς τὸν ποταμὸν Στρυμόνα. Ἐμβᾶσα λοιπὸν εἰς τὸ βασιλικὸν πλοῖον μεθ' ὅλων τῶν θησαυρῶν ὅπου εἶχε, φέρουσα μεθ' ἑαυτῆς καὶ τὰ τίμια καὶ ἅγια δῶρα τῶν Μάγων διὰ νὰ ἔλθῃ εἰς τὴν δωρηθεῖσαν ἐπαρχίαν τῆς Ἔζωβας καὶ πλέουσα ἔφθασε πρὸς τὸ ἀκρωτήριον τοῦ Ἄθωνος εἰς τὸ νεώριον τῆς Ἱερᾶς Μονῆς τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ ἐν Ἄθῳ (ἐγίνωσκε δὲ καλῶς τὸ Ἱερὸν Μοναστήριον τοῦτο, διότι ὁ πατὴρ αὐτῆς Γεώργιος ὁ βασιλεὺς τῆς Σερβίας ᾠκοδόμησε τὸν καθολικὸν ναὸν τοῦ μοναστηρίου εἰς ὄνομα τοῦ ἁγίου Γεωργίου καὶ ὡς κτήτωρ καὶ προστάτης τῆς Μονῆς τοῦ ἁγίου Παύλου ἐγνωρίζετο) προσωρμίσθη τὸ βασιλικὸν πλοῖον πρὸς τὸ νεώριον τῆς Μονῆς τοῦ ἁγίου Παύλου μετὰ τῆς βασιλίσσης κυρίας Μάρω.

Μαθόντες τοῦτο οἱ ἱερεῖς καὶ μοναχοὶ πατέρες τῆς μονῆς, πάντες οἱ ἀδελφοὶ καὶ τὸ τοῦ λαοῦ πλῆθος, χαρᾶς ἀπείρου πλησθέντες, ἐξῆλθον τῆς μονῆς μετὰ φανῶν καὶ λαμπάδων καὶ θυμιαμάτων, καὶ μεθ' ὕμνων καὶ ψαλμῶν κατὰ τὴν ἁρμόζουσαν τάξιν τῆς μονῆς πρὸς ὑπάντησιν τῶν τιμίων δώ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρων τῶν Μάγων, ἅπερ προσεκόμισεν ἡ κυρία Μάρω, νὰ τὰ ἀναθέσῃ εἰς τὴν ἱερὰν μονὴν τοῦ ἁγίου Παύλου κατὰ τὴν ἐπιθυμίαν της. Ἀνήρχοντο δὲ οὕτω πάντες πρὸς τὸ ἱερὸν μοναστήριον τοῦ ἁγίου Παύλου κατὰ τὴν ἐπιθυμίαν της, καὶ ὅταν ἔφθασαν ἕως τὴν μονόστηλον ἐλαίαν, ἥτις καὶ σήμερον σώζεται, πρὸς πετρώδη τινὰ ὄχθην, ἀπέναντι καὶ πλησίον τῆς Μονῆς, ἠκούσθη φωνὴ ἀόρατος, λέγουσα· Μάρω, μὴ προβῇς περαιτέρω. Ἐκπλαγεῖσα ἐπὶ τῷ ἀκούσματι ἡ βασίλισα ἐστάθη ἐκεῖ· ἀνοίξασα δὲ τοὺς θησαυροὺς ἐπὶ τοῦ τόπου τούτου, ἐθεωρεῖτο ὡς ἄλλη πανήγυρις καὶ ἑορτή. Καὶ φωνὴ ἀγαλλιάσεως μετ' εὐφημίας ἀναφθεγγομένη ἡ Βασίλισσα κατασπαζομένη ἔλεγε· ὦ δῶρα τίμια, ἅπερ ταῦτα προσήνεγκαν οἱ μάγοι Περσῶν Βασιλεῖς, χρυσὸν καὶ λίβανον καὶ σμύρναν Χριστῷ τῷ Θεῷ καὶ Σωτῆρι ἡμῶν, τῶν πιστῶν ἅπαν τὸ πλήρωμα σκεπάσατε, καὶ ἐκ πάσης ἐπηρείας ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν ἀβλαβεῖς διαφυλάξατε, καὶ εἰς ἰατρείαν παντοδαπῶν νόσων καὶ πονηρῶν πνευμάτων διωκτήριον ἔσεσθε.

Προσκυνήσασα δὲ εὐλαβῶς, ἀφιέρωσε τὰ πάντιμα καὶ ἅγια δῶρα τῶν μάγων, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, ὡς μίαν ἀναφαίρετον παρακαταθήκην εἰς τὴν ἱερὰν μονὴν τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ Ἄθῳ· καὶ οὕτως ἀποχαιρετήσασα μετὰ θερμῶν δακρύων, κατέρχεται διὰ νὰ ἐμβῇ εἰς τὸ βασιλικὸν πλοῖον, συνακολουθουμένη μετὰ τῶν εὐχῶν καὶ εὐλογιῶν τῶν πατέρων. Οἱ δὲ σεβαστοὶ ἐκεῖνοι πατέρες ἐνέπηξαν τίμιον σταυρὸν, ἐκεῖ ὅπου ἠκούσθη ἡ ἀόρατος φωνή, ὅστις σώζεται καὶ μέχρι σήμερον, καὶ λέγεται Σταυρὸς τῆς βασιλίσσης. Ἐχαρίσατο δὲ καὶ ἄλλα σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ χρυσοϋφαντα δωρήματα εἰς δόξαν Πατρὸς Υἱοῦ καὶ Ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Τέλος καὶ τῷ Θεῷ δόξα.

# ΒΙΟΣ

## Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Μάρκου, Ἀρχιεπισκόπου Ἐφέσου τοῦ εὐγενικοῦ, ἐν περιλήψει.

**(Παραλειφθεὶς ἐκ τοῦ προηγουμένου τεύχους τῆς Ἀκολουθίας του)**

Μία ἀπὸ τὰς ἰσχυροτέρας καὶ ἡρωικωτέρας μορφὰς ὄχι μόνον τῆς Ὀρθοδόξου Ἐκκλησίας ἀλλὰ καὶ τῆς παγκοσμίου ἱστορίας. Ἡ καταγωγή του ἦτο ἀπὸ τὴν Κωνσταντινούπολιν, Γεώργιος δὲ ὠνομάζετο ὁ πατήρ του καὶ εἶχε τὸ ἀξίωμα διακόνου, καὶ Μαρία ἡ μήτηρ του.

Καὶ ὁ Μᾶρκος καὶ ὁ ἀδελφός του Ἰωάννης ἦσαν φύσεις ἐπιδεξιώταται. Καὶ οἱ δύο ἀνεδείχθησαν ἔξοχοι ὄχι μόνον εἰς τὰς θεολογικὰς σπουδάς, ἀλλὰ καὶ εἰς τὴν ἐξωτερικὴν σοφίαν· ὁ δὲ Μᾶρκος ἦτο προωρισμένος νὰ ἀναδειχθῇ ὁ ἔνδοξος πρωταγωνιστὴς τῆς ὀρθοδόξου πάλης κατὰ τῶν προσπαθειῶν τῆς παπωσύνης, ὅταν αὕτη κατὰ τοὺς τελευταίους χρόνους τῆς Βυζαντινῆς Αὐτοκρατορίας ἐζήτει νὰ ἀπορροφήσῃ τὴν Ἀνατολικὴν Ἐκκλησίαν ἐπωφελουμένη τὴν τότε ἀπελπιστικὴν κατάστασιν τῶν πολιτικῶν πραγμάτων τῆς Ἀνατολῆς.

Μὲ τὴν ἰδέαν, ὅτι θὰ ἠδύνατο νὰ ἐπιτύχῃ εὐρωπαϊκὴν βοήθειαν, ὁ βασιλεὺς Ἰωάννης ὁ Παλαιολόγος μετέβη περὶ τὰ τέλη τοῦ 1437 εἰς Φερράραν τῆς Ἰταλίας, ὅπου Σύνοδος Ἐκκλησιαστικὴ ἔμελλε νὰ συζητήσῃ καὶ περὶ τῆς ἑνώσεως τῶν δύο Ἐκκλησιῶν, Ἀνατολικῆς καὶ Δυτικῆς. Εἰς τὴν συνοδείαν του μετεῖχον, ὁμοῦ μὲ τὸν τότε πατριάρχην Ἰωσήφ, οἱ περιφημότεροι τῶν ἀρχιερέων καὶ τῶν λογίων, μεταξὺ τῶν ὁποίων καὶ διὰ τὴν παιδείαν του καὶ τὴν ῥητορικήν του ἱκανότητα καὶ τὸν ὀρθόδοξον ζῆλον καὶ τὸν ἀδαμάντινον χαρακτῆρά του διεκρίνετο ὁ Ἐφέσου Μᾶρκος ὁ Εὐγενικός, ἐπίσκοπος ἕως τότε, κατὰ δὲ τὴν περίστασιν ἐκείνην προαχθεὶς εἰς ἀρχιεπίσκοπον. Συνταξειδιώτης δὲ ἦτο καὶ ὁ Νικαίας Βησσαρίων, πολυμαθέστατος καὶ οὗτος, ἀλλὰ κλίνων πρὸς τὴν ἕνωσιν μὲ οἱουσδήποτε ὅρους.

Αἱ συνεδριάσεις τῆς ἐν Φερράρᾳ Συνόδου διεκόπησαν τὴν 8ην Δεκεμβρίου τοῦ 1438, ἐπειδὴ ἐξερράγη ἐκεῖ πανώλης. Ἐπανελήφθησαν δὲ αἱ συνεδριάσεις της τὸν Φεβρουάριον τοῦ 1439 εἰς τὴν Φλωρεντίαν, ἀπὸ τῆς ὁποίας ἔλαβε καὶ τὸ ὄνομά της. Οἱ ὀρθόδοξοι ἐπίσκοποι διῃρέθησαν δυστυχῶς. Καὶ ἐπὶ μὲν τοῦ ὅρου, διὰ τοῦ ὁποίου εἰς τὸ σύμβολον τῆς πίστεως ἐγίνετο δεκτὴ ἡ λατινικὴ προσθήκη **καὶ ἐκ τοῦ Υἱοῦ** μὲ τὴν ἐξήγησιν ὅτι ἐσήμαινε **διὰ τοῦ Υἱοῦ**, συνεφώνησαν καὶ 13 ἰδικοί μας ἱεράρχαι, μόνοι δ' ἀντεστάθησαν οἱ ἐπίσκοποι Ἡρακλείας, Μονεμβασίας, Ἀγχιάλου, Τραπεζοῦντος, Ἐφέσου· ἐπὶ δὲ τοῦ ἄλλου ὅρου, διὰ τοῦ ὁποίου ὁ Πάπας ἐκηρύττετο διάδοχος τοῦ ἡγεμόνος τῶν ἀποστόλων Πέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τρου, ἀληθὴς τοῦ Χριστοῦ ἐπίτροπος, κεφαλὴ ὅλης τῆς Ἐκκλησίας, πατὴρ καὶ διδάσκαλος ὅλων τῶν χριστιανῶν, ἔχων πρωτεῖον ἐπὶ ὅλου τοῦ κόσμου καὶ λαβὼν παρὰ τοῦ Κυρίου διὰ τοῦ ἁγίου Πέτρου τὴν πλήρη ἐξουσίαν τοῦ ποιμαίνειν, κυβερνᾶν καὶ διοικεῖν τὴν καθολικὴν Ἐκκλησίαν κατὰ τὰ πρακτικὰ τῶν οἰκουμενικῶν Συνόδων καὶ τοὺς ἱεροὺς Κανόνας, ὅλοι ἔμειναν σύμφωνοι καὶ μόνον εἷς ἠρνήθη νὰ ὑπογράψῃ, Μᾶρκος ὁ Ἐφέσου. Ἀλλ' ὁ εἷς οὗτος ἦτο τοιοῦτος καὶ ἐθεωρεῖτο τόσον ἀξίζων περισσότερον ἀπὸ ὅλους ὁμοῦ τοὺς ἄλλους ἱεράρχας καὶ ἀπὸ αὐτὸν τὸν βασιλέα, ὥστε ὁ Πάπας, ὅταν ἐρωτήσας ἔμαθεν ὅτι ἔλειπεν ἡ ὑπογραφή του, ἀνεφώνησε· «λοιπὸν δὲν ἐκάμαμεν τίποτε.»

Καὶ δὲν ἔκαμαν πράγματι.

Ματαίως ὁ Πάπας, προσκαλέσας ἰδιαιτέρως τὸν Μᾶρκον, πρῶτον μὲν ἐζήτησε νὰ τὸν ἐξευτελίσῃ κρατῶν αὐτὸν ὄρθιον ἐνώπιόν του, κατόπιν δὲ νὰ τὸν φοβίσῃ ὅτι θὰ τὸν κατεδίκαζε. Τὸν ἐξευτελισμὸν ἀπέφυγε λαβὼν μόνος του κάθισμα, ἀφοῦ εἶπεν ὅτι ἦσαν ἀδύνατοι οἱ πόδες του· πρὸς δὲ τὰς ἀπειλὰς ἀπήντησεν ὅτι τίποτε δὲν ἐφοβεῖτο ἔχων τελείαν συνείδησιν, ὅτι οὔτε ἰδικήν του πλάνην προέβαλεν, οὔτε αἵρεσιν ἄλλων ἠκολούθησεν, ἀλλὰ μένει πιστὸς εἰς τὴν ὀρθοδοξίαν, τὴν ὁποίαν πρὶν τοῦ σχίσματος εἶχε καὶ ἡ Ῥωμαϊκὴ Ἐκκλησία κοινὴν μὲ τὴν Ἀνατολικήν.

Μετὰ τὴν ἐπιστροφὴν εἰς Κωνσταντινούπολιν ἡ δημοτικότης Μάρκου τοῦ Ἐφέσου, ἐπεσκίασε καὶ αὐτὴν τὴν λαμπρότητα τοῦ Αὐτοκράτορος. Καὶ ἦτο τόσον τὸ ἐνδιαφέρον τοῦ πλήθους διὰ τὴν ἐν Φλωρεντίᾳ Σύνοδον, ὥστε μόλις οἱ ἀρχιερεῖς ἐπέστρεψαν τὴν 1ην Φεβρουαρίου τοῦ 1440, δὲν εἶχον ἀκόμη ἀποβιβασθῆ ἀπὸ τὰ πλοῖα καὶ οἱ μεταβάντες νὰ τοὺς χαιρετίσουν τοῖς ἠρώτων· πῶς ἀπέβησαν τὰ ἰδικά μας πράγματα; Πῶς αἱ ἐργασίαι τῆς Συνόδου; Ἐπετύχομεν ἆρά γε τὴν νίκην;

Εἰς τὸ δεύτερον ἔτος τοῦ Φωκᾶ ἐκοιμήθη ὁ Διάλογος, ἅγιος καὶ θαυμάσιος ἄνθρωπος καὶ γέγονε Πάπας τῆς Ῥώμης ὁ Σαβῖνος, ἔχων κακίας κατὰ διάμετρον ἀντικειμένας ταῖς ἀρεταῖς καὶ τῇ ἁγιότητι τοῦ Διαλόγου, ὅστις Σαβῖνος κατέκρινε καὶ τὸν Διάλογον, ὡς ἐξ ὑπερηφανίας δῆθεν δαπανήσαντα τῆς Ἐκκλησίας τὰ χρήματα καὶ μικροῦ ἐδέησε κατακαῦσαι τὰ βιβλία τοῦ πανευφήμου ἀνδρός, ἀπεστέρησεν αὐτὸν τῆς ζωῆς ὅμως ὁ Θεός, καθότι ἕνα καὶ μόνον χρόνον ἐπατριάρχευσε καὶ πέντε μῆνας, οὗ τὸ λείψανον ἀπὸ τῆς Γαϊδαρινῆς πόρτας ἐκκομίσαντες ἔθαψαν· μετὰ ταῦτα ἔδωκε τὸ τέλος τῆς ζωῆς αὐτοῦ καὶ ὁ Πατριάρχης τῆς Ἀλεξανδρείας Εὐλόγιος, ὅστις ὑπερήσπιζε τὸν Λέοντα καὶ τὸν Κύριλλον διὰ τὴν ὑποστατικὴν ἕνωσιν, ἄνθρωπος εὐλογημένος ὑπὸ τοῦ Θεοῦ καὶ ὑπὸ τῶν ἀνθρώπων. Γράφει δὲ ὁ Ἱεροσολυμίτης Σωφρόνιος, ὅτι ὁ ἐπίσκοπος Θεόδωρος, οὗ ἡ ἐπισκοπὴ ἦν εἰς τὰ μέρη τῆς Λιβύης, εἶδε μίαν ὀπτασίαν, ὅτε ἦν Κουβικουλάριος τοῦ Πατριάρχου, «εἶδον, λέγει, ἕνα ἄνθρωπον ὑψηλὸν εἰς τὸν ὕπνον μου, ἄξιον πολλῆς τιμῆς καὶ εὐλαβείας, εἰπόντα μοι, μήνυσον τῷ Πάπᾳ Εὐλογίῳ, ὅτι ἦλθεν ὁ Πάπας τῆς Ῥώμης ὁ Λέων τοῦ ἐντυχεῖν· ἔδραμον γοῦν ἐγὼ εἰς τὸν Πατριάρχην καὶ εἶπον τὴν ἄφιξιν τοῦ τοιούτου ἀρχιερέως, προσεῖπον οὖν ἀλλήλοις καὶ ἠσπάσαντο καὶ μετ' ὀλίγον εἶπεν ὁ Λέων πρὸς τὸν Εὐλόγιον. Οἶδας διατί ἦλθον; ἦλθον ἵνα σοὶ εὐχαριστήσω, ὅτι λίαν καλῶς ἐνόησας τὴν ἐπιστολήν μου καὶ προΐστασο αὐτῆς· γίνωσκε δὲ ὅτι οὐ μόνον ἐμοί, ἀλλὰ καὶ τῷ Κορυφαίῳ Πέτρῳ ἄριστα πεποίηκας καὶ ταῦτα εἰπὼν ἀπῆλθε»· τὸ πρωῒ διηγησάμην ταῦτα, λέγει ὁ Θεόδωρος, τῷ Πατριάρχῃ καὶ ἐκεῖνος, κλαίων, ηὐχαρίστησε τῷ Θεῷ, τῷ ποιήσαντι αὐτὸν κήρυκα τῆς ἀληθείας· ἀλλὰ καὶ ὁ Πατριάρχης Ἡσύχιος μετὰ τὸ κυβερνῆσαι τὸν θρόνον τῶν Ἱεροσολύμων εὐαγῶς καὶ ὁσίως ὀκτὼ χρόνους κατὰ τὸν Νικηφόρον, πρὸς τὸν Κύριον ἐξεδήμησεν εἰς τὸ ἕκτον ἔτος τῆς τυραννίδος τοῦ Φωκᾶ καὶ ἀντ' ἐκείνου ἐγένετο ὁ Ζαχαρίας, οὗτινος ἡ μνήμη ἐστὶν εἰς τοὺς ἱστορικοὺς πολλὴ καὶ μεγάλη, ὡς κατιὼν ὁ λόγος ὑποδείξει τοῦτο. Εἰς δὲ τὴν Ἀντιόχειαν οἱ Ἑβραῖοι ἀναιροῦσι παμπόλλους χριστιανοὺς καὶ αὐτὸν τὸν Πατριάρχην Ἀναστάσιον, ὅθεν ὁ Φωκᾶς ἀνεῖλε πολλοὺς καὶ ἄλλους ἠκρωτηρίασεν ἀπὸ τῶν Ἑβραίων καὶ δὴ καὶ ἐπὶ τοῦ μεγάλου Ἰουστινιανοῦ πάλιν συνεσχέθησαν οἱ Ἰουδαῖοι ὁμοῦ καὶ οἱ Σαμαρεῖται εἰς τὴν Παλαιστίνην καὶ ἔνδον εἰς τὴν Καισάρειαν ἐφόνευσαν πολλοὺς χριστιανούς, ἐξαιρέτως τὸν ἔπαρχον τῆς πόλεως Στέφανον, εἰς αὐτὸ τὸ Πραιτώριον, ὅθεν ἡ γυνὴ αὐτοῦ ἀπῆλθεν εἰς τὴν Κωνσταντινούπολιν θρηνῳδοῦσα τὴν ἄδικον σφαγὴν τοῦ ἀνδρὸς αὐτῆς. Ἐθυμώθη δὲ πάνυ σφόδρα ὁ Αὐτοκράτωρ καὶ ὥρισε τὸν Μάγιστρον Ἀδαμάντιον ἀπελθεῖν μετὰ στρατιωτικῆς παλάμης εἰς τὴν Παλαιστίνην καὶ ἐκδικῆσαι τὸ ἀθῷον αἷμα τοῦ καλοῦ ἄρχοντος, ὡς καὶ ἐποίησεν, ἄλλους ἀποκεφαλίζων καὶ ἄλλους σκολοπίζων τόσον, ὥστε φοβηθῆναι πάντας τοὺς κατοικοῦντας εἰς τὰ μέρη τῆς Ἀνατολῆς. Ἐγένοντο δὲ ταῦτα τῷ εἰκοστῷ ἐννάτῳ ἔτει κατὰ τὸν Θεοφάνην.



---

† ΑΡΧΙΜ. ΝΑΘΑΝΑΗΛ ΑΝ. ΠΑΠΑΔΟΠΟΥΛΟΥ

# ΕΥΧΑΙ ΠΕΡΙ ΑΓΡΥΠΝΙΑΣ
## ΔΙΑ ΣΤΙΧΩΝ ΠΟΛΙΤΙΚΩΝ
## ΗΧΟΣ ΠΛ. Β'.

**Εἱρμολογικῶς**

Ὡς ἐν δώματι στρουθίον ἀποβάλλεται τὸν ὕπνον,
καὶ φυλάττει καὶ σκοπεύει καὶ ἐχθροῖς αὐτοῦ προσέχει,
ἵνα ἄτρωτον παντοίας βλάβης σώζεται καὶ μένῃ,
οὕτως ἄνθρωπος γενναῖος εὐσεβής τε καὶ σπουδαῖος,
τῇ συντόνῳ ἀγρυπνίᾳ καὶ νηφούσῃ διανοίᾳ,
λύτρωσιν κακῶν εὑρίσκει καὶ ἐχθροὺς αὐτοῦ κρημνίζει,
ἐὰν νήφῃς μὲν εὐτόνως εὔχεται δὲ ἐπιμόνως,
καὶ ζητεῖ μετὰ γαλήνης, καὶ ἐλπίζει μετὰ νίκης,
φεύγει ὡς δορκὰς ἐκ βρόχων τὰς ἐνέδρας τῶν δαιμόνων,
ἀγρυπνίᾳ καὶ νηστείᾳ κ' ἐναρέτῳ πολιτείᾳ.

**Χρόνος δίσημος**

Τῶν παθῶν τὴν φλόγα σβένει καὶ τελείως τὴν μαραίνει,
καὶ συντρίβει πολεμίους δαίμονας τοὺς ὀλεθρίους,
ταύτην οἱ καλοὶ ἐργάται ἀγαπῶσι καὶ φιλοῦσι,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ διώκουσι ταχέως τοὺς ἐχθροὺς τοῦ βασιλέως,
μελισσῶν φιλοπονίαν καὶ μυρμήκων προθυμίαν
μιμησώμεθα τὸν τύπον καὶ μισήσωμεν τὸν ὕπνον,
καὶ προθύμως ἐγερθῶμεν καὶ καλῶς ἑτοιμασθῶμεν,
δράμωμεν σὺν προθυμίᾳ τῇ ψυχῇ καὶ τῇ καρδίᾳ,
πρὸς ὑπάντησιν νυμφίου καὶ Θεοῦ ἐπουρανίου,
καὶ θερμῶς ἐν κατανύξει πρὸς αὐτὸν ἀεὶ βοῶμεν.

**Είρμολογικῶς**

Δέσποτα Θεὲ πατέρων καὶ νυμφίε ἐναρέτων,
ὅλον ἀνακαίνισόν με τῷ ἀπείρῳ σου ἐλέει,
καὶ ἀξίωσόν με Σῶτερ τῷ φωτί σου τῷ ἁγίῳ,
μελετᾶν τὰ λόγιά σου καὶ ποιεῖν τὰς ἐντολάς σου,
ταῖς φρονίμοις δὲ παρθένοις συναρίθμησόν με Λόγε,
καὶ λαμπάδα τῆς ψυχῆς μου ἐν ἐλαίου δαψιλείᾳ,
καὶ φαιδρύνοις καὶ φυλάττοις ἀηττήτῳ σου δυνάμει,
καὶ προσμένειν ἐγρηγόρως τὴν φρικτήν σου παρουσίαν,
εἴθε τῶν μωρῶν χωρίσοις καὶ φρονίμοις συνοικήσοις,
καὶ εἰσάξοις με εἰς δεῖπνον τὸν οὐράνιον καὶ θεῖον.

**Δίσημος**

Πρὶν ἡ θύρα σου κλεισθείη καὶ τὸ δεῖπνόν σου βρωθείη
πρὶν ἡ κρίσις σου ἐπέλθῃ καὶ ἀνέτοιμόν με εὕρῃ,
ἀγρυπνία καὶ νηστεία τῆς ψυχῆς ἡ θυμηδία,
ἀλλ' ἐγὼ τῇ ἀμελείᾳ καὶ κακίστῃ ῥᾳθυμίᾳ,
δοῦλος πέλω τῇ κοιλίᾳ καὶ ἐχθρὸς τῇ ἀγρυπνίᾳ,
παίγνιον ἐγκατεστάθην τοῖς ἐχθροῖς μου ὁ παράφρων,
καὶ λαμπάδα τῆς ψυχῆς μου ἐσβεσμένην περιφέρω,
ὅθεν δέομαι οἰκτίρμον μὴ μ' ἐάσῃς ἀπολέσθαι,
ἀλλὰ ἄνοιξόν μου θύραν τοῦ ἐλέους σου τὴν θείαν,
ὕπνον δέ μου ἀμελείας καὶ κακίστης ῥαθυμίας.

**Είρμολογικῶς**

Ἐξαφάνισον Σωτήρ μου τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ,
ἔγειρόν με ἐλεῆμον καθὼς οἶδας πανοικτῖρμον,
πρὸς τερπνὰς δοξολογίας τῆς μεγίστης σου προνοίας,
καταξίωσόν με Λόγε τοῦ ὑμνεῖν σε κατὰ χρέος,
ἐν παντὶ καιρῷ καὶ τόπῳ ἄνευ ταραχῆς νοός μου,
ἐν πρωῒ καὶ μεσημβρίᾳ καὶ ἑσπέρᾳ ἀωρίᾳ, (μεσονύκτιον)
καὶ σὴν μνήμην ἐν ψυχῇ μου περιφέρειν ἀκορέστως,
ἀλλ' ἰδοὺ προσέρχομαί σοι ἐν ψυχῇ συντετριμμένῃ,
τῷ Ναῷ σου τῷ ἁγίῳ ἔρχομαι σὺν προθυμίᾳ,
ὡς ἐνώπιόν σου Σῶτερ μετὰ δέους σοι κραυγάζω.



**Δίσημος**

**(Ἐκ τοῦ ἴσου μία φωνὴ κατωτέρα· πρόκειται περὶ δέους)**

Μὴ παρίδῃς με Θεέ μου τὸν ἐλπίδα κεκτημένον,
εἰς τὴν σὴν φιλανθρωπίαν καὶ τὴν ἄκραν εὐσπλαγχνίαν,
ὁπηνίκα βουληθείης ἐκ τοῦ σώματος χωρίσαι,
τὴν ψυχήν μου τὴν ἀθλίαν τοῦ πρὸς σὲ ἐπαναβῆναι,
πρόστηθι παράστηθί μου σκεπασάτω με ἡ χείρ σου,
ὄψιν δὲ ζεζοφωμένην τῶν πικρῶν κακῶν δαιμόνων,
μὴ ἰδέτω ἡ ψυχή μου ἕνεκεν τοῦ σοῦ ἐλέους,
ἴδοιμί σου ἐλεῆμον ἵλεων καὶ πανοικτῖρμον,
ἐλαφρύνοντα ὀδύνην τὴν ἀφόρητον ἐκείνην,
τῆς φωνῆς μου τῆς εὐκταίας ἐπακούσας με Θεέ μου,
στερεούμενος Χριστέ μου, ἀγρυπνίᾳ καὶ νηστείᾳ.

**Είρμολογικῶς**

Ὅπως ὕμνον ἀναπέμπω τῇ πολλῇ σου εὐσπλαγχνίᾳ,
εἰς αἰῶνας αἰωνίους, σὺν χοροῖς ἐπουρανίοις.

(Ἐλήφθησαν ἐκ τῆς εὐχῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, ἣν ἔλεγε καθ' ἑκάστην. «Ἐγὼ δὲ καθ' ἑκάστην ἀναμένω τοῦ θανάτου τὸ ἀπαραίτητον καὶ τὸ μὲν σῶμά μου τὸ ἄθλιον, ταφῇ παραδοθὲν διαφθαρήσεται κ.λ.π.»)

**ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΑΙ ΛΟΓΟΙ**
***ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ***
**(Ἐκ τοῦ Κώδικος Λ 197)**

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

—Δεσποτικῆς οἰκονομίας καὶ ἀγαθότητος λογοθέτην γενόμενον, διαφθορέα μὲ ἀπεκάλεσας, οὐδὲν πέπονθα, τοῦ κατακρίνοντος ὅμως τῆς προαιρέσεως ὑπερήλγησα.

—Πλάτυνον φιλοπτωχίαν καὶ μετάδος καὶ ἡμῖν τοῖς χρείαν ἔχουσι καὶ εὖ ποίησον ἡμᾶς δεομένους σου.

—Τὸ ἔντριτον σπαρτίον οὐ διαῤῥαγήσεται, δηλ. τὸ τριπλοῦν σχοινίον δὲν κόπτεται (Ἐκκλ. δ'. ιβ'), ἤγουν ἡ πίστις ἡμῶν ἀῤῥαγὴς καὶ ἀχώριστος ἡ Τριάς.

—Ξενίας, ὄντως καὶ κατὰ ἀλήθειαν ἀκόρεστος ἡ γλυκύτης τῆς πνευματικῆς ἀγάπης καὶ ἑστιάσεως, οὐ γὰρ εὐφραίνει κοιλίαν, ἀλλὰ καρδίαν καὶ ψυχήν, καὶ εἰς αὔξησιν τῆς ἀγάπης καὶ προκοπὴν ἄγει τοὺς τὰ σὰ πλήρη τοιαύτης ἐμπορίας πολύστιχα γράμματα, καὶ οἶνον προμνηστεύοντα ὑπὲρ εὐφροσύνην τοῖς ἀγαπῶσί σε.

—Εἰς θρήνους ἦν ἡμῶν τὸ πλήρωμα πρότερον καὶ εἰς δάκρυα διὰ τὴν ἀπειλουμένην ἐρήμωσιν τοῦ εὐαγοῦς τούτου οἴκου· διὰ τὰς ἁμαρτίας ἡμῶν, ὡς καὶ ἡ τοῦ Ἰωὴλ πεπληρωμένη ἦν ἐν ἡμῖν (προφητεία)· ἔκλαυσε βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομὴ αὐτοῖς, καὶ ποίμνια τῶν προβάτων ἠφανίσθη· εἰ καὶ ἡμῖν τὸ ἀνάπαλιν, ποιμένος καὶ προστάτου στερηθεῖσι, καὶ ἦμεν ἀληθῶς ὡς πρόβατα μὴ ἔχοντα ποιμένα. Ἀλλ' ἰδοὺ ὁ φιλάνθρωπος Θεὸς διὰ τῆς σῆς φιλοστόργου καὶ αὐθεντικῆς ἀγαθότητος ἐπέβρεξε εἰς ἡμᾶς ὑετὸν πρώϊμον καὶ ὄψιμον.

—Πρώϊμον διὰ τὰς πολλὰς ἐπισκέψεις καὶ τὰ προκαταλαβόντα ἡμᾶς τῆς ὑμετέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρας ὑψηλότητος διαφόρως εὐεργετήματα· νῦν δὲ διὰ τὴν ἐλευθερίαν καὶ ἄδειαν τοῦ πνευματικοῦ ἡμῶν Πατρὸς καὶ ποιμένος.

—Ἅπαν τὸ σύστημα τῶν Θεοφόρων πατέρων κοινῶς ἀποφαίνεται· εἰ ἐρευνήσεις τὰς Γραφὰς ὅτι εἰ καὶ τῶν ἄλλων ἀρετῶν ἐν διακρίσει πως γίγνονται, ἀλλὰ ἡ φίλη θεῷ καὶ παρὰ Θεοῦ πηγάζουσά τε καὶ διδασκομένη ἐλεημοσύνη ἀδιακρίτως ὀφείλει ἐνεργεῖσθαι καὶ γίγνεσθαι. Ἡ δὲ σὴ ἀγάπη τὰς ὁδοὺς αὐτῆς, καὶ τὰς πράξεις καὶ τοὺς βαθμοὺς μὴ εἰδοῦσα κατ' ἐμοῦ τὴν ψῆφον ἀπειροκαλίᾳ προαιρέσεως ἐποίησας· οὐκ ἔδει με φήσας ὡς διαφθορέα ἐλεηθῆναι, καὶ καλῶς εἶπας, ἀλλὰ τὸν τῆς ἀγάπης καὶ φιλοξενίας μισθὸν οὐκ ἐπιλείψῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρὰ θεοῦ ὅτε....

**Ἐπιστολὴ αἰτητικὴ πρὸς αὐθέντην.**

—Ὁμίχλη δασεῖα καὶ πυκνὴ τὰς ψυχὰς ἡμῶν ἐκάλυπτεν ἀναθυμιάσεων, διὰ τὴν φορὰν τοῦ καιροῦ ἐπὶ τῆς νῦν ἀτυχοῦς καὶ ζοφερᾶς καταστάσεως· καὶ καθὼς μεγάλον κίνδυνον ἔχουσιν οἱ ταλαίπωροι ναῦται, ὁπόταν συντριβῇ τὸ τιμόνι τοῦ καραβίου εἰς τὸν καιρὸν τῆς ταραχῆς καὶ φουρτούνας, ἐπειδὴ καὶ ἄλλο δὲν ἀναμένουσι, πάρεξ τὴν ἀπώλειαν καὶ τὸν θάνατον τῆς ζωῆς τους, καὶ ὃν τρόπον οἱ ὁδοιπόροι εἰς τὰς ἐρήμους εἰς μεγάλην ἀδημονίαν καὶ ὄλεθρον καταντῶσιν, ὁπόταν τοὺς καταλάβῃ τὸ σκότος, καὶ χάσουν ἀκόμη τὸν ὁδηγὸν ὅπου τοὺς ἔδειχνε τὴν ὁδόν· διότι ἄλλο δὲν καρτεροῦσι, πλὴν νὰ γένωσι βρῶμα καὶ σπάραγμα τῶν θηρίων, τὸν ὅμοιον τρόπον καὶ ἡμεῖς οἱ εὐχέται καὶ δοῦλοι τῆς σῆς γαληνότητος εἰς ἀφόρητον εἴμεσθεν θλίψιν καὶ ὀδύνην ἀνείκαστον. Ἀλλ' ἰδοὺ ὅπου μᾶς ἐσπλαγχνίσθη ὁ Κύριος ὁ μὴ πειράζων ἡμᾶς ὑπὲρ ὃ δυνάμεθα, ὁδηγήσας τὴν ἀγαθήν σου καρδίαν, καὶ τὸ ἡγεμονικὸν φρόνημα μὲ τὰς μαρμαρυγὰς καὶ ἐλλάμψεις τῆς φιλευσπλάγχνου σου ἀγαθότητος, τὸ σκότος τῆς ἀπογνώσεως, ὡς ἄλλος ἥλιος διεσκέδασε, προστάξας νεύσει θείᾳ τὸν αὐτόθι πνευματικὸν ἡμῶν πατέρα τοσούτους χρόνους ἐνδημοῦντα κὺρ Δεῖνα νὰ ἔλθῃ εἰς ταύτην τὴν δύστηνον καὶ δυστυχισμένην μονήν, λευκὴν καὶ λαμπρὰν καὶ πανευφρόσυνον ἀγαλλιάσεως ἡμέραν ἐφήπλωσας· ὢ τῆς εὐθυμίας· ὢ τῆς ἡδίστης ἀγγελίας ὢ τῆς ἡμέρας, ἣν ἡ ψυχὴ ἡμῶν πάλαι ἐπεθύμει θεάσασθαι. Σήμερον τὴν ἀπολλυμένην δραχμὴν ἡ πολύδακρυς αὕτη μονὴ ἀνεκτήσατο· νῦν ἡ γλῶσσα ἡμῶν ὑπὲρ κάλαμον γέγονε γραμματέως ὀξυγράφου· ἵνα τὴν ἡγεμονικὴν καὶ ὑπέρσοφον κορυφὴν τοῦ τρισολβίου αὐθέντου ἡμῶν καὶ εὐεργέτου ἄνθεσιν ἐγκωμίων στεφανώσῃ. Ἔλεος γὰρ ἡγεμονικὸν ἀμφικέχυται ἡμῖν καὶ θεία ἐξ ὕψους ἐπίσκεψις· μεγίστας σοι καὶ ἀθανάτους πᾶσα ἡ πνευματικὴ ἀδελφότης ὁμολογοῦμεν τὰς χάριτας, κράτιστε ἡγεμών, κηρύττομεν τὰς εὐεργεσίας σου, εὐδαίμονες οἱ ὑπὸ τὴν τοῦ σοῦ κράτους ἀντίληψιν καταφυγόντες· εὐτυχεῖς οἱ ὑπὸ τὴν σὴν σκέπην ὑποδραμόντες· χαρίτων παντοίων ἀνάπλεοι οἱ ἐπὶ τὴν σὴν βοήθειαν ἠλπικότες. Ἐξαπόστειλον οὖν καὶ σωματικῶς τὸν πατέρα ἡμῶν μετὰ τῆς συνοδίας αὐτοῦ, συνεφοδιάσας αὐτὸν τῷ ἐτησίως ἐλέει τοῦ ἁγίου αὐτῆς Χρυσοβούλλου, πολυχρόνιε ἡμῶν αὐθέντα. Πλάτυνον τὴν φιλοπτωχίαν, καὶ ἰδὼν ἡμᾶς κακῶς ἔχοντας σπλαγχνίσθητι ἐφ' ἡμᾶς, καὶ μετάδος ἡμῖν ὑπὲρ τοὺς ἄλλους χρείαν ἔχουσι καὶ εὖ ποίησον ἡμᾶς δεομένους σου, καὶ προσπίπτοντας τοῖς ἴχνεσιν αὐθεντικῆς σου μεγαλειότητος.

**Πῶς δεῖ ἡμᾶς διάγειν**

—Ἀπὸ τῆς ἔξω σοφίας ὅσα μὲν χρή-



σιμα καὶ ὀνησιφόρα συλλέξας, ὅσα δὲ βλαβερὰ καὶ εἰκῇ, καὶ τὴν ἀκοὴν περιρρέοντα διαπτύσας δεῖ καὶ ἀπώσασθαι· καὶ ἐν συννοίᾳ καὶ ἐπιστάσει τῶν σεαυτοῦ γενόμενος λογισμῶν, συνειδέναι σε ἱκανῶς μὲν ἔχειν τῆς περὶ τοὺς λόγους καὶ τὰ μαθήματα τῆς ἔξω παιδείας τε καὶ σπουδῆς· χρῆναι δὲ λοιπὸν τὸν βίον ἐναλλάξαι καὶ τὸ τῆς πολιτείας ἀμεῖψαι, καὶ τῷ ἐπιδεικτικῷ βίῳ καὶ λόγῳ μακρὰ χαίρειν εἰπόντα, τὸν ἀσκητικὸν καὶ μονήρη βίον, μᾶλλον δὲ εὐαγγελικόν τε καὶ τέλειον, πάσης ἀντικαταλλάξαι τέχνης καὶ ἐγχειρήσεως.

**Πρὸς τὸν οἰήσει νοσοῦντα**

— Μὴ λόγοις μὲν κομπάζῃς τὸ ταπεινόν, φρονήματι δὲ εἶναι τι δοκῇς· οὐ γὰρ ἔξεστι ἄλλος μὲν τῷ Θεῷ, ἄλλος δὲ τοῖς ἀνθρώποις ὁρᾶσθαι· ἀλλ' ὅλος μονοειδὴς ἢ χριστοειδὴς γενόμενος τὴν μὲν σοφίαν ἣν ἐλέει θείῳ ἐκέκτησο καὶ ἀρετὴν πᾶσαν θεῷ τῷ σοφίας καὶ ἀρετῆς ἀρχικῷ αἰτίῳ προσανατίθεσθαι χρή· ἑαυτὸν ἐξουθενῶν καὶ οὐδὲν εἶναι, κατὰ τὸν θεῖον ἀπόστολον λογιζόμενος, πάσης φιλαυτίας καὶ οἰήσεως ἑαυτὸν ὑπέρτερον ἀποδεικνύμενος.

**Πρὸς Κριτίαν τὸν διδάσκαλον**

Κόσμει οὖν τὴν κοινὴν μητέρα πάντων ἡμῶν τὴν Ἐκκλησίαν καὶ τὰ τροφεῖα ταύτῃ καθὸ θέμις ἀποδούς, καὶ τοῖς καρποῖς τῆς ἐν σοὶ σοφίας δεξιωσάμενος ὡς πηγὴ πολυχεύμων τὰς αὔλακας αὐτῆς, ὥσπερ γέγραπται μέθυσον καὶ τὰ γεννήματα αὐτῆς πλήθυνον, ἵνα ταῖς ἡδυτάταις τῶν σῶν λογίων σταγόσιν ἀνατέλλουσα εὐφραίνεται ἀεὶ καὶ μαρμαίρεται κατοπτεύουσα τὸ κάλλος τῆς ἁγίας Τριάδος.

— Τὸ μὲν λογιστικὸν διὰ ταπεινώσεως ἀκροτάτης ἀνακαθαίρεσθαι· τὸ δὲ θυμικὸν διὰ πραότητος ἐντελεστάτης καταρτίζεσθαι. Τὸ ἐπιθυμητικὸν δέ, ἀμιμήτῳ ἐγκρατείᾳ ὕπνου καὶ ὀλιγαρκίᾳ βρωμάτων καὶ καρτερίᾳ πόνων ἐν Χριστῷ τῇ αὐτοπαθείᾳ κατορθώσασθαι χρή.

Πᾶσιν ψυχὴν σοι προσπελάζουσα τῇ πολυρρύτῳ καὶ πολυχεύμονι πηγῇ, ἐξ ἧς ποταμοὶ ὕδατος ζῶντος τῆς σῆς κοιλίας ἐξαπορρέοντος προκοπῆς καὶ μαθήσεως ἕνεκα ὁσημέραι κατάρδευε· οἱ μὲν μανθάνειν ἀνεπαισχύντως· σὲ δὲ διδάσκειν ἀνεπιφθόνως τὰ ἱερὰ γράμματα τὰ δυνάμενα ἡμᾶς σοφίσαι διὰ πίστεως.

— Ἑνὶ ἑκάστῳ κατὰ τὸ μέτρον τῆς τοῦ Χριστοῦ δωρεᾶς ἡ χάρις ἐπιβραβεύεται.

— Ἀλλ' ἔγωγε τοσοῦτον τῇ κατ' ἐμοῦ δυσφημίᾳ σου ἀπέχω τοῦ δυσχεραίνειν, ὅτι καὶ χάριτάς σοι ὁμολογῶ μᾶλλον καὶ σοῦ κατὰ Χριστὸν ὑπερεύχομαι.

— Οὐκ ἔχω ὅλως τοῦ προσφυγεῖν καὶ τῶν κατεχόντων ἀνιαρῶν εὑρεῖν λύσιν, πλὴν ὅτι εἰς τὸν ἀγαθόν σου λιμένα καὶ ἀπερίκλυστον· μία μοι ἐπὶ γῆς μετὰ τὴν κοινὴν τῶν περάτων σωτηρίας ἐλπὶς ἐπιλέλειπται, ἓν μοι ἐφόδιον ζωῆς πρόκειται ἡ σὴ ἄμαχος καὶ κραταιὰ σκέπη.

— Οὐδὲν παρ' ἡμῶν βούλεται ὁ Θεός, ἢ γνώμης ἀπαλλαγήν.

— Τὴν ἀναίδειαν εἰς ὑπόθεσιν παρρησίας λήψομαι.

— Ἀλλ' ὦ Χριστὲ Βασιλεῦ, ὁ μὴ τὴν ἁμαρτίαν κρίνων, ἀλλὰ τὴν μετάνοιαν ἐπαινῶν· ὁ μὴ τὰ παρελθόντα κολάζων, ἀλλὰ τὰ μέλλοντα δοκιμάζων, ἐλεησόν με, τίμησόν με τὸν ἀτιμότερον πάντων, ἐπαίνεσόν μου τὴν μετάνοιαν, δικαίωσόν μου τὰ δάκρυα, στεφάνωσόν μου τὴν πρόθεσιν.

— Ὦ ἄθυμε τὴν μετάνοιαν οὐ βλέπεις, ἀλλὰ καὶ κατακρίνεις ὃν ὁ Θεὸς δικαιοῖ; καὶ μέμφῃ καὶ ψέγεις ψυχήν, ἣν ὁ Θεὸς ἀποδέχεται; ὁ τράπεζαν παραθέμε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νος ἐν ἐρήμῳ καὶ ὁμοίως καὶ εἰς πάντας τὸν τῆς χρηστότητος ζυγὸν ταλαντεύων; τί; ἐπὶ σὲ μὲν μακρόθυμον εἶναι τὸν Θεὸν βούλει, ἐπ᾿ ἐμὲ δὲ ἀπότομον; δι᾿ ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, καὶ ὑμᾶς ἐπλούτισεν ἀγαθῶν, ἡμᾶς δὲ τοὺς ὁμοκτίστους οὐ βούλει ψυχαγωγῆσαι ἐκ τῶν ψυχίων;

— Λύσον μου τὸν φόβον φιλάνθρωπε, διάῤῥηξον τῆς ἁμαρτίας μου τὰ χειρόγραφα· ἐλεησόν με καὶ ἐνίσχυσόν με· καὶ δός μοι δάκρυα κατανύξεως, ἵνα κινήσω τὸν τῆς κρίσεως ὀδυρμόν.

### Τοῦ Προδρόμου

— Ὁ ἐκ μήτρας ἐν μήτρᾳ τὸν τῶν ὅλων Θεὸν θεασάμενος Ἰωάννης, ὁ φύσεως ὅρους παραδραμὼν καὶ οὐκ ἀναμείνας τὸν τῆς κυήσεως χρόνον, τὸ σήμαντρον τῆς θεϊκῆς παρουσίας· ἡ σάλπιγξ τῆς τοῦ Θεοῦ λόγου σαρκώσεως ὁ ῥήξας τῇ φωνῇ καὶ τοῖς ἅλμασιν τὸ τῆς γαστρὸς δεσμωτήριον.

— Ἀλ᾿ ὦ συμμορία ὁμόψυχος, πανάγιοι ἀρχιερεῖς, οἱ τὰς αὐτὰς τῆς αὐτῆς καὶ μιᾶς μητρὸς ὠδίνας διαλύσαντες, οἱ τὴν αὐτὴν πορείαν τῆς ζωῆς συνοδεύοντες, οἱ ἐπὶ τὸ αὐτὸ σκάφος τῆς κοινῆς Ἐκκλησίας τὴν ἁλμυρὰν τοῦ βίου συνεκπλέοντες θάλασσαν, οἱ ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ τὴν Τριάδα δοξάζοντες καὶ ἐπὶ τὸν ἕνα λιμένα τῆς Βασιλείας τῶν οὐρανῶν σπεύδοντες, δανείσατέ μοι παρακαλῶ ἐπὶ τῆς γῆς μικρὸν ἔλεον ἐπισκέψεως· ναύκληροι καὶ ἔμποροι καὶ ναῦται καὶ ἐπιβάται, ἀρχιερεῖς καὶ ἱερεῖς καὶ κλῆρος καὶ λαὸς περιούσιος, ἔθνος ἅγιον, ἵνα ἀποδώσω εἰς τὴν ἡτοιμασμένην ἡμῖν ἐλπίδα τῆς ἀναστάσεως.

— Στόμα γὰρ φησὶν ἡ σοφία καταψευδόμενον ἀναιρεῖ ψυχήν, οὐ τὴν ἀκούουσαν, ἀλλὰ τοῦ ψευδομένου. Καθαρὰν καὶ Θεῷ καὶ ἐμοὶ καὶ ἄσπιλον τὴν γλῶσσαν καὶ ἀληθεύουσαν χάρισον· οὐχ οὕτω πρέπει τῷ βασιλεῖ ἡ πορφύρα καὶ τὸ διάδημα, ὡς ἀρχιερεῖ τὸ μὴ ψεύδεσθαι· ἵνα σὲ φοβοῦνται οἱ δαίμονες, ἵνα σὲ φιλοῦσιν οἱ Ἄγγελοι.

— Πολλοὶ πολλὰ ἐνήργησαν θαύματα καὶ παρευδοκίμησαν, κατὰ τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως ἐρευνηθέντες ἢ ἐρευνώμενοι· οὗτοί εἰσιν, οἱ ἐροῦντες τῷ Βασιλεῖ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, «Κύριε, οὐ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν καὶ ἀποκριθεὶς ὁ Βασιλεὺς ἐρεῖ αὐτοῖς· ἀμὴν λέγω ὑμῖν· οὐκ οἶδα ὑμᾶς»· διὰ τοῦτο βλέπε μὴ ἰάσῃς τὰ πετεινὰ κατελθεῖν καὶ καταφαγεῖν τὸ σπέρμα τοῦ Θεοῦ· κρύψον τὸ σπέρμα εἰς τὰς λαγόνας τῆς γῆς, τουτέστι κρύψον τὸν λόγον ἐν μέσῳ τῆς καρδίας σου, ὅπως καρποφορήσῃ τῷ Κυρίῳ ἐν φόβῳ.

— Ὡς ἀπὸ Χριστοῦ στόματος, τοὺς θεοπνεύστους σου λόγους ἐνωτισθέντες, ἕτοιμοι καὶ εἰς τὸ ἑξῆς καὶ πάντοτε καὶ ἀκοῦσαι αὐτοὺς καὶ κατακρύψαι ἐν τῇ καρδίᾳ ἡμῶν ψαλμικῶς καὶ σοὶ ὑπείκειν ἐν ἅπασι, χάριν μεγίστην εἰδότες σοι τῆς πρὸς τὰ καλὰ συμβουλῆς καὶ οὐκ ἀκούειν μόνον, ἀλλὰ καὶ ἐπαισχύνεσθαι τοὺς λόγους τοῦ Θεοῦ διὰ σοῦ ἕτοιμοί ἐσμεν.

— Τῆς ἑνιαίας καὶ ζωαρχικῆς ἁγίας Τριάδος, τῆς ζωαρχικῆς τε καὶ μακαρίας πάντων ποιητικῆς συνεκτικῆς τε καὶ προνοητικῆς ἧ τὸ μὲν ἐγγίζειν ζωή, τὸ δὲ μακρύνεσθαι θάνατος.

— Παρακαλῶ τὸν Χριστόν, τὸν ἐν Πατρὶ καὶ Πνεύματι γνωριζόμενον, τὸν πάντα παραγαγόντα καὶ ἀνοίγοντα αὐτοῦ τὴν χεῖρα καὶ πᾶν ζῷον εὐδοκίας ἀποπληροῦντα· ὁ τὰ πάντα ἐκ μὴ ὄντων παραγαγὼν καὶ ἀποῤῥήτῳ σθένει διακρατῶν, καρπούς τε ἐτησίους ἡμῖν χορηγῶν καὶ ἀνοίγων αὐτοῦ τὴν χεῖρα, πᾶν ζῷον εὐδοκίας ἀποπληρῶν, οὐ λιμοκτονήσει ἡμᾶς.

— Τῷ παμφιλτάτῳ μοι Νεοφύτῳ καὶ



τῷ ὁμοψύχως καὶ ἀδελφικῶς πέμψαντι τὸν συνήθη ἀσπασμόν. Παραιτηθέντες ἀδελφὲ τῶν περιττῶν τούτων καὶ παρoράσεως ἀξίων, τὸ κάλλιστον πάντων ἑαυτοῖς συντηρήσωμεν· τὸ μηδὲν ἔχειν καὶ τὸ λυθῆναι παντὸς δεσμοῦ τῷ παρόντι κόσμῳ συνάπτοντες καὶ Θεὸν ἀντὶ πάντων πλουτῆσαι, τὸ μακάριον ὄντως κτῆμα καὶ ἀναφαίρετον, περιϊστάμενοι ἅπαν τὸ πρὸς ἐπίδειξιν καὶ ἀπὸ Θεῷ ζήσωμεν καὶ τούτῳ μόνῳ καταφανεῖς γενώμεθα, ὅτι μᾶλλον θεῖος ὁ ψυχὰς ἢ σώματα τρέφων.

— Εἰ οὖν τό, πόνους οἰκείους ἄρτον διδόναι, μισθοῦ πρόξενον, τὸ ψυχὰς τρέφειν, πόσης ἐστὶ δήπου πρόξενον ἢ παραίτιον μισθαποδοσίας;

— Πολλὴν δεῖ σοι καρτερίαν δεικνύειν, κἀγὼ σε ᾤκτίρησα ἄρτι χηρείας ἰδόντα σε νύκτα ἐνωτισθεὶς καὶ πολλῷ τῷ πένθει βαρυνόμενον ταύτης· ἀλλ᾿ ἴσθι, ὅτι οὐ πάνυ ἄδοξον καὶ ταπεινὸν ἡ χηρεία· ἀλλὰ μέγα καὶ σεμνὸν αὐτῆς τὸ ἀξίωμα καὶ πολλῶν ἀξιοῦται τῶν ἐγκωμίων, ὅταν τὴν συνείδησιν φυλάξῃς τῇ κατοιχομένῃ καὶ μὴ δευτέροις γάμοις σαυτόν τε ἄτιμον θῇς καὶ τῆς πρὸς τὴν τοιαύτην ὁμόζυγον στοργῆς καὶ ἀγάπης καταψευσάμενος.

# ΚΑΝΩΝ
## Τῶν ἁγίων Βασιλέων Κωνσταντίνου καὶ Ἑλένης
### (Θεοδώρου τοῦ Στουδίτου)

**Ἦχος α΄. Ἀναστάσεως ἡμέρα**

Ἀναστάσεως ἡμέρα λαμπρυθέντες Χριστοῦ, δεῦτε προθύμως πάντες, πρὸς τὴν πανήγυριν φαιδρὰν, Κωνσταντίνου τοῦ σοφοῦ, ὑπαντήσωμεν, φαιδρῶς ἐν τοῖς ᾄσμασιν, ἐπινίκιον ᾄδοντες

Πανηγύρεως ἡμέρα εὐφρανθῶμεν πιστοί, σήμερον γὰρ ἡ μνήμη, τῶν βασιλέων τῶν σοφῶν, Βασιλέως τοῦ Χριστοῦ καλοῦσα ἡμᾶς, βοᾶν πρὸς τὸν Κύριον, ἐπινίκιον ᾄδοντας.

Καθαρθέντες τὰς αἰσθήσεις ἐθεᾶσθε καλῶς, λάμψαν τὸ φῶς τὸν κόσμον, φῶς τὸ φωτίσαν ἀληθῶς, τοὺς θεράποντας αὐτοὺς Χριστὸν τὸν Θεόν, ὑφ᾿ οὗπερ καὶ κέχρισθε, βασιλεῖς ὡς θεόστεπτοι.

Οὐρανοὶ μὲν ἐπαξίως σοι ὑπέδειξαν, ὅπλον σταυρὸν τὸν θεῖον, ἐν τούτῳ νίκα Κωνσταντῖνε· σὺ δ᾿ ἐν τούτῳ τοὺς ἐχθροὺς κατέπνιξας, Χριστῷ βοῶν ἔνδοξε, ἐπινίκιον ᾄσωμεν.

**Ὠδὴ γ΄.**

**Δεῦτε πόμα πίωμεν καινὸν**

Δεῦτε πάντες ᾄσωμεν Χριστῷ, ἐπινίκιον ὕμνον τῷ ἀναδείξαντι, τοὺς βασιλεῖς τοὺς σοφούς, τῷ κόσμῳ ἐκλάμψαντας, καὶ τὴν πλάνην σκεδάσαντας.

Νῦν πάντες πληρούμεθα χαρᾶς, ἐν τῇ μνήμῃ ὑμῶν Βασιλεῖς θεόστεπτοι, συνεορτάζουσι νῦν χαρμοσύνως, καὶ Ἄγγελοι ἡμῖν, κροτοῦντες πανήγυριν.

Χριστὸν ὃν ἐκήρυξαν Θεόν, βασιλέα τῶν ὅλων καὶ Παντοκράτορα, βασιλικῶς καὶ λαμπρῶς, πρέσβευε καὶ νῦν ὑπὲρ ἡμῶν, Κωνσταντῖνε μέγιστε.

Χθὲς πανηγυρίσαντες Χριστοῦ, τὴν λαμπρώνυμον ἅπαντες ἐξανάστασιν, συνεορτάσωμεν νῦν, τὴν ἔνδοξον

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μνήμην τῶν σεπτῶν, τῶν Βασιλέων ἡμῶν.

### Ὠδὴ δ΄.

### Ἐπὶ τῆς θείας φαλακῆς

Ἐπὶ τῆς θείας ἀρωγῆς, τοῦ ζωηφόρου τοῦ σταυροῦ, στάντες εὐσεβῶς Κωνσταντῖνε, καὶ Ἑλένη ἔνδοξοι, διαπρυσίως ἤρατε, πάντιμον βασιλείαν τοῦ κόσμου, πάντων τὸ κλέος πιστῶν καὶ τὸ ὡραΐσμα.

Ὡς ἐνιαύσιος ἡμῖν, καὶ πανσεβάσμιος αὐτή, φέρουσα λαμπρῶς Κωνστατίνου, καὶ Ἑλένης τέθειται, πᾶσι θεία πανήγυρις, τῶν θείων Βασιλέων ἐνθέως· πανηγυρίσωμεν οὖν, ἅπαντες σήμερον.

Ὁ θεοπάτωρ μὲν Δαυΐδ, πάλαι ἐκήρυξεν ὑμᾶς· εὗρε δὲ Θεὸς Κωνσταντῖνον, καὶ Ἑλένην ὕψωσε, καὶ ἐν ἐλαίῳ ἔχρισε, τοῦ εἶναι βασιλέας ἐνθέους, καὶ τοῦ κηρύξαι Χριστὸν ὡς παντοδύναμον.

Μόνη ἐφάνης γυναικῶν, χρῆμα πανθαύμαστον ἁγνή· πρᾶγμα φοβερὸν τὴν γὰρ φύσιν, σὺ ἐκαινοτόμησας, ἄνευ σπορᾶς κυήσασα, μείνασα πάλιν ὡς πρὶν παρθένος· ὁ γεννηθεὶς γὰρ ἐκ σοῦ, Θεός ἐστιν ἀληθής.

### Ὠδὴ ε΄.

### Ὀρθρίσωμεν ὄρθρου βαθέος

Ὀρθρίσας πρὸς τὸν μόνον δυνάστην, ἐν τῷ καιρῷ τοῦ πολέμου, τῆς κτίσεως τὸν δεσπότην, τὸν σταυρὸν κατώπτευσας, ὦ Κωνσταντῖνε λάμποντα, καὶ σὲ δυνατὸν ἐνισχύοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, καὶ τὴν πρᾳότητα πολλήν, κατιδὼν ὁ πλούσιος ἐν ἐλέει, Βασιλέα ἔστεψε διό, ὦ Κωνσταντῖνε λαμπρόν, πάντας πιστοὺς κατευφραίνοντα.

Προσέδραμες αὐτοβουλήτως, κεκοσμημένος τῷ Χριστῷ τὴν συμπάθειαν ὡς νυμφίος· καὶ τὴν ἁλουργίδα πρώτιστος, τῷ Χριστῷ καθυπέταξας, καὶ τοῦτον Θεὸν ἀνεκήρυξας.

Ἐκύησας φύσεως νόμῳ, ἀλλ' ὑπὲρ νόμον σοῦ γὰρ μόνης ἄσπορος ἡ λοχεία· φρικτὸς καὶ νοούμενος, ὁ τρόπος καὶ λεγόμενος, τοῦ τοκετοῦ σου παναμώμε.

### Ὠδὴ ς΄.

### Κατῆλθες ἐν τοῖς κατωτάτοις

Καθεῖλες τὴν αἵρεσιν Ἀρείου τὴν δεινήν, καὶ συνήθροισας καλῶς, τὴν ἁγίαν σύνοδον τῶν Πατέρων· καὶ ἐκήρυξας, ὁμοούσιον τῷ Πατρί, τὸν Υἱὸν εὐσεβοφρόνως.

Φυλάξας ἀκίβδηλον μέδον σοφέ, τὸ κατ' εἰκόνα τοῦ πλάστου, προσελάβου πρὸς τούτῳ, μὴ λυμηνάμενος τὸ καθ' ὁμοίωσιν· καὶ ἐκήρυξας λαμπρῶς, τὴν εὐσέβειαν πᾶσι.

Σωτήρ μου ἐβόας Θεάνθρωπε, ὁλοψύχως ὡς Θεόν, σὲ γινώσκω βεβαίως, νέον τοῦ Θεοῦ τῷ Πατρί, ὁμοούσιον, ὦ Κωνσταντῖνε σοφέ, βασιλεῦ κοσμοπόθητε.

Θαυμάτων τὸ μέγιστον θαῦμα ἐν σοί, ὤφθη ἄσπιλε ἀμνάς, τὸν γὰρ αἴροντα κόσμον, τὴν ἁμαρτίαν ἀμνόν, ἀπεκύησας, ὃν δυσώπει ἐκτενῶς, ὑπὲρ τῶν σὲ ὑμνούντων.

### Ὠδὴ ζ΄.

### Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, καὶ σὲ ἐλυτρώσατο, τῆς ἐπιβουλῆς, τῶν τυράννων τῶν δεινῶν, καὶ βασιλείας ἐνδύει εὐπρέπειαν, ὁ μόνος Βασιλεὺς τῶν Βασιλέων, Χριστὸς ὡς παντοδύναμος.

Γυναῖκες βασιλίδες θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν γὰρ ὡς Θεόν,



μετὰ πόθου σὺ εἶχες, προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν, Ἑλένη τῶν γυναικῶν Βασιλὶς λαμπρά, κλέος καὶ τὸ καύχημα.

Ὡς ὄντως ἱερὰ καὶ πανθαύμαστος, αὕτη ἡ σωτήριος, γνώμη ἡ ὑμῶν, τὸ τροπαιοφόρον σημεῖον, ἐκζητήσαντες σταυρὸν τὸν πανάγιον, ἐν ᾧ τὸ ἄχρονον φῶς, τῷ κόσμῳ φωτιστικῶς, εὕρετε ἔλλαμψιν.

Τὸ πάντων προφητῶν πολυώνυμον, σὺ ὑπάρχεις κήρυγμα· πύλη γὰρ Θεοῦ, στάμνος χρυσῆ, γῆ ἁγία, ἀνεδείχθης, παρθένε Θεόνυμφε, κυήσασα ἐν σαρκὶ Ἰησοῦν τὸν Χριστόν, τὸν τῶν Πατέρων Θεὸν τὸν ὑπερένδοξον.

### Ὠδὴ η΄.

### Αὕτη ἡ κλητὴ

Αὕτη ἡ σεπτή, καὶ ἁγία καὶ θεία, ἡ πρώτη Βασιλέων, ξυνωρὶς ὀρθοδόξων, Κωνσταντῖνος ὁ κλεινός, καὶ Ἑλένη ἡ τιμία καὶ πάγκαλος· δι' ἧς εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε οἱ πιστοί, θεοφρόνως τιμήσωμεν, τοὺς θείους Βασιλέας, τὸν Κωνστατῖνον τὸν μέγαν, τὴν Ἑλένην αὐτήν, τοὺς προμάχους τῆς εὐσεβοῦς ἡμῶν πίστεως, τοὺς σβέσαντας τὴν πλάνην, εἰς πάντας τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου δυὰς καὶ ἴδε, ἰδοὺ γὰρ εὐφημοῦμεν, θεοφεγγεῖς ὡς φωστῆρας, οἱ πιστοὶ ὑμᾶς, τοὺς Βασιλέας τοὺς σεπτούς τε καὶ θεόφρονας, καὶ ὑπερυψοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτωρ καὶ Λόγε καὶ Πνεῦμα, θεότης μία καὶ δόξα, σὲ προσκυνοῦμεν ἐκ πόθου, οἱ βασιλεῖς ἀνυμνοῦντες, ἔλεγον εἰς σὲ πεπιστεύκαμεν, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

### Ὠδὴ θ΄.

### Φωτίζου φωτίζου

Φαιδρύνου ἀγάλλου, ἡ Ἐκκλησία τοῦ Χριστοῦ· τὸν γὰρ μέγαν καὶ θεῖον, Κωνσταντῖνον σήμερον, ἔχουσα νῦν βασιλέα πιστόν· σὺ δὲ πληθύς, πᾶσα χριστωνύμων, κρότει τοῖς ὕμνοις καὶ χόρευε.

Ὢ θεία ὦ φίλη, ὦ γλυκυτάτη τῶν πιστῶν, ξυνωρὶς βασιλέων, Κωνσταντῖνε μέγιστε, καὶ θεία Ἑλένη Χριστῷ τῷ Θεῷ ὑπὲρ ἡμῶν, δέησιν ποιεῖτε, τῶν ὑμᾶς τιμώντων πάντοτε.

Ὢ μέδον, ὦ ἄναξ, τῶν βασιλέων ὦ Χριστέ, ὁ δοξάσας ἀξίως, τοὺς σοὺς θείους θεράποντας, δίδου ἡμῖν τὴν σὴν ἀντίληψιν, κατὰ παθῶν τούτων ἱκεσίαις, ὅπως ἀεί σε δοξάζωμεν.

Τὸ ὄρος τὸ μέγα, ἐν ᾧ κατῴκησε Χριστός, σὺ ὑπάρχεις παρθένε, ὡς Δαυῒδ ὁ θεῖος βοᾷ· δι' ἧς ἡμεῖς ἀνυψώθημεν, πρὸς οὐρανὸν υἱοθετηθέντες, τῷ πνεύματι παμμακάριστε.

---

ΙΩ. ΣΠΑΘΑΡΗ ΚΑΘΗΓΗΤΟΥ

## ΤΙΣ Η ΟΥΣΙΑ
## ΤΟΥ ΕΛΛΗΝΙΣΜΟΥ ΚΑΙ ΤΗΣ ΕΝΙΑΙΑΣ
## ΕΘΝΙΚΗΣ ΣΥΝΕΙΔΗΣΕΩΣ ΤΩΝ ΕΛΛΗΝΩΝ
## ΑΠΟ ΤΩΝ ΑΡΧΑΙΟΤΑΤΩΝ ΧΡΟΝΩΝ

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

### Οἱ Ἕλληνες αὐτοκράτορες τοῦ Βυζαντίου ἐξαίρουν τὴν ἐθνικὴν συνείδησιν διὰ τοῦ παραδείγματός των.

Καὶ θὰ παραμένη αἰώνιον τὸ παράδειγμα τῶν θεοστέπτων ἐν Χριστῷ τῷ Θεῷ πιστῶν Βασιλέων καὶ Αὐτοκρατόρων, τὸ ὁποῖον πρῶτοι αὐτοὶ ἔδιδον, τὸ μὲν ἀποβλέποντες εἰς τὴν ἐπέκτασιν τῶν ἀγαθῶν τοῦ ἑλλην. καὶ χριστ. πολιτισμοῦ, τὸ δὲ ν' ἀποκρούσωσι τόσον τοὺς ἐπερχομένους βαρβάρους, ὅσον καὶ τοὺς ἔχοντας

Athos Library Αγιορειτική Βιβλιοθήκη

τῆς ἀνθρωπίνης ἀδυναμίας ἐπαγγελίας δελεαστικὰς μέν, ἀλλὰ δηλητηριώδεις, ὑποσχέσεις ἄρδην ἀνατρεπούσας τὰς ἀρχάς, τὰς ὁποίας αὐτὸς ὁ Κύριος ἔθεσε πρὸς ἀνάδειξιν τῆς ὁλοψύχου τοῦ ἕλληνος ἀγάπης πρὸς τὰ ἱερὰ καὶ ὅσια τῆς θρησκείας καὶ τῆς πατρίδος, ὁ Κύριος, λέγω, ὅστις πολλάκις ἀπὸ τοῦ βήματος τῆς Βουλῆς ἀνυμνήθη ὡς ὀφθαλμοφανῶς φιλέλλην, προέστησε τοῦ κλονιζομένου ἔθνους ἡμῶν καὶ ὀλιγοῦ δεῖν καταφερομένου κατὰ κρημνῶν, ἄνδρα ἐξ αὐτῶν τῶν σπλάγχνων ἑλληνικοῦ θρύλου ἀναπηδήσαντα, μὲ σθένος καὶ αὐτοπεποίθησιν διακηρύξαντα ὅτι ἡ φυλή μας ἦτο ἀξία καλυτέρου μέλλοντος, διαγραφομένου ὑπὸ τῶν ἀνεκτιμήτων ὑπηρεσιῶν, τὰς ὁποίας προσέφερεν εἰς τὴν ἀνθρωπότητα. Καὶ ὑπὸ τὴν φωτεινὴν ἔμπνευσιν τοῦ λαοφιλοῦς ἡμῶν ἄνακτος Γεωργίου τοῦ Β΄, ὁ μεγαλοπράγμων ἀνήρ, οἷος, ὁ ἡγέτης καὶ μεταρρυθμιστὴς τῶν κακῶς κειμένων καὶ νοσούντων πολιτικῶν πραγμάτων ἡμῶν κύριος Ἰωάννης Μεταξᾶς μεταστρέφει τὸ ἔθνος ἀπὸ τοῦ βαράθρου πρὸς τὴν πλατεῖαν λεωφόρον τῶν μεγάλων τῆς φυλῆς ἰδεωδῶν. Ἔχων ὡς γνώμονα τὴν ἀλάθητον κρίσιν καὶ τὴν πολύπειρον διάνοιάν του ἐπανάγει τὴν παρεκκλίνασαν φυλὴν ἀπὸ τῆς ἀποστολῆς της πρὸς τὰς πηγάς, τὰς ὁποίας τὸ ἀψευδὲς στόμα τῆς ἱστορίας θεωρεῖ ὡς ἐμπνεούσας τὴν μεγαλουργίαν εἰς τὸν ἕλληνα (κατὰ τὸ γνώριμον εἰς αὐτὸν ῥητὸν «ῥητῆρας ἔμμεναι μύθων, ἀλλὰ καὶ πρακτῆρας ἔργων»).

Αἱ δύο δὲ δυνάμεις τῆς ὀρθοδόξου πίστεως καὶ τοῦ ἑλληνισμοῦ, πρὸς τὰς ὁποίας ὀφείλει νὰ προσαρμόζῃ τὴν δρᾶσιν του ὁ ἑλληνικὸς λαός, ἀπετέλεσαν τὸν στυλοβάτην ἐπὶ τοῦ ὁποίου ἐρειδόμενος ὁ ἐνσαρκῶν τὸν Μέγαν Περικλέα πρωθυπουργός, «ὁ ὀξὺς τ᾽ ἐπινοῆσαι καὶ δρᾶσαι ἃ δεῖ», ἐμφυσᾷ νέαν πνοὴν εἰς τὸ ἑλληνικὸν θαῦμα. Καὶ δὲν ἀπέχει ἡ ἡμέρα ἐκείνη, καθ᾽ ἣν ἀπὸ τὰ βάθη τῆς ἑλληνικῆς ψυχῆς θὰ ῥοδίσῃ ἡ αὐγὴ μιᾶς μεγάλης πατρίδος πρωτοπόρου εἰς τὰ ἔργα τῆς εἰρήνης καὶ τοῦ πολιτισμοῦ, ὑπὸ τὴν σκέπην τῆς προστάτιδος Ὑπερμάχου Στρατηγοῦ, πατρίδος, τῆς ὁποίας τὰ ὑπερήφανα τέκνα θὰ τρέφωσι εἰς τὰ στήθη των τὴν ἀκράδαντον πεποίθησιν εἰς τὸ ἀκατάλυτον τοῦ ἑλληνικοῦ πολιτισμοῦ, ὁ ὁποῖος ἐνέχει εἰς τοὺς κόλπους του ὅ,τι εὐγενὲς καὶ ὑψηλὸν ἔχει νὰ ἐπιδείξῃ ἡ ἀνθρωπότης.

Ἀσκὸς βαπτίζεται, δῦναι δὲ τ᾽ οὐ θέμις.

ΤΕΛΟΣ

## ΑΝΕΚΔΟΤΟΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΠΟΙΗΣΙΣ
# ΙΔΙΟΜΕΛΩΝ, ΔΟΞΑΣΤΙΚΩΝ Κ.Λ.Π.

**Ἐκ τοῦ Λαυρεωτικοῦ Κώδικος Γ 74 φύλ. 87**
**(Συνέχεια ἐκ τοῦ ὑπ᾽ ἀριθ. 9 τεύχους)**

## ΤΗ ΙΒ΄. ΙΟΥΛΙΟΥ
## ΤΟΥ ΑΓΙΟΥ ΜΙΧΑΗΛ ΤΟΥ ΜΑΛΕΪΝΟΥ

**Ἦχος πλ. β΄.**

Πρὸς τό: **Λαζάρου θέλων τάφον**

Ἅπασαν τοῦ βίου περιφάνειαν, καὶ πλοῦτον διαρρέοντα θεοφόρε διαπτύσας ἀληθῶς ἀνάθημα προσῆξας ἐκ βρέφους θεοφρόνως σεαυτὸν τῷ Δεσπότῃ· διὰ τοῦτο συνελθόντες καταχρέως σὲ τιμῶμεν ἐν τῇ σῇ μνήμῃ Ἀθανάσιε.

Ἥλιος ἀνέφανας τοῖς πέρασι τῷ βίῳ καὶ τῷ λόγῳ σου ἐναστράπτων καὶ φωτίζων τῶν πιστῶν καρδίας ἀπορρήτως, καὶ μύστας μονοτρόπους ἀναδεικνὺς φωστῆρας σῶν μετέχοντας παμμάκαρ λαμπηδόνων φωτοβόλων καὶ τῆς ἐντεῦθεν ὡραιότητος.

Ἅρματι τῶν θείων ἐπιβὰς ἀρετῶν ἀνήχθη πρὸς μετάρσιόν περ ὕψος· τῶν τοῦ πνεύματος πλησθεὶς ἐν βίῳ χαρισμάτων· διό περ ἠξιώθης Ἀγγέλων εὐκληρίας, μεθ᾽ ὧν πρέσβευε τῷ κτίστῃ κοινωνοὺς ἡμᾶς ὀφθῆναι σῆς παρρησίας καὶ λαμπρότητος.

**Ἀνατολικόν. Ἦχος δ΄.** (φυλ. 87 β΄.)

Τῇ μελιρρύτῳ γλώσσῃ σου λαοὺς κατηύφρανας συνεργίᾳ τοῦ ἁγίου Πνεύματος ὅσιε πάτερ Μιχαὴλ πατὴρ ἡμῶν· καὶ καλῶς ποιμάνας τὰ λογικά σου πρόβατα, εἰς χλόην ἀπαθείας ταῦτα κατεσκήνωσας· διὸ καὶ νῦν θεοφόρε εἰς οὐρανίους σκηνὰς καὶ αἰωνίους αὐλιζόμενος καὶ ἀγαλλόμενος, ὑπὲρ ἡμῶν πρέσβευε τῶν τιμώντων καὶ πιστῶς ἐκτελούντων τὴν ἱεράν σου Κοίμησιν.

Ἄλλο. Πρὸς τό: **Ὅτε ἐξεδήμησας**

**Ἦχος δ΄.**

Ὅτε ἐξεδήμησας πρὸς Θεόν, ὃν προκρίνας ὑπὲρ τὰ πάντα μάκαρ ἠσπάσω, χοροὶ Ἀγγέλων σὲ καθυπεδέξαντο ὡς ἄξιον τῶν ἄνω, τάξις δὲ ἡ τιμιωτάτη τε καὶ θεία τῶν Ἀποστόλων ἐκρότει, καὶ δῆμος ὁ θεῖος μαρτύρων καὶ προφητῶν, αἱ τῶν ἀσκητῶν δὲ ὁμηγύρεις ἐδοξολόγουν Χριστὸν τὸν στεφανώσαντα ὡς ἐργάτην σε τῶν αὐτοῦ νόμων ἀκριβέστατον· τὸ σκῆνος δὲ τὸ σὸν τῶν μοναζόντων τὰ πλήθη κυκλώσαντες πάτερ ἐμακάριζον ᾄσματά σοι τὰ ἐξόδια ἀναπλέκοντες τῆς γραφῆς, ἐξ ἀνθέων καὶ βίον τὸν ἰσάγγελον ἐκπληττόμενοι τὸν σὸν ἔλεγον· ἄπιθι πρὸς πόλον πάτερ καὶ τοῦ παντάνακτος κατατρύφα ὡς εἶχες δι᾽ ἐφέσεως. Ἡμεῖς δὲ ἅπαντες σοῦ γεραίρομεν τὸ σεπτὸν καὶ ἅγιον σῶμα τὸ τὸν βίον ἐπὶ γῆς τῶν Ἀγγέλων μιμησάμενον, βοῶμέν σοι· τρανῶς τὴν ἄκτιστον καὶ τρισήλιον νῦν ἀκτῖνα ὡς θεώμενος ῥῦσαι τοὺς ὑμνητάς σου, πάσης προσβολῆς τῆς τοῦ ἀλάστορος.

Ἕτερα. Πρὸς τό: **Οἶκος τοῦ Εὐφραθᾶ**

Ἔρωτι τοῦ Χριστοῦ, ἀγάπης τετρωμένος, Ἀθανάσιε μάκαρ, προστάγμασι τοῖς τούτου, ἐκ βρέφους ἠκολούθησας.

Ὅλος ἀνακραθείς, φωτὶ τῷ ἀπροσίτῳ, πυρσὸς ὡράθης φαίνων, καὶ πάντας πρὸς τὴν ἄνω, καθοδηγῶν λαμπρότητα.

Ἄλλον σὲ διαυγῆ, ἐπέγνωμεν φωσφόρον, πρακτικῆς θεωρίας, ἀκτῖσι φρυκτωροῦσα, τῆς ἄνωθεν λαμπρότητος.

**Ἀνατολικόν. Ἦχος πλ. α΄.**

Ὅσιε πάτερ ἔλαμψάς σου τὰ ἔργα οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν Ἀγγέλοις θεράπον Χριστοῦ· ἐν γὰρ τῇ ἀσκήσει σου ὁ ἥλιος τῆς δικαιοσύνης ἐφαίδρυνέ σου τὴν πολιτείαν, χαρᾶς ἐπλήρωσας τὰς ἄνω δυνάμεις, καὶ τῶν ἀνθρώπων τὸ γένος εὐφροσύνην· διὸ δυσωποῦμέν σε, Μιχαὴλ θεοφόρε, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερα. Πρὸς τό:

**Τῇ ἀθανάτῳ σου κοιμήσει**

**Ἦχος πλ. β΄.** (φυλ. 89)

Τῇ ἰσαγγέλῳ πολιτείᾳ, ᾠκειώθης μάκαρ τῷ Θεῷ τὰς ἡδονὰς τὰς τοῦ βίου καὶ τὴν δόξαν τὴν ῥέουσαν ἀπὸ ψυχῆς περ μισήσας, τὴν ἁγνείαν ἠγάπησας, ἐγκρατείᾳ κοσμούμενος· ὅθεν





Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὰ πάθη τῆς σαρκός, ὑπέταξας τῇ ψυχῇ, ἀρετῶν φῶς ἀπήστραψας δόξης, τῆς ἀτελευτήτου φέρων διάδημα παρὰ Χριστοῦ τοῦ Θεοῦ· αὐτὸν Μιχαὴλ θερμῶς ἱκέτευε ποιμαίνειν σου τὴν ποίμνην ἣν ἐποίμανας.

Κάθισμα. **Τὸν τάφον σου Σωτὴρ**

(Φυλ. 112 β΄.)

Πολύφωτος ἀστήρ, μοναζόντων ἐδείχθης, καὶ στάθμη ἀκριβής, ἐγκρατείας τε ὅρος, φανώτατον κάτοπτρον, διακρίσεως ὅσιε, τοὺς τὴν μνήμην σου χαρμονικῶς ἐκτελοῦντας, λύσιν αἴτησαι ἀμπλακημάτων τρισμάκαρ, Θεῷ παριστάμενος.

Ἄλλο. **Τὸν συνάναρχον Λόγον**

Ἐγκρατείᾳ τὸν βίον κατακοσμήσας σοφέ, καὶ τὰ μέλη νεκρώσας καὶ ἐξενίκησας, τοῦ ἐχθροῦ τὰς προσβολάς, Μιχαὴλ ὅσιε, μετέστης πρὸς Θεόν, εἰς τὴν αἰώνιον ζωήν, ὡς ἄξιος κληρονόμος, διὸ μὴ παύσῃ πρεσβεύων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερα. Στιχηρὰ πρὸς τό :

**Ὅσιε Πάτερ.**

**Ἦχος πλ. α΄.**(Φυλ. 113)

Ὅσιε Πάτερ, ἐκ νεότητος ἰσάγγελον ἠσπάσω πολιτείαν, καὶ τὰ τοῦ κόσμου τερπνά, ὡς κόνιν ἐλογίσω, καὶ ὡσεὶ χόρτον δόξαν τὴν πρόσκαιρον εὐτόνως φυγών, δόξης τῆς ἐνθέου μὴ ἐπιλελησμένος, ἧς νῦν μετέσχες ἀπολιπὼν τὸ δεσμωτήριον, κάτω τὸ τῆς σαρκός· καὶ παριστάμενος φωτὶ τῷ τρισηλίῳ, καὶ ἐμφορούμενος Χριστοῦ φωτοχυσίας αὐτὸν ἱκέτευε αὐτὸν δυσώπει πάντοτε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

Ὅσιε Πάτερ, ὁ πυρσὸς τῆς κατανύξεως· ὁ λύχνος τῶν ἐν σκότει, τῆς ἀπογνώσεως ὁ ἄδυτος φωσφόρος τῆς μετανοίας, ἄνθραξ ὑπέρτιμος ὁ τῶν ἀρετῶν θεῖος μαργαρίτης, τῆς ἐλεημοσύνης λαμπτὴρ ὁ μέγας τῶν προσευχῶν, τῶν ὀρφανῶν ὁ προστάτης καὶ τῶν χηρῶν· ὁ ἐννομώτατος κανὼν τῆς Ἐκκλησίας, καὶ πρακτικώτατος φωστὴρ τῆς ἐγκρατείας· Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει πάντοτε δωρηθῆναι τῇ οἰκουμένῃ ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

Ὅσιε Πάτερ, ἡγιάσθης πρὸ γενέσεως, ὥσπερ Ἱερεμίας ὁ ἱερώτατος, τῇ σὲ γὰρ κυησάσῃ ἡ τοῦ Κυρίου μήτηρ προείρηκε, σὲ δοῦναι καρπόν, ὃν δοτὸν γενέσθαι αὐτῇ ἀπὸ σπαργάνων, καὶ προηγόρευσεν ἐμφανῶς καὶ ὑπεδέξατο αὖθις γνώμῃ εὐθεῖ, βίου τὸν τάραχον φυγόντα σε θεόφρον· καὶ τὸν ἡσύχιον δρόμον ἠγαπηκότα· ὃν καὶ διήνυσας, ὡς ψάμμον τὰ συστήματα, μονοτρόπων καταφυτεύσας, διεξόδους ὑδάτων τοῦ θείου Πνεύματος.

Ἕτερα. **Ὅλην ἀποθέμενοι**

**Ἦχος πλ. β΄.** (φυλ. 114)

Ὅλην ἀρνησάμενος, τὴν τῶν ῥεόντων ἀξίαν, δόξαν περιφάνειαν, καὶ σαρκὸς ἐκλέλοιπας τὴν εὐπάθειαν, καὶ διψῶν ἔδραμες, εἰς πηγὰς ὑδάτων, ζωηφόρων τῶν τοῦ Πνεύματος, καὶ τὰ συστήματα τὰ τῶν μονοτρόπων ἀρδίαις σου, ἐπλήθυνας κυπρίζοντα, βότρυν θεωρίας καὶ πράξεως· ὅθεν σὺν Ἀγγέλοις, τανῦν ἐν οὐρανοῖς ἐπεντρυφῶν, τῶν ἐκτελούντων τὴν μνήμην σου, μέμνησο Πατὴρ ἡμῶν.

Ὅλως ὑπὲρ ἥλιον, φωτὶ τῶν θείων δογμάτων, καὶ τῶν εἰσηγήσεων, καταλάμπεις ἅπασαν τὴν ὑφήλιον, καὶ δεινὴν ζόφωσιν, πονηρῶν πνευμάτων, ἀπελαύνων σαῖς ἐντεύξεσιν· ὅθεν γεραίρει σε, σύμπασα ἡ κτίσις θαυμάζουσα, τὸ ἄσαρκον τὸ ἄϋλον, τὸ ἀπροσπαθές, τὸ ἰσάγγελον, τὸ κατὰ δαιμόνων, ἀνδρεῖον καὶ παθῶν καὶ ἡδονῶν· ἣν ἐκ παντοίας τοῦ ὄφεως, βλάβης ἐλευθέρωσον.

Ὁρμὰς τὰς τοῦ σώματος, καὶ τὴν πικρὰν τυραννίδα, τῶν παθῶν ἐξέκλινας, θείῳ φόβῳ ὅσιε κυβερνώμενος, καὶ Θεὸν ηὔφρανας, ἀρετῶν κάλλεσι, ὡραΐσας τὴν καρδίαν σου, καὶ νῦν ἐσκήνωσας, ἔνθα τῶν ὁσίων τὰ τάγματα, κατάλληλον τοῦ πόθου σου, Πάτερ εὑρηκὼς τὴν κατάπαυσιν, ἔνθα μνημονεύειν, ἡμῶν μὴ διαλίπῃς τῶν πιστῶς, ἐπιτελούντων τὴν μνήμην σου Μιχαὴλ μακάριε,

Ο ΚΑΝΩΝ

Οὗ ἡ ἀκροστιχίς: Ἄγαλμα τερπνὸν τῶν μονοτρόπων σέβω.

**Ἦχος πλ. δ΄. Ὠδὴ α΄.**

**Ἁρματηλάτην Φαραὼ**

Αὔλοις Πάτερ ἀστραπαῖς τοῦ Πνεύματος, καταλαμπόμενος νῦν, σὺ καὶ τῇ ἐμπνεύσει, ἔμπνουν ὥσπερ ὄργανον, ἀῤῥήτως ἐνηχούμενος, τῆς ψυχῆς μου τὸν ζόφον, ἀπέλασον καὶ παράσχου μοι, λόγον ἐπαξίως ὑμνῆσαί σε.

Γονέων Πάτερ τῆς στοργῆς προέκρινας, τὸν πλαστουργὸν ἐκ ψυχῆς, καὶ τοῦ ῥευστοῦ βίου, βίον τὸν ἰσάγγελον, καὶ κοσμικῆς τερπνότητος, τὴν ἀκήρατον ὄντως, τερπνότητα τοῦ παντάνακτος, ἧς κατατρυφᾷς ἀγαλλόμενος.

Αἴγλῃ ἀρχῆς τῆς Τρισηλίου γέγονας ἀκτὶς ὁλόφωτος, οὐρανίῳ φέγγει, τὸ τῆς πολιτείας σου, τῆς γῆς ἅπαν τὸ πρόσωπον, καταλάμπων πλουσίως, καὶ ἁμαρτίας σκοτόμαιναν, Πάτερ διαλύων τοῖς λόγοις σου.

**Θεοτοκίον**

Λαβὶς ἣν εἶδεν Ἡσαΐας πνεύματι ἄνθρακα φέρουσαν, σὺ τηλαυγῶς ὤφθης, ἄνθρακα θεότητος, Χριστὸν κυοφορήσασα, Παναγία ἀφλέκτως καὶ ἐν ἀγκάλαις βαστάσασα, νεύματι τὸν πάντα συνέχοντα.

Ὠδὴ γ΄.

**Ὁ στερεώσας κατ᾽ ἀρχὰς**

Μεμισηκὼς ἀπὸ ψυχῆς, τῶν ἡδονῶν τὴν πικρίαν καὶ τὴν κάτω βδελυξάμενος δόξαν, κοσμικῆς ἐθελοντεί, ἀξίας ζώνην ἔῤῥιψας, τῶν ἐπὶ γῆς ἀανάκτων, προκεκρικὼς τὸν παντάνακτα.

Ἀπὸ σπαργάνων ἱερῶς, ἐκ μήτρας ἐκλελεγμένος, ἀνεδείχθης τῇ σεπτῇ γὰρ μητρί σου, ἡ θεόνυμφος ἁγνή, ὑπέσχετο δοθῆναί σε, καὶ ὡς ἡγιασμένον, δῶρον καὶ αὖθις κομίσασθαι.

Τῷ μύρῳ σὺν τῷ νοητῷ, ψυχὴν καὶ νοῦν καθαγνίσας, καὶ τὸ σῶμα ἀσιτίᾳ λεπτύνας, εἰσοικίσω τὸν Χριστόν, ἐν σοὶ ἀναπαυσάμενον, καὶ ἐμπεριπατοῦντα, τοῦτον ἐν σοὶ Πάτερ ἔσχηκας.

**Θεοτοκίον**

Ἐν τῇ νηδύϊ σου ἁγνή, Πατρὸς ὁ σύνθρονος Λόγος, ἐνοικήσας ἐξ ἁγνῶν σου αἱμάτων, ἐσαρκώθη καὶ φθορᾶς, τὴν κτίσιν ἀπεκάθηρε, τῆς εἰδωλομανίας, εὐλογημένη θεόνυμφε.

Ὠδὴ δ΄.

**Σύ μου ἰσχὺς Κύριε**

Ῥεῖθρον ζωῆς, σοῦ τὴν διάνοιαν ἤρδευσεν, ἡ τοῦ θείου, Πνεύματος ἐνέργεια, ὅθεν πικρίαν τῶν ἡδονῶν, ἀπαρνησαμένου, θείας ἐπλήσθη γλυκύτητος· ἧς κόρον ἀνενδότως, μὴ λαμβάνουσα ψάλλει· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Πῦρ πειρασμῶν, καὶ παθημάτων τὴν κάμινον, τῶν δακρύων, Πά-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τερ σου τοῖς ῥεύμασι καὶ τῇ τοῦ πνεύματος δαψιλεῖ, ἔσβεσας ψεκάδι, συντηρηθεὶς ἀκατάφλεκτος, φλεγόμενος δὲ πόθῳ, τῷ τοῦ παμβασιλέως, τοὺς ἐνύλους ἐμάρανας ἔρωτας.

Νοῦν ἀνυψῶν, πρὸς πολιτείαν οὐράνιον, τὸ σαρκίον, Πάτερ ἐξεκένωσας, ὕλης τῶν παθῶν βίῳ καθαρῷ, καὶ τῷ Φωτοδότῃ ἀδιαστάτως ἐλάτρευσας, Μωσέως τοῦ θεόπτου, Ἠλιοῦ τε τὸν βίον, Μιχαὴλ μιμησάμενος Ὅσιε.

**Θεοτοκίον**

Ὕλη καλή, σὺ ἡ ἁγνὴ ἡ πλησίον μου· ὁ Υἱός σου Δέσποινα κραυγάζει σοι, ἁγιωτέραν ἀγγελικῆς, φύσεως εὑρών σε, τὴν πορφυρίδα τοῦ σώματος, ὑφάνας ἀποῤῥήτως, ἐξ ἁγνῶν σου αἱμάτων, καὶ δοξάζων τοὺς σὲ μεγαλύνοντας.

**Ὠδὴ ε΄.**

**Ἵνα τί με ἀπώσω**

Νυσταγμὸς ἀμελείας, ὄμματα καρδίας τῆς σῆς οὐκ ἐκάλυψεν· ἀλλὰ ταῖς φρεσί σου, πόθου θείου τὸ κέντρον ἐνθέμενος, ὁλονύκτῳ στάσει, καὶ προσευχῇ διεκαρτέρεις, τῆς σαρκὸς μὴ καλύπτων τὸ βλέφαρον.

Τὴν ταπεινοφροσύνην, σύνοικον κτησάμενος ἀπὸ νεότητος, θεωρίαις θείαις, καὶ μελέταις τοῦ νοῦ ἐλλαμπόμενος, ὑπὸ τοῦ δολίου, τὸν λογισμὸν οὐκ ἐσυλήθης, ἀλλὰ μέτριον εἶχες τὸ φρόνημα.

**Θεοτοκίον**

Ὡς ὡραῖον τῷ κάλλει, τῷ τῶν ἀρετῶν εὑρηκώς σε παλάτιον, ὁ ὡραῖος Λόγος, σοῦ τὴν ἄφθορον μήτραν ἐσκήνωσεν, καὶ ἐκ σοῦ τεχθῆναι, ἀναλλοιώτως εὐδοκήσας, τῶν πιστῶν ὡραΐζει τὰ πρόσωπα.

**Ὠδὴ ς΄.**

**Ἱλάσθητί μοι Σωτὴρ**

Νεκρώσας τὰς ἡδονάς, ἀνεζωώθης τῷ πνεύματι, καὶ δήσας τὸν ἰσχυρόν, τὰ σκεύη διήρπασας, αὐτοῦ καὶ πρὸς εὔχρηστα, ἀρετῶν δοχεῖα μεταπλάττεις νουθεσίαις του.

Μικρολογίαν διττήν, τῆς διανοίας ἀπήλασας, τὸν ἄρτον τὸν ζωτικόν, καὶ τὸν εἰς ἐπάρκειαν, χειρὶ καὶ τῇ γλώττῃ σου, διανέμων Πάτερ, καταλλήλως τοῖς ἐθέλουσιν.

Ὁ τάλαντον ἐκ Θεοῦ, διδασκαλίας εὑράμενος, ὡς τοῦτο θείᾳ σπουδῇ, αὐξήσας εἰς ἄπειρον φωνῆς τοῦ Δεσπότου σου, ἐπακούεις χαίρων, πρὸς τὰ μείζονα καλούσης σε.

**Θεοτοκίον**

Νομίμων δίχα ἐν σοί, ὁ ὕψιστος ἐνηνθρώπησε, καὶ σὰρξ ἀτρέπτως ὀφθείς, ἀνθρώποις ὡμίλησε· καὶ πρὸς ἐπουράνιον, ὑψωθῆναι τρίβον, τοῖς ἐθέλουσιν ὑπέδειξεν.

**Ὠδὴ ζ΄.**

**Θεοῦ συγκατάβασιν**

Ὁ σπόρον δεξάμενος, ἐν τῇ καρδίᾳ τῶν ἐντολῶν τοῦ Θεοῦ, ὑπερεκατοντάδας, καὶ μυριάδας ἐκαρποφόρησας, ἄσταχυν θείων μοναστῶν κραυγάζοντα· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τοῦ Πνεύματος ὄργανον, τοῦ Παναγίου ὤφθη τὰ χείλη σου, ὡς δὲ πλῆκτρον ἡ γλῶσσα, σεπτὰ διδάγματα μελῳδήσασα, τοῖς τῇ Τριάδι συμφώνως κραυγάζουσι· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

**Θεοτοκίον**

Ῥοῆς ἄνευ ᾤκησεν, ἐν τῇ γαστρί σου ὁ πλαστουργήσας με, καὶ ἐκ



σοῦ σαρκοφόρος, Θεὸς καὶ ἄνθρωπος προελήλυθεν, οὐκ εἰς δυάδα τμηθεὶς ὑποστάσεων, οὐδὲ φυρμὸν ὑποστάς, ὁ τῶν Πατέρων Θεός.

**Ὠδὴ η΄.**

**Ἑπταπλασίως κάμινον**

Ὁ τὴν ὑπὲρ κατάληψιν, τοῦ Κυρίου τερπνότητα, ὅσον ἐφικτὸν ἐν τῇ σαρκὶ θεώμενος, νοὸς τῇ λαμπρότητι, νυνὶ τὸν χοῦν ἀφέμενος, καὶ πρὸς οὐρανόν, ὁλοτελῶς μετοικήσας, πρὸς πρόσωπον παρέστης, τῇ Τριάδι κραυγάζων· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πολυτελῆ σοι στέφανον, τὸν ἀγῶνα τελέσαντι, τὸν κατὰ δαιμόνων, ὁ Δεσπότης δίδωσι, χρυσοῦ τιμαλφέστερον, μαργάρων ὡραιότερον, τὸν τῆς βασιλείας, καὶ τῆς ἀθανασίας, ὥσπερ ἐξαστράπτων, ὑπὲρ ἥλιον κράζεις, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὢ τῆς ἡδίστης γλώττης σου, Μιχαὴλ παμμακάριστε! σὺ γὰρ ἀρετῶν ὑφηγητὴς γεγένησαι, σοφῶς τὴν ἀλλοίωσιν, τὴν θείαν εἰσηγούμενος, καὶ τῶν μονοτρόπων, τὰς χορείας ἐγείρων, κραυγάζειν ἀνενδότως· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον**

Νενεκρωμένοις δήγματι, τοῦ Βελίαρ ἀνάστησον, μόνη ζωοδότην ἡ Χριστὸν κυήσασα, καὶ νέκρωσον Πάναγνε, τῇ ζωτικῇ πρεσβείᾳ σου, τῆς βασιλευούσης, ἐν ἡμῖν ἁμαρτίας, τὸ κράτος Θεοτόκε, ἵνα σὲ εὐφημῶμεν, τὴν Κεχαριτωμένην εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄.**

**Ἔφριξε πᾶσα ἀκοὴ**

Σήμερον τέρπεται φαιδρῶς, Κυμινᾶ Πάτερ τὸ ὄρος ᾧ ἔλαμψας, τὴν ὑπερένδοξον, καὶ θείαν μνήμην πανηγυρίζον σου· σὺ γὰρ οὐρανώσας αὐτό, μονοτρόπων τάγμασι, καὶ κατελάμπρυνας, τὴν Ἀγγέλων μιμουμένοις κατάστασιν.

Ἔφανάν σου αἱ ἀστραπαί, τῶν θαυμάτων ἐπὶ πάντα τὰ πέρατα, τοῖς γὰρ αἰτοῦσι πιστῶς, ἡ θέμις βλύζει σου τὰ ἰάματα, καὶ σὲ μὲν ἔχει οὐρανός, τῷ πνεύματι ὅσιε, οἱ δὲ ποθοῦντές σε, τὴν σὴν κόνιν κεκτημένοι ἀγάλλονται.

Βήματι Πάτερ τοῦ Χριστοῦ, παρεστὼς σὺν Ἀσωμάτων στρατεύμασι, καὶ τῷ παμμάκαρι, Ἀθανασίῳ τῷ θείῳ μύστῃ σου, μὴ διαλίπῃς ἐκτενῶς, Θεὸν ἐλεούμενος Μιχαὴλ ὅσιε, τοῦ σωθῆναι τοὺς πιστῶς σε γεραίροντας.

**Θεοτοκίον**

Ὥσπερ πολύφωτος παστάς, καὶ νυμφὼν τοῦ Βασιλέως τῆς κτίσεως, Θεοχαρίτωτε τοῦ οὐρανίου νυμφῶνος μέτοχον, δεῖξόν με ὥρᾳ τῇ φρικτῇ, τὸν σὲ μακαρίζοντα, καὶ ὁλοτρόπῳ σπουδῇ, ἀφορῶντα τῇ θερμῇ προστασίᾳ σου.

---

ΤΟ ΔΙΗΓΗΜΑ ΜΑΣ

## Η ΡΟΖΑ ΤΟΥ ΤΑΝΝΑΝΒΟΥΡΓΟΥ

### ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ

### Η ΡΟΖΑ ΠΕΡΙΠΟΙΟΥΜΕΝΗ ΤΟΝ ΠΑΤΕΡΑ ΤΗΣ

**(Συνέχεια ἐκ τοῦ προηγουμένου)**

Κατὰ τὰς πρώτας ἡμέρας τῆς ἀνοίξεως εὐγενής τις ἱππότης φθάσας εἰς τὸ φρούριον προσεκάλεσε τὸν Ἐδελβέρτην, ἵνα ἀκολουθήσῃ τὸν Δοῦκα εἰς τὴν μάχην. Οὗτος αἰσθανόμενος μετὰ βαθείας λύπης ὅτι ὁ βραχίων του ἦτο εἰσέτι λίαν ἀδύνατος διὰ τὴν ἀπαιτουμένην χρῆσιν τοῦ ξίφους καὶ τῆς λόγχης, συνήθροισεν ὅλους

Athos Library Αγιορειτική Βιβλιοθήκη

# ΣΠΟΥΔΑΙΑ ΕΙΔΟΠΟΙΗΣΙΣ

Λήγει σχεδὸν καὶ τὸ β΄. ἔτος τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» καὶ ἀκόμη δὲν ἐννοοῦν νὰ μᾶς ἐμβάσουν τὴν συνδρομὴν τοῦ α΄. ἔτους αἱ περισσότεραι, δυστυχῶς, τῶν ἑλληνικῶν Μονῶν, μὲ ὅλας τὰς διαρκεῖς πρὸς αὐτὰς φιλικὰς ὑπομνήσεις. Ἤδη ὀφείλουν καὶ τὸ β΄. ἔτος.

Εἶναι λίαν λυπηρὸν τὸ τοιοῦτον.

Ἐπειδὴ δὲν εἶναι εὔκολον, ὅπως καὶ ἄλλοτε ἐδηλώσαμεν, νὰ ἀποστείλωμεν περιοδεύοντα ἀντιπρόσωπον δι᾽ εἴσπραξιν τῶν συνδρομῶν, λόγῳ τοῦ περιωρισμένου ἀριθμοῦ τῶν συνδρομητῶν, τοσούτῳ μᾶλλον, τοὺς φέρομεν ἐνόχους στοιχειώδους ἀδικίας.

Ἐξ ἀγαθῆς προαιρέσεως κινούμενοι, ἀπεφασίσαμεν νὰ φέρωμεν εἰς φῶς τοὺς θησαυροὺς αὐτοὺς τοῦ ἁγίου Ὄρους ἐκ τοῦ πτωχοῦ ἡμῶν βαλαντίου καὶ κινδυνεύομεν ἤδη νὰ χάσωμεν τὸ τίποτέ μας, λόγῳ ἀμελείας τῶν σεβαστῶν Πατέρων, ἡγουμένων τῶν Ἱ. Μονῶν καὶ λοιπῶν ἀδελφῶν χριστιανῶν, ὅπως ἀποστείλωσιν ἡμῖν τὴν συνδρομὴν αὐτῶν.

Εἰς τοὺς ἐπιμένοντας, ὡς ἄνω συνδρομητάς, ὅπως μὴ ἀποστείλωσι τὴν συνδρομήν των, κατὰ φυσικὸν λόγον, θὰ διακόψωμεν τὴν περαιτέρω ἀποστολὴν τοῦ φύλλου, καὶ ἐπειδὴ δὲν ἐπιτρέπεται νὰ ἐνεργήσωμεν δι᾽ οὐδενὸς τρόπου διὰ τὴν εἴσπραξιν αὐτῆς, θὰ τοὺς καταστήσωμεν δοσιλόγους ἔναντι τῆς θείας Δικαιοσύνης.

Ἄς τὴν ἀποστείλουν λοιπόν.

Ἡ διεύθυνσις

## ΔΗΛΩΣΙΣ

Παραχωρηθείσης ἀδείας παρὰ τοῦ Σεβαστοῦ Ὑπουργείου τῶν Οἰκονομικῶν πρὸς χρησιμοποίησιν δημοσιογραφικοῦ χάρτου διὰ τὴν «Ἁγιορειτικὴν Βιβλιοθήκην», δηλοῦμεν ὅτι ἡ ἐτησία συνδρομὴ ὑποβιβάζεται ὡς κάτωθι, ὁ δὲ χάρτης βελτιοῦται αἰσθητῶς.

| | | |
|---|---|---|
| Συνδρομὴ ἐτησία | δρ. | 80 |
| Ἐξωτερικοῦ | σελίνια | 5 |
| Ἀμερικῆς | δολλάρια | 1 1]2 |
| Τιμὴ ἑκάστου τεύχους | δρ. | 7 |

Ὅθεν παρακαλοῦνται οἱ κ. κ. Συνδρομηταὶ ὅπως, ἀφοῦ ἀνανεώσωσι τὴν ἰδικήν των συνδρομήν, φροντίσωσι διὰ τὴν ἐγγραφὴν καὶ ἄλλων τοιούτων, πρὸς ἐξάπλωσιν τῶν ἀνεκδότων θησαυρῶν τοῦ ἁγίου Ὄρους.

# ΠΕΡΙΕΧΟΜΕΝΑ "ΑΓΙΟΡΕΙΤΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ"
## ΤΟΥ Β΄. ΕΤΟΥΣ

## Α΄. Ἀκολουθίαι


Ἐπαινετικαὶ ἐπιστολαὶ ἐπισήμων ἀρχῶν διὰ τὴν ἔκδοσιν τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» σελ. 375
1) Τοῦ ἁγίου Νείλου τοῦ Μυροβλύτου » 73
2) Τῆς ἁγίας Μεγαλομάρτυρος Φωτεινῆς » 149
3) » » » Εἰρήνης » 185
4) Τοῦ ἁγίου Στυλιανοῦ τοῦ Παφλαγόνος (ποίημα Κυρίλλου Λαυριώτου) » 221
5) Τοῦ » Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ » 257
6) Τοῦ » Μεγαλομάρτυρος Δημητρίου » 286
7) Τῶν ἁγίων Σπυρίδωνος, Διονυσίου καὶ Γερασίμου τῶν ἑπτανήσων (κοινὴ) » 293
8) Τοῦ ἁγίου Μεγαλομάρτυρος Μιχαὴλ τοῦ Μαυρουδῆ » 333
9) » » Γρηγορίου τοῦ Διαλόγου » 393
**Κατάλογος** τῶν ἐπιστημονικῶν ἐργασιῶν τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς Λαύρας ἐργασθέντων λογίων ἀπὸ τοῦ ἔτους 1897 καὶ ἑξῆς.


## Β΄. Βίοι ἁγίων


1) Τοῦ ἁγίου Νείλου τοῦ μυροβλύτου (ὑπόμνημα) » 89
2) Τῆς ἁγίας Μεγαλομάρτυρος Φωτεινῆς » 158
3) » » » Εἰρήνης » 199
4) Τοῦ ἁγίου Στυλιανοῦ τοῦ Παφλαγόνος » 233
5) Τοῦ ἁγίου Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ » 319
6) Τῶν ἁγίων Σπυρίδωνος, Διονυσίου καὶ Γερασίμου τῶν ἑπτανήσων (ἐν περιλήψει) » 305
7) Τοῦ ἁγίου Μεγαλομάρτυρος Μιχαὴλ τοῦ Μαυρουδῆ » 346
8) Τοῦ ἁγίου Γρηγορίου τοῦ Διαλόγου » 400


## Γ΄. Κανόνες


1) Εἰς τὸν ἅγιον Μεγαλομάρτυρα Γεώργιον ὀκτὼ (κατ᾽ ἦχον) (ποίημα Ἰωσὴφ τοῦ ὑμνογράφου) » 9
2) Εἰς τὸν ἅγιον Μεγαλομάρτυρα Γεώργιον τρεῖς » 28
3) » » » » » εἷς » 312


Athos Library
Αγιορειτική Βιβλιοθήκη

4) Εἰς τὸν ἅγιον μεγαλομάρτυρα Δημήτριον
(ποίημα Κυρίλλου Λαυριώτου) » 64
5) » » » Ἰωάννην τὸν Θεολόγον Παρακλητικὸς » 95
6) » » » Μεγαλομάρτυρα Παντελεήμονα ὀκτὼ κατ' ἦχον,
(ποίημα Ἰωσὴφ τοῦ ὑμνογράφου) » 111
7) » » » Νικηφόρον τὸν Φωκᾶν μὲ Καθίσματα, Κοντάκιον, Οἶκον καὶ Ἐξαποστειλάριον » 135
8) Εἰς τοὺς ἁγίους Κωνσταντῖνον καὶ Ἑλένην δύο (ποίημα Κυρίλλου Λαυριώτου) » 176
9) » » » » » » εἷς » 411
10) Εἰς τὸν ἅγιον Γρηγόριον Νεοκαισαρείας » 213
11) » » » Ἰωάννην τὸν Θεολόγον (ποίημα Νικοδήμου Ἁγιορείτου) » 242
12) Εἰς τὴν ἁγίαν Μεγαλομάρτυρα Βαρβάραν » 281
13) » τὸν ἅγιον » Ἀρτέμιον » 284

## Δ΄. ΚΔ΄ Οἶκοι

1) Εἰς τὸν ἅγιον Μεγαλομάρτυρα Παντελεήμονα (ποίημα
Νήφωνος μοναχοῦ) » 130
2) » » » Ἰωάννην τὸν Θεολόγον (ποίημα Ἰωάννου τοῦ Εὐγενικοῦ) » 245

## Ε΄. Διάφορα

**1) Ἰωσὴφ πρώην Τυρνόβου**
Ἀποφθέγματα καὶ λόγοι (συνέχεια ἐκ του α΄. ἔτους) σελ. 66, 100, 164, 202, 235, 273, 362, 407.
**2) Ἀθανασίου Λαυριώτου**
Ἀποφθέγματα φιλοσοφικὰ » 62, 102, 146, 174, 211, 241.
**3) Νικ. Παπαχατζῆ** καθηγητοῦ
Ὁ Φαλλμεράϋερ διὰ τὸ ἅγιον Ὄρος » 63
**4) Ἰωάννου Σπαθάρη** καθηγητοῦ
Περὶ εὐσεβείας » 92
Μνήμη θανάτου, χρησιμεύει τῷ βίῳ » 142
Ἡ δουλεία δοκίμιον πρὸς ἀρετὴν » 168
Χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι » 205



Τίς ἡ οὐσία τοῦ Ἑλληνισμοῦ καὶ τῆς ἑνιαίας Ἐθνικῆς συνειδήσεως τῶν ἑλλήνων ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων » 251, 278, 321, 357, 413.
**5) Σάββα μοναχοῦ Φιλοθεΐτου**
Περὶ τάξεως » 104
Ἑρμηνεία τοῦ Χερουβικοῦ Ὕμνου » 170, 209.
Ὑπόμνημα περὶ φαντασίας » 238, 271.
**6) † Ἀρχιμ. Ναθαναὴλ Παπαδοπούλου**
Εὐχαὶ διὰ στίχων πολιτικῶν » 327
» » » » περὶ πίστεως » 360
» » » » » ἀγρυπνίας » 405
**7) Σταματίου Γαϊτάνου ἱερομονάχου**
Διάλογος Ἐνὼχ καὶ Ἠλιοῦ τῶν Προφητῶν πρὸς τὸν λῃστὴν » 325
8) Δημῶδες ᾆσμα εἰς τὸ θαῦμα τοῦ ἁγ. Γεωργίου » 35
9) Διάταξις Γρηγορίου Πατριάρχου, περὶ τοῦ πῶς νὰ μνημονεύῃ ὁ ἱερεὺς εἰς τὴν ἁγίαν προσκομιδὴν » 164
10) Ὑπόμνημα περὶ τῶν τιμίων δώρων τῶν Μάγων » 315
11) Ἀνέκδοτος Ἐκκλησιαστικὴ ποίησις Ἰδιομέλων, Δοξαστικῶν κ.λ.π. » 416

## ΣΤ΄. Διηγήματα

1) Ἡ Ρόζα τοῦ Ταννανβούργου » 68, 106, 147, 181, 216, 254, 331, 365.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΙΜΟΚΑΤΑΛΟΓΟΣ ΒΙΒΛΙΩΝ

Εὑρισκομένων παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Ν. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλομένων ἐλευθέρων ταχυδρομικῶν τελῶν.

## "ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,
ΕΤΟΣ Α'

Ὑπάρχουν μόνον 10 τόμοι συμπεπληρωμένοι πανόδετοι δραχ. 250

Ἀπὸ τὸ τεῦχος τοῦ Ν)βρίου-Αὐγούστου τόμοι 12 ἄδετοι » 150

Ἀπὸ τὸ τεῦχος τοῦ Δ)βρίου-Αὐγούστου τόμοι 6 ἄδετοι » 130

Ἀπὸ τὸ τεῦχος τοῦ Ἰαν)ρίου-Αὐγούστου τόμοι 19 ἄδετοι » 120

Ἀπὸ τὸ τεῦχος τοῦ Φ)ρίου-Αὐγούστου τόμοι 7 ἄδετοι » 100

Ἀπὸ τοῦ Μαρτίου – Αὐγούστου ἕκαστον τεῦχος δρ. 10

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν. Μαυροκορδάτου σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 75
πανόδετον » 100
δερμάτινον » 125
(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐκδόσεις Ἐμμ. Φαρλέκα**

**Κώδηξ** Ὀρθοδόξου πίστεως † Μητροπολίτου Πλωμαρίου Κ. Κοϊδάκη δρχ. 225

**Ὁ Μέγας Ἀθανάσιος** Μ. ἀρχιμ. Μ. Κωνσταντινίδου » 115

**Σκέψου καλῶς ἐπ' αὐτοῦ** (ἐκ τοῦ ἀγγλικοῦ) » 30

**Μουσικαὶ ἐκδόσεις τοῦ αὐτοῦ**

**Τριῴδιον** » 165

**Πεντηκοστάριον** » 165

**Ἀνοιξαντάρια** » 12

**Δοξολογία** εἰς Ἐθνικὰς καὶ Βασιλικὰς ἑορτὰς » 30

**Πολυχρονισμοὶ** ὅλων τῶν ἤχων » 12

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 15

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου
ἄδετον » 50
πανόδετον » 70

**Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ
ἄδετον » 40
πανόδετον » 60

**Ἡ ποιμαντικὴ** Ἰω. Χρυσοστόμου, Κλ. Στρατιώτου » 80

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου Ἀρχιμανδρίτου » 18

**Ἱστορία Ζωοδόχου πηγῆς** Λογγοβάρδας τοῦ αὐτοῦ » 30

**Ἀκολουθία τοῦ Ἁγίου Γερασίμου τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου κατεγομένου καὶ** ἐν τῇ Ἱ Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10

**Ἑρμηνεία τῶν 14 ἐπιστολῶν** καὶ τῶν 7 καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 250
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 400

**Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ Ἑορτοδρομίου τοῦ αὐτοῦ τόμοι 3** » 150
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 300

**Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ**, Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον » 28

**Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ στεφάνου Παπαδημητρίου » 25

**Ἡ Ζωὴ τῆς ψυχῆς** τοῦ αὐτοῦ (ἄρτι ἐκδοθὲν) » 12

**Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ**, Ι. Βουνιάνου » 25

**Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** » 20

**Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ:** Τὸ περίφημον δραματικὸν ἔργον τῆς γερμανίδος συγγραφέως Καρλόττας Pfeiffer, **μεταφρασμένον μὲ πολλὴν εὐσυνειδησίαν. Βιβλίον** ἐξόχως διδακτικὸν καὶ ἀριστούργημα ἀπὸ λογοτεχνικῆς ἀπόψεως » 10
δεδεμένον » 20

**Μαργαρῖται Χρυσοστόμου** » 60
πανόδετον » 85
δερμάτινον » 110

**Ἀποστολικὴ Σαγήνη** ἄδετον » 65
πανόδετον » 90
δερμάτινον » 115

**Τὰ ἀσκητικὰ** Ἐφραὶμ τοῦ Σύρου » 70
πανόδετον » 95
δερμάτινον » 120

**Ἀκολουθία** τῆς Θείας Μεταλήψεως » 3

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς **μουσικῆς καὶ** πολλὰ ἄλλα θρησκευτικὰ **βιβλία.**

---

ΣΗΜ. Δεχόμεθα παντὸς **εἴδους θρησκευτι**κὰ βιβλία πρὸς πώλησιν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη